[29] Zahlreiche Eigenheiten von Q haben sich in L niedergeschlagen, vgl. de Marco 1932, 392-5. Angesichts der Individualität aller unserer Handschriften erscheinen die Übereinstimmungen als zwingend (vgl. auch L in N 382 πϱοικοδόται). Scheinbare Trennfehler von Q sind vermutlich Korrekturen von L: I 497 ⟨λύοιτο δ’ ἂν πϱοϲώπωι, ὅτι τὸ μὲν⟩ LA. I 529 διώκων ZLA : om YQ. Σ 0a 6 λούουϲιν ZXL : λύουϲιν YQ. Σ 486(a) πεϱικατάληπτοι ZXAL : καταλαμβανόμεναι Y, πεϱικάλυπτοι Q.

Erga und zu Arat mit Überlegung benutzt zu haben. Gut sind auch E 20 ἐπέϲτηϲε, Ψ 806 μονομαχοῦϲιν, Ψ 870 Τεύκρου, schlecht dagegen Ψ 593 εἰ ἐπαιτήϲειϲ ἐπὶ τῶι ἵππωι, Ψ 683 ἥττηϲ, Ψ 758 ἐξετείνετο. Laskaris hat den Textbestand erweitert vor allem durch Übertragungen von anderen Stellen und von umfangreichen Stücken besonders aus Codex E (oder einer verwandten Handschrift) und Eustathios (Erstausgabe Rom 1542). Solche Stellen gehören eigentlich nicht in die Sammlung, sind aber darin aufgenommen zur Information, weil alle bisherigen Untersuchungen sie als D-Scholien behandelt haben.

Umgekehrt fehlen in L, vermutlich aus Unachtsamkeit, nicht wenige Scholien, die in seiner Vorlage Q stehen und zum Bestand gehören. Dass L mit 𝔇 gleichgesetzt wird, hätte spätestens nach Schimbergs Untersuchungen nicht mehr passieren dürfen. Doch die Ausgabe ist noch im Jahr 2014 Basis des TLG-Textes, nach C.G. Heyne, Oxford 1834. Nennenswerte Änderungen finden sich sonst nur in der aufwendigen Edition von Joshua Barnes, Homeri Ilias et Odyssea et scholia, Cambridge 1711.

## **Lexeis Homerikai** web: kups.ub.uni-koeln.de/1815/

Die D-Scholien bieten ihre Erklärungen prinzipiell in der Reihenfolge des Homertextes, entsprechend einem Verfahren, das vermutlich von Interlinear- und Randglossaren der Quelltexte ausgegangen ist. Es hat sich in einer Anzahl von Beispielen erhalten, darunter den "Kleinen Bibellexika" zu Schriften der Septuaginta, die selbständig erhalten sind und als Quellen des Kyrill-Lexikons gedient haben.

Vergleichbar sind in den Lexeis Homerikai Worterklärungen der D-Scholien und Scholia minora der Papyri gesammelt, dann aber alphabetisch nach zwei oder drei Buchstaben sortiert worden. Das half, sie unabhängig von ihrem Vorkommen im Text aufzufinden, besonders zu den Stellen, die in den Erläuterungen nicht berücksichtigt waren, wie oft in späteren Büchern der Ilias. Die Lexeis können also als Ergänzung der D-Scholien verstanden werden. Aber der Nutzen war im einzelnen beeinträchtigt durch die zahlreichen Verschreibungen der Wortanfänge in den Lemmata und dementsprechend ihre alphabetische Einordnung an den unerwartetsten Stellen,[30] generell beeinträchtigt durch die häufige Sortierung nach voranstehenden Wörtern wie Artikeln, Partikeln und besonders Präpositionen, die sich in allen byzantinischen Lexika findet. Das ist ohne Nachdenken über die abweichenden Gesetze des Gebrauchs aus Glossaren übertragen, in denen die Zuordnung keine Schwierigkeiten machte.

Die Lexeis sind in drei Handschriften des 10. und 11. Jahrhunderts bekannt: **O** (Bodl. Gr. Class. f. 114, saec. X), **S** (Schlettstatt 1077, saec. X), **U** (Urbinas 157, saec. XI). Sie alle wimmeln, besonders in den Lemmata, von Fehlern, die den Gebrauch der Sammlung zur Glückssache machten. Charakteristisch sind Einträge wie ἀπόδεχνεν ἀμβάλε zu B 183 ἀπὸ δὲ χλαῖναν βάλε. ¦ κατατευαϲϲχέϲδην zu Δ 222 κατὰ τεύχε’ ἔδυν. ¦ ἴβειϲ· κατὰ τάξειϲ zu Π 11𝔇 εἴβειϲ: ϲτάζειϲ. ¦ ϊφίλκουοϲ· πρὸ δρακῆϲ πρῶτοϲ ἢ λαοῦ ἀδελφόϲ zu B 705 ’Ιφίκλου υἱόϲ: Ποδάρκηϲ Πρωτεϲιλάου ἀδελφόϲ.

So finden sich die Einträge oft ganz unkenntlich an ganz unerwarteten Stellen und provozieren nicht nur die Frage nach dem Nutzen der Lexika, sondern auch nach Einstellung und Erwartungen ihrer Nutzer, die erkennbaren Unsinn treulich und vollständig sich selbst und der Nachwelt erhielten. Was sie ausgezeichnet haben muss, ist eine unendliche Geduld und Leidensbereitschaft, verbunden mit Besitzerfreude, Neugierde und Entdeckerlust: Im Zauberwald der Wörter warteten auf Schritt und Tritt Kostbarkeiten, Überraschungen und Ungeheuer darauf, entdeckt, erlebt und erlegt zu werden.

---

30 Die falsche Einordnung bestätigt, dass die am Anfang entstellten Wörter so aus den Quellen übernommen oder bei der Sortierung gelesen wurden. Es sind vorwiegend Maiuskelfehler.

## LITERATUR

H. Erbse, Beiträge zur Überlieferung der Iliasscholien. Zetemata 24. München 1960.

H. Erbse, Scholia Graeca in Homeri Iliadem I - VII. Berlin 1969-88.

FGrHist = F. Jacoby, Die Fragmente der griechischen Historiker. Berlin-Leiden 1923-

J-A. Fernandez Delgado, Paráfrasis homéricas en papiros. Ex. Class. 15, 2011, 3-45. ISSN-3225

R.L. Fowler, Early Greek Mythography. Oxford 2000.

A. Henrichs, Scholia minora zu Homer **1**: ZPE 7 (1971) 97-149. **2**: ZPE 7 (1971) 229-60. **3**: ZPE 8 (1971) 1-12. **4**: ZPE 12 (1973) 17-43.

"Homertext": H. van Thiel, Der Homertext in Alexandria. ZPE 115 (1997) 13-36.

"Ilias": H. van Thiel, Homeri Ilias. Hildesheim 2010[2].

M. Hillgruber, Die pseudoplutarchische Schrift de Homero 1, 2. Stuttg. 1994. 1999.

H. Hintenlang, Untersuchungen zu den Homer-Aporien des Aristoteles, Heidelberg 1961.

Lexeis Homerikai. Proecdosis 2005[2] (kups.ub.uni-koeln.de/1815/)

LfgrE = Lexikon des frühgriechischen Epos 1 - 4. Göttingen 1979 - 2010.

A. Ludwich, Aristarchs homerische Textkritik 2, Leipzig 1885. (Homerparaphrasen S. 481ff.)

A. Ludwich, Homeri Iliadis et Odysseae periochae metricae. FS Königsberg 1887

D. Lührs, Untersuchungen zu den Athetesen Aristarchs in der Ilias ... Hildesheim 1992.

J. Lundon, The Scholia minora in Homerum (2012).
www.trismegistos.org/top (Band 7)

V. de Marco, Sulla tradizione manoscritta degli "Scholia minora" all' Iliade, in: Atti della Reale Accademia Nazionale dei Lincei, Serie VI, vol. IV. Roma 1932, 373-410.

V. de Marco, Da un manoscritto degli Scholia Minora all' Iliade, in: Atti della Reale Accademia d' Italia, Rendiconti della classe di Scienze morali e storiche, Serie VII, Suppl. al vol. II. Roma 1941, 125-45. (Codex Z Buch VII; cf ZPE )

Mertens-Pack[3]. web: promethee.philo.ulg.ac.be/cedopal

F. Montanari, Studi di filologia omerica I, Pisa 1979. II, Pisa 1995. Zu Paraphrasen II, S. 59-68.

F. Montanari, The Mythographus Homericus. Festschrift D. M. Schenkeveld (Amsterdam 1995), 135-172.

J. Nicole, Les Scolies Genevoises de l' Iliade. Genf 1891. Zu Paraphrasen S. XXX - XL.

G. Petzl, Antike Diskussionen über die beiden Nekyiai. Meisenheim 1969.

R. Pfeiffer, History of Classical Scholarship 1. Oxford 1968.

F. Pontani, Sguardi su Ulisse: La tradizione esegetica Greca all' Odissea. Roma 2005.

M. van Rossum-Steenbeek, Greek Reader's Digests? Leiden 1998 (zu den Papyri: Hypotheseis ed. p. 246-59, Historiai ed. p. 278-301).

A. Schimberg, Zur handschriftlichen Überlieferung der Scholia Didymi. Philol. 49 (1890) 421-56.

A. Schimberg, Zur handschriftlichen Überlieferung der Scholia Didymi II - III, in: Wissensch. Beilage zu dem Progr. des K. Ev. Gymnasiums zu Ratibor 1891/2. Göttingen 1891-2.

M. van der Valk, Researches on the Text and Scholia of the Iliad 1, 2. Leiden 1963-4.

I. Vassis, Die handschriftliche Überlieferung der sogenannten Psellos-Paraphrase der Ilias. Meletemata Band 2. Hamburg 1991.

"Venetus A": D. Comparetti, Homeri Ilias cum scholiis, Codex Venetus A Marcianus 454 phototypice editus. Leiden 1901. www.homermultitext.org/hmt-image/archive

**Sigla** (cf. Homeri Ilias$^2$, 2010, p. XXII-XXIII)

Codices scholiorum classis D

**Z** (de Marco C, s. IX) Romanus, Bibl. Naz. Centr. Gr. 6 et Matrit. B. N. 4626, quorum ille scholia ad A - Z 373, hic scholia ad H 89 - Ω pertinentia continet.

**Y** (de Marco H, s. XI) Vat. gr. 2193. Deficit post Ψ 144.

**Q** (de Marco V, s. XI) Vat. gr. 33.

**X** (de Marco R, s. XII) Vat. gr. 32.

**S** (s. XI, de Marco P in typoscripto) Par. suppl. gr. 679, ff. 1-20, Continet Π 140,3 ἐπ'] εὐωχία - Σ 590,2 καὶ χορ[ὸν omissis P 243 - 521.

**Vat** Vat. gr. 1456 palimpsestus, litteris maiuscolis scriptus, notas breviores continet ab A 596 ad A 604 ἀμειβόμεναι. Ed. F. Montanari, Studi I, 29ss.

**L** Editio princeps ab Ianni Lascaride anno 1517 confecta.

Codices textus Iliadis scholiis ornati

**A** Marcianus 454 (s. X), codex "Venetus" celeberrimus. Continet pleraque scholia longiora classis D, sed omittit explicationes, a quibus scholia longiora incipiunt. Quod in siglis appictis neglegi posse arbitrati sumus.

**A$^{ti}$** Glossae interlineares codicis Veneti. Uncis ( ) circumduximus id verbum, super quod glossa incipit, quod saepe, non semper verbum explicatum est.

**A$^{td}$** Glossae in margine dextro exaratae.

**A$^{ts}$** Glossae in margine sinistro exaratae.

Glossae A$^{ti}$, A$^{td}$, A$^{ts}$ hic insertae ex scholiis D manaverunt, nonnumquam fortasse e paraphrasi Iliadis (cf. ZPE 132, p. 11-12).

**A$^1$** Lectio ante correcturam.

**A$^c$** Lectio e correctura.

**A$^\lambda$** Lemma.

**A$^m$** Glossa in margine extremo plerumque recentior.

**A$^r$** Glossa manus recentioris, plerumque interlinearis.

**Athous** Vatopedi 592, s. XV, cum scholiis aliquot in codice A deperditis.

**B** Marcianus 453, s. XI, cum scholiis familiae b (et inter alia Porphyrii = B*).

**E** Scorialensis 294 (y I 1), s. XI, cum scholiis familiae b.

**F** Scorialensis 513 (Ω I 12), s. XI.

**G** Genavensis 44, s. XIII/XIV (Allen cod. Ge: Vassis p. 59)

**I** Angelicus 122 (C I 1), s. XIII (Allen cod. Ag)

**J** (olim R) cod. Riccardianus 30 (s. XIII, Allen cod. R$^1$: Vassis p. 78).

**M** Ambrosianus 74 (A 181 sup.), s. XIII, cum scholiis familiarum h et 𝔇.

**N** Marcianus 458, s. XII/XIII (cont. Ξ 419ss).

**T** Townleianus (BM Burney 86, scriptus anno 1059). T* = Demetrios Ixion.

**T$^i$** Glossae interlineares codicis T.

**T$^r$** Glossae recentiores praecipue saeculi XIII plerumque interlineares).

**U** Ambrosianus L 116 sup., s. XIII (Allen cod. M$^{11}$: Vassis p. 83).

Apparatus criticus non omnia praebet, sed selecta; itaque quae non dicuntur, e silentio colligi non possunt.

**/Z^s /Y^s /Q^s /X^s /L^s /U^s** sigla testem principem indicant.

𝔇 Scholia classis D, sine additamentis codicis Q vel Lascaridis.

𝔓 sine numero: Papyri scholia minora continentes, a John Lundon collectae: http://www.gltc.leidenuniv.nl/index.php3?m=56&c=238

𝔓Par vide Fernandez Delgado-

≃ idem isdem vocibus aliter inclinatis redditur.

↑↓ Altera explicatio, quae saepe aliis locis vel in aliis codicibus invenitur.

¦ initium testimonii, quod testis alius postea nominatus praebet, ut e.g. A 6/Z^s διαστήτην: διέστησαν καὶ ¦ διεχωρίσθησαν (= U^i*L), ubi vox διεχωρίσθησαν etiam in codice U et editione Lascaridis invenitur.

**G* I* U*** primae explicationes scholiorum D non in scholio, sed in paraphrasi inveniuntur.

⌜ ⌝ Additamenta testium recentiorum, quae testis princeps non habet.

⌞ ⌟ In lemmatibus: Additamenta ex Homero.

→ Verba Homeri non aliis verbis redduntur, sed verbis addendis illustrantur, praecipue in notis T^r.

( ) Sigla uncis inclusa sunt, si codex partes textus recepti omisit. Quod potissimum ad codices X et A quadrat, quorum verba certis rationibus redacta esse apparet.

/ Siglum in apparatu critico separat varias lectiones Homericas (secundum editionem meam aut Ludwichii), quarum una vel altera in lemmatibus codicum 𝔇 invenitur, prima textum receptum praebet.

‖ .. Adnotatio in apparatu critico cum adnotatione priore coniungenda.

**duo scholia**: e.g. in scholio A 48/Z^s pro 'νεῶν' δὲ τῶν πλοίων (Z) alterum scholium praebent codd. YQ νεῶν : τῶν πλοίων (cf ZPE 132, 3-4).

**post**: Scholia singula intervallo longiore a loco suo inventa, ubicumque perturbatio codicis Z cum aliis codicibus fere concinit aut scholium in aliis codicibus deficit.

**inter**: Scholia complura intervallo longiore a loco suo inventa, ubicumque perturbatio in Z cum aliis codicibus fere concinit. In quibus inveniuntur explicationes duplices. Eas marginibus adscriptas posteaque textui insertas esse pro certo habeas.

**ὅτι ...**: verba scholiorum D etiam in scholiis A inveniuntur addito verbo ὅτι (et signo diplae), i.e. etiam ab Aristarcho usurpata sunt.

Ak = Aristonicus in codice A.
Aph = Aristophanes Byzantius.
ApS = Apollonius Sophista.
Ar = Aristarchus.
Di = Didymus in codice A.
ApD = Apollonius Dyscolus.
EtG = Etymologicum Genuinum.
EtGu = Etymologicum Gudianum.
EtM = Etymologicum Magnum.
ex = scholia exegetica codicis A.
Hd = Herodianus in codice A.
He = Hesychius.
Ni = Nicanor in codice A.
Ze = Zenodotus.

"Ak Di Hd Ni ex" secundum indicationes, quas Erbse in margine editionis praebet.

ΥΠΟΘΕϹΙϹ ΤΗϹ Α.

tituli librorum ΥΠΟΘΕϹΙϹ ΤΗϹ .. et ΑΡΧΗ ΤΗϹ .. uter alter aut uterque Z : ὑπόθεϲιϲ τῆϲ .. ὁμήρου ἰλιάδοϲ Y : ὑπόθεϲιϲ .. ὁμήρου ῥαψωδίαϲ Q : ἰλιάδοϲ .. ὁμήρου λεξικοῦ X ||

A 0/$Z^s$ Χρύϲηϲ ἱερεὺϲ τοῦ Ἀπόλλωνοϲ παραγίνεται ἐπὶ τὸν ναύϲταθμον τῶν Ἑλλήνων βουλόμενοϲ λυτρώϲαϲθαι τὴν θυγατέρα αὐτοῦ Χρυϲηΐδα· οὐκ ἀπολαβὼν δέ, ἀλλὰ καὶ μεθ' ὕβρεωϲ ὑπὸ Ἀγαμέμνονοϲ ἀποδιωχθείϲ, ηὔξατο τῶι Ἀπόλλωνι κατὰ τῶν Ἑλλήνων. λοιμοῦ δὲ γενομένου καὶ πολλῶν, ὡϲ εἰκόϲ, διαφθειρομένων, ἐκκληϲίαν Ἀχιλλεὺϲ ϲυνήγαγεν. Κάλχαντοϲ δὲ τὴν ἀληθῆ διαϲαφήϲαντοϲ αἰτίαν καὶ κελεύϲαντοϲ Ἀχιλλέωϲ ἐξιλάϲκεϲθαι τὸν θεόν, Ἀγαμέμνων ὀργιϲθεὶϲ διηνέχθη πρὸϲ τὸν Ἀχιλλέα καὶ αὐτοῦ τὸ γέραϲ ἀπέϲπαϲε τὴν Βριϲηΐδα. ὁ δὲ ὀργίζεται τοῖϲ Ἕλληϲι. Θέτιϲ δέ, τοῦ υἱοῦ δεηθέντοϲ, εἰϲ Ὄλυμπον ἀνελθοῦϲα ἠιτήϲατο παρὰ τοῦ Διὸϲ ὅπωϲ τοὺϲ Τρῶαϲ ἐπικρατεϲτέρουϲ ποιήϲηι τῶν Ἑλλήνων. Ἥρα δὲ γνοῦϲα διηνέχθη πρὸϲ τὸν Δία, ἕωϲ αὐτοὺϲ διέλυϲεν Ἥφαιϲτοϲ οἰνοχοήϲαϲ. οἱ δὲ τὸ λοιπὸν τῆϲ ἡμέραϲ εὐωχηθέντεϲ εἰϲ ὕπνον τρέπονται. ZQU (cf 𝔓Bon 1, 6, aliter 𝔓Achm. 2, 𝔓Oxy 56, 3829)

A 1/$Z^s$+$U^s$ μῆνιν: ὀργήν, χόλον ἐπίμονον. ἐζήτηται δὲ εὐθὺϲ διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο τοῦ πολέμου ὁ ποιητὴϲ γράφειν. καὶ φαμὲν ὅτι ἅπαϲ μὲν ὁ χρόνοϲ ὁ πρὸ τοῦ δεκαετοῦϲ οὐκ ἔϲχεν οὕτω ϲυνεχεῖϲ τὰϲ μάχαϲ διὰ τὸ καὶ τοὺϲ Τρῶαϲ αὐτοὺϲ φόβωι τοῦ Ἀχιλλέωϲ ἐντὸϲ κατακεκλεῖϲθαι τοῦ τείχουϲ. τὸ δὲ δέκατον ἔτοϲ πλείοναϲ ἔϲχε τὰϲ πράξειϲ καὶ τοὺϲ πολέμουϲ ἰϲοπάλουϲ, τοῦ Ἀχιλλέωϲ ὀργιζομένου. ὁ δὲ ποιητὴϲ οἰκονομικῶϲ καὶ ἐν τούτωι ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων. διὰ δὲ τῶν ϲποράδην αὐτῶι λεχθέντων περιέλαβεν καὶ τὰ πρὸ τούτου πραχθέντα. αὕτη γὰρ ἀρετὴ ποιήϲεωϲ τὸ ἀπὸ τῶν μέϲων ἄρξαϲθαι, προϊόντα δὲ καὶ τὴν ἀρχὴν διηγεῖϲθαι κατὰ μέροϲ. ZQU*I, ~$T^s$ | ἤρξατο δὲ ἀπὸ μήνιδοϲ, ἐπείπερ αὕτη τοῖϲ πρακτικοῖϲ ὑπόθεϲιϲ γέγονεν. ἄλλωϲ τε καὶ τραγωιδίαιϲ τραγωιδικὸν ἐξεῦρε προοίμιον· καὶ γὰρ προϲεκτικοὺϲ ἡμᾶϲ ἡ τῶν ἀτυχημάτων διήγηϲιϲ ἐργάζεται, καὶ ὡϲ ἄριϲτοϲ ἰατρὸϲ πρῶτον μὲν ἀναϲτέλλων τὰ νοϲήματα τῆϲ ψυχῆϲ ὕϲτερον δὲ τὴν ἴαϲιν ἐπάγει· Ἑλληνικὸν τὸ πρὸϲ τέλει τὰϲ ἡδονὰϲ ἐπάγειν. ὥϲπερ δὴ ἐπὶ ϲυκῆϲ πρῶτον μέν ἐϲτιν ὄλυνθοϲ, εἶτα φήληξ ϲῦκον ἰϲχάϲ, οὕτω πρῶτον ὀργή, θυμὸϲ χόλοϲ κότοϲ μῆνιϲ, ὅμωϲ ὁ ποιητὴϲ ϲυνωνύμοιϲ ὀνόμαϲιν ἐπὶ Ἀχιλλέωϲ χρῆται· 'ἠὲ χόλον παύϲειεν ἐρητύϲειέ τε θυμόν' (A 192)· 'οὐδ' ὄθομαι κοτέοντοϲ' (A 181)· 'αὐτὰρ ὁ μήνιε νηυϲί' (A 488). UIT$^s$A$^s$ | ἄριϲτον δὲ προοίμιον περιλαμβάνειν τὴν τῆϲ πραγματείαϲ ἐπαγγελίαν. UI | ζητοῦϲι δὲ καὶ τοῦτο διὰ τί ἀπὸ τῆϲ μήνιδοϲ ἤρξατο οὕτωϲ δυϲφήμου ὀνόματοϲ. διὰ δύο ταῦτα· πρῶτον μὲν ἵν' ἐκ τοῦ πάθουϲ ἀποκαθαρεύϲηι τὸ τοιοῦτον μόριον τῆϲ ψυχῆϲ καὶ προϲεκτικωτέρουϲ τοὺϲ ἀκροατὰϲ ἐκ τοῦ μεγέθουϲ ποιήϲηι καὶ προϲυνεθίϲηι φέρειν γενναίωϲ ἡμᾶϲ τὰ πάθη, μέλλων πολέμουϲ ἀπαγγέλλειν· δεύτερον ἵνα τὰ ἐγκώμια τῶν Ἑλλήνων πειθανότερα ποιήϲηι. ἐπεὶ δὲ ἔμελλεν νικῶνταϲ ἀποφαίνειν τοὺϲ Ἕλληναϲ, εἰκότωϲ οὐ κατατρέχει, ἀξιοπιϲτότερον ἐκ τοῦ μὴ πάντα χαρίζεϲθαι τῶι ἐκείνων ἐπαίνωι. ZQATUI

3 αὐτοὺϲ om L || 5 ἰϲοπαλεῖϲ QU || 8 ἀρετὴ ZUL : ἀρχὴ Q || 13 ἐπάγει TA : λέγει U || 15 ⟨ὡϲ⟩ ϲυνωνύμοιϲ TA || 18-19 δὲ καὶ τοῦτο om A || 20 ἀποκαθαριεύϲηι Q, ἀποκαταρρεύϲηι A || 21 ἐκ : ἐπὶ A || προϲεθίζηι A || 23 πιθανώτερα QUTA || ἐπεὶ δὲ A, ἐπεὶ γὰρ Erbse : ἐπειδὴ ZQU || 24 οὐ del. Maass, οὖν οὐ U || ἀξιόπιϲτοϲ ὢν U ||

A 1/$Z^s$+$U^s$ ἄειδε: ἆιδε, λέγε. διὰ τί δὲ ὡϲ προϲτάϲϲων ἐϲτὶ τῆι Μούϲηι καὶ οὐχ ὡϲ εὐχόμενοϲ αὐτῆι; δύναιτο δ' ἄν τιϲ λέγειν ὡϲ καὶ πολλαὶ θεαὶ καὶ Ἥρα καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ. ἐροῦμεν οὖν ὅτι προϲτάϲϲει μὲν διὰ τὸ λέγειν ἐκ καταρχῆϲ καὶ μηδ' ὅτι λέγειν †ποτὲ νοεῖν. 'θεὰν' δὲ εἴρηκεν κοινῶι μὲν ὀνόματι προϲαγορεύων τὴν Μοῦϲαν, τῆι δὲ ἰδιότητι τῆϲ πράξεωϲ προδηλώϲαϲ ὡϲ οὐχ ἑτέραν λέγει· μόναι γὰρ ἄιδουϲι Μοῦϲαι. οὐ προϲέθηκεν δὲ οὐδὲν ὄνομα, Μούϲαϲ πάϲαϲ διὰ τῆϲ μιᾶϲ καλῶν. ZYQUIM$^s$ | ἄλλοι δὲ φαϲὶν ὅτι κατὰ τὴν ποιητικὴν ἄδειαν ἢ ϲυνήθειαν λαμβάνει τὰ προϲτακτικὰ ἀντὶ εὐκτικῶν. ὁ γὰρ Ἡϲίοδοϲ φηϲί· 'δεῦτε δὴ ἐννέπετε' (Erga 2), καὶ Πίνδαροϲ· 'μαντεύεο Μοῦϲα' (fr. 150 Sn.), καὶ Ἀντίμαχοϲ ὁ Κολοφώνιοϲ· 'ἐννέπετε Κρονίδαο Διὸϲ (~G) μεγάλοιο θύγατρεϲ' (fr. 1 Wyss).⟩ δεύτερον

δέ, ὅτι οὐ κατὰ ἀλήθειαν ταῖς Μούσαις ἐπιτάσσουσιν, ἀλλ' ἑαυτοῖς. UIM$^{s}$(T$^{s}$)A$^{s}$

explicationes verborum ἄειδε et θεά mixtae, cf T$^{s}$ || 1 διὰ τί δὲ om Q || 4 cf T$^{s}$ ἄιδειν ποιεῖ μετωνυμικῶς || 5 a voce προ]δηλώσας incipit Y || 6 μούσας Z : μούσης YUL, μούσαις Q || 10 κρονίδαο Eu : κρονίωνος UGA ||

A 1/Z$^{s}$ θεά: Μοῦσα· λέγει δὲ τὴν Καλλιόπην. ZYQ~G$^{i}$

A 1/Z$^{s}$ Πηληϊάδεω: τοῦ Πηλέως παιδός. ZYQ

A 1/Z$^{s}$+U$^{s}$ Ἀχιλῆος: οὕτως γὰρ ἀναγνωστέον διὰ τοῦ ἑνὸς λάμβδα καὶ διὰ τὸ μέτρον καὶ διὰ τὸ "ἄχος", ὅ ἐστι λύπην, ἐπενεγκεῖν τοῖς "Ἰλιεῦσιν". οἱ δὲ παρὰ τὸ "μὴ θιγεῖν χείλεσιν" θηλῆς· ὅλως γὰρ οὐ μετέσχεν γάλακτος. ZYQATUIGM$^{s}$, Epim. | ὅτι δὲ ὑπὸ Μυρμιδόνων ἐκλήθη Ἀχιλεύς, καθὼς Εὐφορίων λέγει· 'ἐς Φθίην χιλοῖο κατήϊε πάμπαν ἄπαστος, / τοὔνεκα Μυρμιδόνες μιν Ἀχιλέα φημίξαντο' (fr. 57 Powell). UI

1 γὰρ om YQA || 2 ἐνεγκεῖν Y || 4 δὲ om. I || 5 ἄπταστος I || μυρμιδόνες μιν EtM 181,32 : μυρμιδόνεσσιν IU ||

A 2/Z$^{s}$ οὐλομένην: ὀλεθρίαν. ZYQ = ApS 124,12

A 2/Z$^{s}$ ἥ: ἥτις ὀργή. ZYQ

A 2/Z$^{s}$ μυρία: ἀορίστως ἀντὶ τοῦ ¦ πολλά (= ApS 114,12). ZYQ

A 2/Z$^{s}$ Ἀχαιοῖς: τοῖς Ἕλλησιν. Ξοῦθος ὁ Αἰόλου παῖς ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα ἔσχεν ἐξ αὐτῆς δύο παῖδας Ἴωνα καὶ Ἀχαιόν, ὧν ὁ μὲν Ἴων ᾤκησεν Ἀθήνας, ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας παρεγένετο εἰς Θεσσαλίαν καὶ κυριεύσας τῆς χώρας τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοι οὖν οὕτως ἐλέγοντο οἱ ἐν Θεσσαλίαι ἄνθρωποι καὶ οὗτοι οὐ πάντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῆι πόλει· ἔπειτα τοίνυν μεγάλα δυνηθέντος τοῦ Ἕλληνος καὶ τῶν τούτου παίδων ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες. ZYQAUI (cf Pfeiffer Callim.I p. 19,22)

7 τοίνυν ZQU : δὲ Y, om A ||

A 2/Z$^{s}$ ἄλγεα: κακά, ἢ λύπας. ZYQ

A 2/Z$^{s}$ ἔθηκε: ἐποίησεν (= ApS 63,14), εἰργάσατο. ZYQ

A 3/Z$^{s}$ πολλὰς δ': παμπόλλους. ZYQ

δ' om YQ$^{\lambda}$, sim. saepe ||

A 3/Z$^{s}$ ἰφθίμους ψυχάς: ἰσχυράς, γενναίας. ZYQI (ἰσχυροψύχους 𝔓 = ApS 93,18)

ψυχάς om YQ, sim. saepe ||

A 3/Z$^{s}$+Y$^{s}$ Ἄϊδι: τῶι Ἅιδηι. ZYQI | ἀπὸ εὐθείας τῆς Ἄϊς (=I), ὡς Πάρις Πάριδος. YQ ApS 14,3, EtM 42,17/Seleucus

A 3/Z$^{s}$ προΐαψεν: πρὸ τῆς εἱμαρμένης ἔπεμψεν. ZYQ

A 4/Z$^{s}$ ἡρώων: τῶν ποτὲ ἡμιθέων ἀνδρῶν. ἥρωας δὲ φασὶ κληθῆναι ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ "ἀέρος", ὥς φησιν Ἡσίοδος ἐν τοῖς Ἔργοις καὶ ταῖς Ἡμέραις 'ἠέρα ἑσσάμενοι πάντη φοιτῶσιν ἐπ' αἶαν' (Erga 125). ἢ ἀπὸ τῆς "ἐράσεως", τουτέστι τῆς μίξεως τῶν θεῶν· οἱ γὰρ θεοὶ θνηταῖς γυναιξὶν συνερχόμενοι ἐποίουν γένος τὸ τῶν ἡρώων. ἢ ἀπὸ τῆς "ἔρας"· ἔρα δὲ ἡ γῆ κατὰ διάλεκτον, ἐκ δὲ τῆς γῆς ἐπλάσθη τὸ γένος τῶν ἀνθρώπων. ZYQAUI Epim.

1 ποτὲ Z : τότε Q, om Y || 2 ἐν ... ἡμέραις om A Epim. || 3 πάντη ... αἶαν om A Epim. || {τῆς} μίξεως YQ || 4 τὸ τῶν ἡρώων γένος YQUI ||

A 4/Z$^{s}$ αὐτοὺς δέ: ἀντὶ τοῦ τὰ δὲ σώματα αὐτῶν. ZYQ ~ Ak, T$^{s}$

A 4/Z$^{s}$ ἑλώρια: ἑλκύσματα (= ApS 76,7), σπαράγματα. ZYQI

A 4/Z$^{s}$ τεῦχε: ἐποίει. ZYQI

A 4/Z$^{s}$+A$^{ti}$ κύνεσσι: κυσίν. Αἰολὶς ἡ διάλεκτος. ZYQG$^{i}$

A 4/A$^{ti}$+T$^{i}$ ⌞κύνεσσι⌟ Αἰολέων. | T κατὰ Αἰολεῖς.

A 5/Z$^{s}$ οἰωνοῖσι τε: τοῖς σαρκοφάγοις ὄρνισιν· ¦ λέγει δὲ γυψὶν καὶ κόραξιν (=G$^{i}$ ~A$^{ti}$T$^{r}$). ZYQI cf ApS 119,30 σαρκοφαγοῦντας οἷον γῦπας.

A 5/Z$^{s}$ πᾶσιν: ἅπασιν. ZYQ

A 5/$Z^{s}$ Διὸϲ δέ: ἡ δὲ τοῦ Διόϲ. ZYQ

A 5/$Z^{s}$ ἐτελείετο: ἐτελειοῦτο (=G), ἐπληροῦτο. ZYQ

A 5/$Z^{s}$ βουλή: γνώμη. ZYQ

A 5/$Z^{s}$ Διὸϲ δ' ἐτελείετο βουλή: 'Διὸϲ βουλὴν' οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοϲαν, ἄλλοι δὲ ἐξεδέξαντο δρῦν ἱερὰν μαντικὴν τοῦ Διὸϲ ἐν Δωδωναίωι ὄρει τῆϲ Θεϲπρωτίαϲ, ὡϲ αὐτὸϲ Ὅμηροϲ λέγει ἐν Ὀδυϲϲείαι· 'τὸν δ' ἐϲ Δωδώνην φάτο βήμεναι ὄφρα θεοῖο ἐκ δρυὸϲ ὑψικόμοιο Διὸϲ βουλὴν ἐϲακούϲοι' (ξ 327s). ἄλλοι δὲ ἀπὸ ἱϲτορίαϲ τινὸϲ εἶπον εἰρηκέναι τὸν Ὅμηρον· φαϲὶ γὰρ τὴν γῆν βαρουμένην ὑπὸ ἀνθρώπων πολυπληθίαϲ, μηδεμιᾶϲ ἀνθρώπων οὔϲηϲ εὐϲεβείαϲ, αἰτῆϲαι τὸν Δία κουφιϲθῆναι τοῦ ἄχθουϲ. τὸν δὲ Δία πρῶτον μὲν εὐθὺϲ ποιῆϲαι τὸν Θηβαϊκὸν πόλεμον δι' οὗ πολλοὺϲ πάνυ ἀπώλεϲεν· ὕϲτερον δὲ πάλιν, ϲυμβούλωι τῶι Μώμωι χρηϲάμενοϲ, {ἣν Διὸϲ βουλὴν Ὅμηρόϲ φηϲιν, ἐπειδὴ οἷόϲ τε ἦν κεραυνοῖϲ ἢ κατακλυϲμοῖϲ ἅπανταϲ διαφθείρειν. ὅπερ τοῦ Μώμου κωλύϲαντοϲ, ὑποθεμένου δὲ αὐτῶι γνώμαϲ δύο} τὴν Θέτιδοϲ θνητογαμίαν καὶ θυγατρὸϲ καλῆϲ γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμοϲ Ἕλληϲί τε καὶ βαρβάροιϲ ἐγένετο. ἀφ' οὗ ϲυνέβη κουφιϲθῆναι τὴν γῆν πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱϲτορία παρὰ Στακίνωι τῶι τὰ Κύπρια πεποιηκότι, εἰπόντι οὕτωϲ· 'ἦν ὅτε μύρια φῦλα κατὰ χθόνα †πλαζόμενα / ⟨**⟩ βαρυϲτέρνου πλάτοϲ αἴηϲ. / Ζεὺϲ δὲ ἰδὼν ἐλέηϲεν καὶ ἐν πυκιναῖϲ πραπίδεϲϲιν / ϲύνθετο †κουφίϲαι παμβώτορα γαίηϲ ἀνθρώπων / ῥιπίϲαι πολέμου† μεγάλην ἔριν Ἰλιακοῖο / ὄφρα κενώϲειεν θανάτου βάροϲ· οἱ δ' ἐνὶ Τροίηι / ἥρωεϲ κτείνοντο. Διὸϲ δ' ἐτελείετο βουλή'. καὶ τὰ μὲν παρὰ τοῖϲ νεωτέροιϲ ἱϲτορούμενα περὶ τῆϲ τοῦ Διὸϲ βουλῆϲ ἐϲτὶν τάδε (Cypria fr. 1), ἡμεῖϲ δὲ φαμὲν κατὰ τὴν Ἀριϲτάρχειον καὶ Ἀριϲτοφάνουϲ δόξαν τὴν Θέτιδοϲ εἶναι βουλήν, ἣν ἐν τοῖϲ ἑξῆϲ φηϲιν λιτανεύουϲαν τὸν Δία ἐκδικῆϲαι τὴν τοῦ παιδὸϲ ἀτιμίαν (A 508), καθάπερ καὶ τὰ κεφάλαια ἐν τῶι προοιμίωι κεῖται τῆϲ ποιήϲεωϲ. ZYQAUI

δὲ $Z^{\lambda}$ || 1 ἐϲπαρμένην Z || 2 δωδώναιϲ Z || 6 πολυπληθείαϲ YQ || 7 {τὸν} θηβαϊκὸν A || 9 ἣν Διὸϲ βουλὴν ... γνώμαϲ δύο (11) delevi falso loco male narrata (9 οἷόϲ τε ἦν fort. i.q. ἔμελλε vel ἐβουλεύετο, 10 πάνταϲ YQA, 11 γνώμαϲ δύο om. A) || 11 θυγατέρα .. A || καλῆϲ Y : καλὴν ZYQAU || 13 παρὰ ταϲίνωι YA, ταραϲίνω QU, τὰ ϲεινω Z || 14 πλαζόμεν' ἀ⟨νδρῶν⟩ Barnes, πλαζομένων περ / ἀνθρώπων ἐβάρυνε Ludwich || βαθυϲτέρνου Lascaris || 16 κουφίϲαι ἀνθρώπων παμβώτορα ϲύνθετο γαῖαν Ribbeck, sed κουφίϲαι praeposterum ante 17 κενώϲειεν || γαῖαν Y || ῥιπίϲαι ⟨τε⟩ A || 17 θανάτωι Lascaris || δ' ἐνὶ τροίηι Lascaris : δὲ ἐν τροίηι ZAU(YQ τροία) || 20 τῆϲ θέτιδοϲ ZAU || {ἐν} τοῖϲ A || 21-22 καὶ τὰ κεφάλαια et κεῖται τῆϲ ποιήϲεωϲ om. A ||

A 6/$Z^{s}$ ἐξ οὗ δή: ἀφ' οὗ (=$A^{ti}$) δὴ χρόνου. ZYQ

A 6/$Z^{s}$ τὰ πρῶτα: τὸ πρῶτον καὶ τὴν ἀρχήν. ZYQ

A 6/$Z^{s}$ διαϲτήτην: διέϲτηϲαν καὶ ¦ διεχωρίϲθηϲαν (= $U^{i}$*L, = A 531𝔇 διέτμαγεν). ZYI

A 6/$Z^{s}$ ἐρίϲαντε: φιλονεικήϲαντεϲ ZYQ

A 7/$Z^{s}$ Ἀτρείδηϲ: ὁ Ἀτρέωϲ παῖϲ Ἀγαμέμνων. Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέωϲ τοῦ Πέλοποϲ, μητρὸϲ δὲ Ἀερόπηϲ, κατὰ δὲ Ἡϲίοδον Πλειϲθένουϲ (fr. 194 M.-W.), τὸ γένοϲ Μυκηναῖοϲ, ὃϲ ἤγαγε ναῦϲ εἰϲ Ἴλιον. ἐκπορθήϲαϲ δὲ τὴν Ἴλιον καὶ ὑποϲτρέψαϲ οἴκαδε ἀναιρεῖται ὑπὸ Αἰγίϲθου τοῦ Θυέϲτου δόλωι ἐπὶ εὐωχίαϲ. οὗτοϲ γὰρ παρὰ τὸν καιρὸν τῆϲ ἀποδημίαϲ ἐμοίχευϲε τὴν Ἀγαμέμνονοϲ γυναῖκα Κλυταιμήϲτραν. κατὰ δὲ τοὺϲ τραγικοὺϲ αὐτὴν τὴν Κλυταιμήϲτραν ἀνελεῖν αὐτὸν χιτῶνα μὴ ἔχοντα διέκδυϲιν τραχήλου ⸢δοῦϲαν αὐτῶι U⸣. ἔϲχεν δὲ ἐξ αὐτῆϲ υἱὸν μὲν Ὀρέϲτην καὶ θυγατέραϲ τέϲϲαραϲ, Λαοδίκην, Χρυϲόθεμιν, Ἰφιγένειαν καὶ Ἠλέκτραν. ZYQAUI

3 εἰϲ ϊλίου Z || 3 ͺαϲν ναῦϲ U : ͺαϲ' ναῦϲ Schimberg sec. Thuc. 1,10,4 || 4 ἐπ' εὐωχίαϲ Y, εὐωχίαϲ ἔπι Q || 5 ἐμοίχευϲε ZA : ἐμοίχευε YQ || 6 κλυταιμνήϲτραν bis YQA || 7 χιτῶνι μὴ ἔχοντι ἔνδυϲιν Q || ἐμβαλὼν αὐτῶι παρὰ τὸν πότον Y (perfacile corrigas ἐμβαλοῦϲαν) ||

A 7/$Z^{s}$ ἄναξ ἀνδρῶν: βαϲιλεύϲ. ZYQ

A 7/$Z^{s}$ καὶ δῖοϲ Ἀχιλλεύϲ: θεῖοϲ, εὐγενήϲ. ¦ ἢ ἀπὸ Διὸϲ ἔχων τὸ γένοϲ (~$G^{i}$), ἔντιμοϲ· ἀπὸ γὰρ Αἰγίνηϲ τῆϲ Ἀϲωποῦ τοῦ ποταμοῦ Θηβῶν Αἰακόϲ, Αἰακοῦ δὲ Τελαμὼν καὶ Πηλεύϲ, Πηλέωϲ δὲ Ἀχιλλεύϲ. ZYQUI (2 ἔντιμοϲ om YQ)

A 7/$U^s$ 'δῖοϲ' τὸ δι̅ μακρὸν ἀπὸ τοῦ Ζεύϲ, ὃ κλίνεται Διόϲ. καὶ ἐξ αὐτοῦ δίϊοϲ ὁ ἀπὸ τοῦ Διὸϲ καταγόμενοϲ, καὶ κράϲει τῶν δύο ι̅ι̅ εἰϲ ι̅ μακρὸν δῖοϲ. UI ~ Orio

A 8/$Z^s$ τίϲ τ' ἄρ ϲφωε: τίϲ δὴ αὐτοὺϲ τοὺϲ δύο, Ἀγαμέμνονα καὶ Ἀχιλλέα; πάλιν δὲ τοῦτο ὁ ποιητὴϲ ἐρωτᾶι τὴν Μοῦϲαν. ZYQI

A 8/$Z^s$ ἔριδι: φιλονεικίαι. ZQ

A 8/$Z^s$ ξυνέηκε: ϲυνέβαλεν. ZQ = ApS 117,32 | Ἀττικῶϲ τὸ ϲ̅ εἰϲ ξ̅. $T^r$

A 9/$U^s$ 'Λητοῦϲ' ἐκ τοῦ ληθω τὸ λανθάνω (~ EtM). ἐκ γὰρ τοῦ ἀφανοῦϲ ἐξεφάνη ὁ ἥλιοϲ (i.e. ὁ Ἀπόλλων).

A 9/$Z^s$ Λητοῦϲ καὶ Διὸϲ υἱόϲ: ὁ τῆϲ Λητοῦϲ καὶ Διὸϲ παῖϲ Ἀπόλλων. πάλιν δὲ τοῦτο ὡϲ ἀπὸ τῆϲ Μούϲηϲ. ZQ | Ζεὺϲ δὲ ἐραϲθεὶϲ Λητοῦϲ τῆϲ Κοίου θυγατρόϲ, ἑνὸϲ τῶν Τιτάνων, καὶ Φοίβηϲ, ἔγκυον αὐτὴν ἐποίηϲεν. ἥτιϲ δεκαμηνιαίου χρόνου διαγενομένου παρεγένετο διὰ θαλάϲϲηϲ εἰϲ Ἀϲτερίαν τὴν νῆϲον, μίαν οὖϲαν τῶν Κυκλάδων· ἐκεῖ τε ἐλθοῦϲα καὶ ἁψαμένη δύο φυτῶν, ἐλαίαϲ καὶ φοίνικοϲ, διδύμουϲ ἀπεκύηϲε παῖδαϲ Ἄρτεμιν καὶ Ἀπόλλωνα, καὶ τὴν νῆϲον ἐκάλεϲεν Δῆλον, ὅτι ἐξ ἀδήλου βάϲεωϲ ἐρριζώθη. ZQAUI

4 ἀϲτερίαν U ~ Callim. hy. 4,40 : ἀϲτέριον ZQA || 5 ἐκεῖ ZQU : ἐκεῖϲε A || 6 ἀποκυῆϲαι A || ἐκέλευϲεν Z || 7 βάϲεωϲ QAU : βαϲιλέωϲ Z ||

A 9/$Z^s$ ὁ γάρ: οὗτοϲ γάρ. ZQ

A 9/$Z^s$ βαϲιλῆϊ: τῶι βαϲιλεῖ. ZQ

A 9/$Z^s$ χολωθείϲ: ὀργιϲθείϲ. ZQ

A 10/$Z^s$ νοῦϲον: νόϲον λοιμικήν. ZQ

A 10/$Z^s$ ἀνὰ ϲτρατόν: κατὰ τὸ ϲτρατόπεδον. ZQI

A 10/$Z^s$ ὦρϲε: διήγειρεν, ἐνέβαλεν. Z(ὄρϲε) QI

A 10/$Z^s$ κακήν: κακωτικήν. ZQI

A 10/$Z^s$ ὀλέκοντο: ἀπώλλυντο. ZQ

A 10/$Z^s$ λαοί: ὄχλοι. λᾶεϲ κατὰ διάλεκτον οἱ λίθοι λέγονται. Προμηθέωϲ παῖϲ Δευκαλίων γίνεται· οὗτοϲ βαϲιλεύων τῶν περὶ τὴν Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπιμηθέωϲ καὶ Πανδώραϲ, ἣν ἔπλαϲαν οἱ θεοὶ πρώτην γυναῖκα. καὶ ἐπειδὴ Ζεὺϲ ἠθέληϲεν τὸ χαλκοῦν γένοϲ ἀπολέϲαι, ὑποθεμένου Προμηθέωϲ Δευκαλίων τεκτηνάμενοϲ λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενοϲ εἰϲ ταύτην μετὰ Πύρραϲ ἐνέβη. Ζεὺϲ δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέαϲ τὰ πλεῖϲτα μέρη τῆϲ Ἑλλάδοϲ κατέκλυϲεν, ὥϲτε διαφθαρῆναι πάνταϲ ἀνθρώπουϲ ὀλίγων χωρίϲ, οἵτινεϲ ϲυνέφυγον εἰϲ τὰ πληϲίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεϲϲαλίαν Τέμπη διέϲτη καὶ τὰ ἐκτὸϲ Ἰϲθμοῦ καὶ Πελοποννήϲου ϲυνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῆι λάρνακι διὰ τῆϲ θαλάϲϲηϲ φερόμενοϲ ἐφ' ἡμέραϲ ἐννέα καὶ νύκταϲ ἴϲαϲ τῶι Παρναϲϲῶι προϲίϲχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰϲ ἔθυϲε Διὶ Φυξίωι. Ζεὺϲ δὲ πέμψαϲ Ἑρμῆν πρὸϲ αὐτὸν ἐπέτρεψεν αἰτεῖϲθαι ὅ τι βούλεται. ὁ δὲ αἱρεῖται ἀνθρώπουϲ αὐτῶι γενέϲθαι καὶ Διὸϲ εἰπόντοϲ ὑπὲρ κεφαλῆϲ ἔβαλλεν αἴρων τοὺϲ λίθουϲ· οὓϲ μὲν οὖν ἔβαλεν ὁ Δευκαλίων ἄνδρεϲ ἐγένοντο, οὓϲ δὲ ἡ Πύρρα γυναῖκεϲ. ἡ ἱϲτορία παρὰ Ἀπολλοδώρωι (Bibl. 1,7,2). ZQUI, A ad 126

3 πανδώρηϲ Q || ἐπειδὴ QU : ἐπεὶ δὲ ZA || 4 ἠλέηϲεν Z || χαλκὸν A || ἀπολέϲθαι A || 5 εἰϲ ταύτην ZQU : ἐν αὐτῆι A || 7 ἀνθρώπων Z || 8 τέμπη Z : ϲτενώματα A, ϲτενώματα καὶ τέμπη QU || 10 προϲίϲχει Apd. : περιίϲχει ZQU, περιηχεῖτο A || 11 ἔθυϲε QAU : εὐθὺ ἐν Z || πυξίω Q || 13 κεφαλὴν QU || οὓϲ μὲν οὖν Z : οὓϲ μὲν Q, καὶ οὓϲ (μὲν) A(U) || ἔβαλλεν QAU || ὁ δευκαλίων ZQU : οὗτοϲ A || 14 ἡ ἱϲτορία παρὰ ἀπολλοδώρωι om A ||

A 11/$Z^s$ οὕνεκα: ἕνεκα, ἐπειδή. ZQ ~ E 266/Ak ὅτι ... ἀντὶ τοῦ τούνεκα

A 11/$Z^s$ ἠτίμηϲεν: ἀτίμωϲ περιύβριϲεν. ZQ

ὕβριϲεν Q ||

A 11/$Z^s$ ἀρητῆρα: ἱερέα. παρὰ τὸ ἀρᾶϲθαι, ὅ ἐϲτιν εὔχεϲθαι. ZQXU*I ~ ApS 41,28

A 12/$Z^s$ ὃ γάρ: οὗτοϲ γάρ. ZQX

A 12/$Z^s$ ἦλθε: παρεγένετο. ZQX

A 12/$Z^s$+$Q^s$ θοάς: ταχείας. ZQXU | σημαίνει δὲ καὶ ὀξείας, ὡς ἐν ἐκείνοις 'ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν' (o 299). QUIG ~ EtM 453, 10

A 12/$Z^s$+$Q^s$ ἐπὶ νῆας: ἐπὶ τὰς ναῦς, ZQXI | ὅ ἐστι τὰ πλοῖα QXI ≃ 48𝔇 | τῶν Ἑλλήνων. X

A 13/$Z^s$ λυσόμενός τε: λυτρωσόμενος. ZQX

A 13/$Z^s$ θύγατρα: τὴν θυγατέρα. ZQX

A 13/$Z^s$+$Q^s$ φέρων: κομίζων, ZQX | ἄγων. QX

A 13/$Z^s$ ἀπερείσια: ἄπειρα τῶι πλήθει, πολλά. ZQX = ApS 38,12

A 13/$Z^s$+$Q^s$ ἄποινα: δῶρα, λύτρα. ZQU | ἄφοινα τινὰ ὄντα, τὰ ἕνεκεν τοῦ φόνου διδόμενα. QU$G^i$, ~Epim.

A 14/$Z^s$+$A^{ti}$ στέμματ': στεφανώματα. ZQX | $A^{ti}G^i$ πληθυντικῶς.

A 14/$Z^s$ ἔχων: κατέχων. ZQX

A 14/$Z^s$ ἐν χερσίν: ἐν ταῖς χερσίν. ZQX

A 14/$Z^s$ ἑκηβόλου: ἕκαθεν, ὅ ἐστι πόρρωθεν, βάλλοντος τὰ βέλη, εὐστόχου τοξότου. ZQX

A 14/$Z^s$ Ἀπόλλωνος: τοῦ θεοῦ τοῦ Ἀπόλλωνος. Z

A 14/$Z^s$ στέμματ' ἔχων ἐν χερσίν: Λάδωνος τοῦ ἐν Ἀρκαδίαι ποταμοῦ Δάφνη ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη. ἐρασθεὶς δ' αὐτῆς Ἀπόλλων καὶ βουλόμενος συγγενέσθαι ἐδίωκεν· καταλαμβανομένης δὲ αὐτῆς ὑπὸ τοῦ θεοῦ φασὶν εὔξασθαι τῆι μητρὶ τῆι Γῆι χάσματι αὐτὴν δεχθῆναι. γενομένου δὲ τούτου καὶ τῆς Γῆς ἀναδούσης ὁμώνυμον φυτὸν Ἀπόλλων θεασάμενος ἐξεπλάγη, καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου δάφνην προσηγόρευσεν ὁμωνύμως, λαβὼν δὲ τῶν κλάδων αὐτὸς ἐστέψατο. ZQXAUI ~ Geopon. 11,2

6 τῶν κλάδων ZU : τὸν κλάδον QXA ||

A 15/$Z^s$ χρυσέωι ἀνὰ σκήπτρωι: περὶ τῶι κεχρυσωμένωι σκήπτρωι, ὅ ἐστι τῆι χρυσῆι ῥάβδωι τῆι βασιλικῆι. ZQXI

A 15/$Z^s$ καὶ ἐλίσσετο: ἐλιτάνευεν, παρεκάλει. ZQX = ApS 66,27

A 15/$Z^s$ πάντας Ἀχαιούς: πάντας τοὺς Ἕλληνας. ZQX

A 16/$Z^s$ Ἀτρείδα δὲ μάλιστα: μάλιστα δὲ τοὺς Ἀτρέως παῖδας ¦ Ἀγαμέμνονα καὶ Μενέλαον (=$G^i$), ὅ ἐστιν ἐξαιρέτως. ZQX

A 16/$Z^s$ δύω: δισσούς. ZQX | Ἀττικόν ἐστι δύο. $T^r$

A 16/$Z^s$ κοσμήτορε: διατάκτορας, ἡγεμόνας. ZQX

A 16/$Z^s$ λαῶν: ὄχλων. ZQX

A 17/$Z^s$ Ἀτρεῖδαί τε: ὦ Ἀτρέως παῖδες, Ἀγάμεμνον καὶ Μενέλαε. ZQX

A 17/$Z^s$ καὶ ἄλλοι: οἱ λοιποί. ZQX

A 18/$Z^s$ ὑμῖν μὲν θεοὶ δοῖεν: ὑμῖν μὲν θεοὶ παράσχοιεν. ZQX

A 18/$Z^s$+$Q^s$ Ὀλύμπια δώματ' ἔχοντες: οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοί. Ὄλυμπος δὲ κατὰ μὲν Ὅμηρον ὄρος τῆς Μακεδονίας μέγιστον, ἱερὸν τῶν θεῶν· κατὰ δὲ ἀλληγορίαν Ὄλυμπός ἐστιν ὁ οὐρανός (cf A 497 cum Ak $T^s$), ZQXU | παρὰ ⟨τὸ⟩ ὁλολαμπῆς εἶναι. QXU = Epim., ~IG

A 19/$Z^s$ ἐκπέρσαι: ἐκπορθῆσαι, καταστρέψαι. ZQX

A 19/$Z^s$ Πριάμοιο πόλιν: Πριάμου δὲ πόλιν τὴν Ἴλιον περιφραστικῶς. ZQX

A 19/$Z^s$ εὖ δὲ: καλῶς δέ. διὰ τί δὲ ὁ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; λέγομεν δὲ ὅτι πρῶτον μὲν ἔδει κολακεύειν τὸν τύραννον καὶ ταῦτα λέγειν ἅπερ ἐπεθύμει δρᾶσαι· δεύτερον δὲ ὅτι διὰ τοὺς Τρῶας ἀπωλωλέκει τὴν θυγατέρα. ZQXAUI | ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ' αὐτῶν. ZQAUI

3 ἀπολέκει Z ||

A 19/$Z^s$ οἴκαδε: εἰς τὰ οἰκεῖα. ZQX

A 19/$Z^s$ ἱκέσθαι: παραγενέσθαι. ZQX

A 20/$Z^s$ παῖδα δέ μοι: τὴν δὲ θυγατέρα μου. ZQX

A 20/Z$^{s}$ λύcατε: λύτρα λαβόντες ἀπόδοτε. ZQX
λύcαιτε / λύcατε vv.ll. Hom. ||

A 20/Z$^{s}$ φίλην: προcφιλεcτάτην. ZQX

A 20/Z$^{s}$ τὰ δ' ἄποινα: τὰ δὲ δῶρα. ZQX

A 20/Z$^{s}$ δέχεcθαι: λαμβάνετε. ZQX

A 21/Z$^{s}$ ἁζόμενοι: cεβόμενοι, ἢ ἐντρεπόμενοι. ZQX

A 21/Z$^{s}$ Διὸc υἱόν: τὸν Διὸc παῖδα 'Απόλλωνα. ZQX

A 22/Z$^{s}$ ἔνθα: τότε, χρονικὸν ἐπίρρημα· ἄλλωc δὲ "ἐνταῦθα" τοπικόν (= A 611𝔇). ZQX = E 1𝔇, ~G$^{m}$

A 22/Z$^{s}$ ἐπευφήμηcαν: μετ' εὐφημίαc ἐπεβόηcαν. ZQX

A 23/Z$^{s}$ αἰδεῖcθαι: ἐντρέπεcθαι. ZQX = ApS 15,13

A 23/Z$^{s}$ ἱερῆα: τὸν ἱερέα. ZQX

A 23/Z$^{s}$ καὶ ἀγλαά: καὶ καλά. ZQX

A 23/Z$^{s}$ δέχθαι: δέχεcθαι, λαμβάνειν. ZQX

A 24/Z$^{s}$ ἀλλ' οὐκ 'Ατρείδηι: ἀλλ' οὐ τῶι 'Ατρέωc παιδὶ 'Αγαμέμνονι. ZQX
τῶι X : τοῦ ZQ ||

A 24/Z$^{s}$+A$^{ti}$ ἥνδανε: ἤρεcκε. ZQX | A$^{ti}$ δαcύνεται = Epim.

A 24/Z$^{s}$ θυμῶι: τῆι ψυχῆι. ZQXI

A 25/Z$^{s}$ ἀλλὰ κακῶc: ἀλλὰ μεθ' ὕβρεωc. ZQX

A 25/Z$^{s}$ ἀφίει: ἀπέπεμπεν. ZQX

A 25/Z$^{s}$ κρατερόν: ἰcχυρόν, ἀπειλητικόν. ZQX

A 25/Z$^{s}$ μῦθον: λόγον. ZQX

A 25/Z$^{s}$ ἔτελλεν: ἐπέτελλεν, ἔλεγεν. ZQX

A 26/Z$^{s}$ μή cε γέρον: μή cε, ὦ πρεcβύτα. ZQX

A 26/Z$^{s}$ κοίληιcιν: κοίλαιc, ¦ βαθείαιc (=A$^{ti}$). ZQX

A 26/Z$^{s}$ παρὰ νηυcίν: παρὰ ταῖc ναυcίν. ZQX

A 26/Z$^{s}$ κιχείω: καταλάβω. ZQXI, ApS 99,31

A 27/Z$^{s}$ ἢ νῦν: ἢ ἐν τῶι παρόντι καιρῶι. ZQXA$^{ti}$I

A 27/Z$^{s}$+A$^{ti}$ δηθύνοντα: ἐγχρονίζοντα. ZQXI | χρονίζοντα, βραδύνοντα ≃ Z 503𝔇.

A 27/Z$^{s}$ ἢ ὕcτερον: ἢ ἐκ δευτέρου. ZQXI

A 27/Z$^{s}$ αὖτιc: πάλιν. ZYQX

A 27/Z$^{s}$ ἰόντα: παραγινόμενον. ZYQX

A 28/Z$^{s}$ μή νύ τοι: μὴ οὐκ ἄν cοι. ZYQXIT$^{r}$

A 28/Z$^{s}$ οὐ χραίcμηι: οὐ βοηθῆι cοι. ZYQX
βοηθήcοι ZYQX, cf A 242𝔇 "βοηθεῖν" ||

A 28/Z$^{s}$ cκῆπτρον: ἡ βαcιλικὴ ῥάβδοc. ZYQXI

A 28/Z$^{s}$ cτέμμα: cτεφάνωμα. ZYQX

A 28/Z$^{s}$ θεοῖο: τοῦ θεοῦ. ZYQX

A 29/Z$^{s}$ τὴν δ' : ταύτην δέ. ZYQX

A 29/Z$^{s}$ οὐ λύcω: οὐκ ἀπολύcω. ZYQX

A 29/Z$^{s}$ πρίν μιν: πρὸ τοῦ αὐτήν. ZYQX contra T$^{t}$ "μᾶλλον ἤ", Ak "πρότερον ἤ".

A 29/Z$^{s}$ καὶ⌋ γῆραc ἔπειcιν: τὸ γῆραc καταλάβηι. ZYQX~G | τὸ 'καὶ' παρέλκει κατὰ 'Αττικούc. T$^{r}$

A 30/Z$^{s}$ ἡμετέρωι ἐνὶ οἴκωι: ἐν τῆι ἡμετέραι οἰκίαι. ZYQX

A 30/Z$^{s}$ ἐν Ἄργεϊ: ἐν τῶι Ἄργει, ὅ ἐcτιν τῆι Πελοποννήcωι νῦν καλουμένηι. ὁ δὲ 'Αγαμέμνων ⟨βαcιλεὺc⟩ ἦν τῆc Μυκήνηc, πόλεωc 'Αργολικῆc. ZYQXU | ἰcτέον δὲ ὅτι ἡ Πελοπόννηcοc τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο ἀπὸ Αἰγιαλέωc τοῦ υἱοῦ 'Ινάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ Μελίαc τῆc 'Ωκεανοῦ· ὕcτερον δὲ πάλιν 'Απία

ἐκλήθη ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός, εἶθ' οὕτως Ἄργος ἀπὸ Ἄργου τοῦ πανόπτου· τελευταῖον δὲ πάντων Πελοπόννησος ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα. ZYQXUI, $A^{ts}$ ad 22

2 βασιλεὺς suppl. L ||

A 30/$Z^s$ τηλόθι πάτρης: πόρρω τῆς πατρίδος. ZYQX

A 31/$Z^s$ ἱστὸν ἐποιχομένην: ἱστουργοῦσαν καὶ ὑφαίνουσαν. διὰ τί ἐπάγει τῆι γαμετῆι καὶ τοῖς τέκνοις τὴν αἰχμάλωτον; ῥητέον οὖν ὅτι οὐ δι' ἐπιθυμίαν αὐτὴν τοσοῦτον ἀπάξει, ἀλλὰ πρὸς στρατιωτικὴν ὕβριν, ἵνα ἅπερ Μενέλαος ἐπεπόνθει τὰ αὐτὰ καὶ αὐτὸς ἀντιδράσηι, ὡς καὶ ὁ Νέστωρ φησίν· 'τῶι μή τις πρὶν ἐπειγέσθω οἶκον δὲ νέεσθαι, πρίν τινα πὰρ Τρώων ἀλόχωι κατακοιμηθῆναι' καὶ τὰ ἑξῆς (B 354). ZYQXU*I

3 ἀπάξει ZU : ἐπάγει YQX (ut l. 1) || 4 ἀντιδράσει Z || 5 καὶ τὰ ἑξῆς ZU : om YQX ||

A 31/$Z^s$ καὶ ἐμὸν λέχος ἀντιόωσαν: καὶ τῆς ἐμῆς κοίτης ἀντιλαμβανομένην καὶ μετέχουσαν. ZYQXI | λέχος δὲ ἡ κοίτη (~ Δ 383𝔇). ZI

A 32/$Z^s$ ἀλλ' ἴθι: ἀλλ' ἄπιθι. ZYQX

A 32/$Z^s$ μή μ' ἐρέθιζε: μή με παρόξυνε. ZYQXI

A 32/$Z^s$ σαώτερος: σῶος, ὑγιής. ZYQX ~ $A^{ts}T^r$ "ὅτι ... ἀντὶ ἁπλοῦ".

A 32/$Z^s$ ὥς κε: ὅπως ἄν. ZYQX$A^{ti}$

A 32/$Z^s$ νέηαι: πορευθῆις, ¦ ἐπανέλθηις (=$A^{ti}$). ZYQ

A 33/$Z^s$ ὣς ἔφατ': οὕτως εἶπεν. ZYQ

ἔφαθ' $Z^λ$ ||

A 33/$Z^s$ ἔδδεισεν δ' : ἐφοβήθη, εὐλαβήθη δέ. ZYQI

A 33/$Z^s$ ὁ γέρων: ὁ πρεσβύτης. ZYQ

A 33/$Z^s$ καὶ ἐπείθετο: καὶ ἐπείσθη. ZYQ

A 33/$Z^s$ μύθωι: λόγωι. ZYQ

A 34/$Z^s$ βῆ δ': ἔβη, Z | ἐπορεύθη· τὸ σχῆμα ἀποκοπή. ZYQI

ἀποκοπή Z=$A^{ti}$ : ἀφαίρεσις YQIG$T^r$ = Γ 420𝔇 ||

A 34/$Z^s$ ἀκέων: ἡσυχάζων, σιωπῶν. ZYQI

A 34/$Z^s$ παρὰ θῖνα: παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ὃς οὕτω κέκληται ἀπὸ τοῦ "θείνεσθαι", ὅ ἐστι τύπτεσθαι τῆι προσρήξει τῶν κυμάτων. ZYQIG*

A 34/$Z^s$+$A^{ti}$ πολυφλοίσβοιο: πολυήχου, πολυταράχου. ZYQI | ὀνοματοποιία = Δ 420𝔇, $A^{ti}$IG

A 35/$Z^s$ πολλὰ δ': πλεῖστα δέ. ZYQ$A^{ti}$

A 35/$Z^s$ ἔπειτα: μετὰ ταῦτα. ZYQ

A 35/$Z^s$ ἀπάνευθεν: ἄπωθεν, ZYQ | χωρίς. ZQ

ἄποθεν YQ ||

A 35/$Z^s$ κιών: παραγενάμενος, πορευθείς. ZYQ

παραγενόμενος YQ ||

A 35/$Z^s$ ἠρᾶτο: ηὔχετο. ZYQ$A^{ti}$

A 35/$Z^s$ ὁ γεραιός: ὁ πρεσβύτης. (Z γηραιός$^λ$)YQ

A 36/$Z^s$ ἄνακτι: βασιλεῖ· νῦν δὲ θεῶι τῶι Ἀπόλλωνι. ZYQI ≃ A 75𝔇, cf B 777𝔇 "νῦν δεσποτῶν".

A 36/$Z^s$ τὸν: ὅντινα. ZYQ

A 36/$Z^s$ ἠΰκομος: εὔκομος· ἀπὸ μέρους καλή. ZYQI$G^i$

A 36/$A^{ti}$+$I^s$ παρεμβολή, cf Alex. Fig. 25. | ὁ τρόπος παραβολή.

A 36/$Z^s$ τέκε: ἔτεκεν, ἐγέννησεν. ZYQ

A 36/$Z^s$ Λητώ: Λητὼ δὲ Κοίου καὶ Φοίβης θυγάτηρ. ZYQU$G^i$

λητὼ δὲ ZU : αὕτη Y, λητὼ Q ||

A 37/$Z^s$ κλῦθί μευ: ἐπάκουσόν μου. ZYQ

A 37/$Z^{s}$ ἀργυρότοξ’: λαμπρότοξε, καλλίτοξε. ZYQ

A 37/$Z^{s}$ ὃς Χρύσην: ὅστις τὴν Χρύσαν· Χρύσα δὲ ¦ πόλις Τρωϊκή (=$A^{ti}$). ZYQ

A 37/$Z^{s}$ ἀμφιβέβηκας: περιβέβηκας, ¦ ὑπερμαχεῖς (= $A^{t}$ ὅτι ..., $G^{i}$). ZYQ

A 38/$Z^{s}$ Κίλλαν τε ζαθέην: Πέλοψ ὁ Ταντάλου κατὰ μισθὸν παιδικῆς ὥρας λαβὼν παρὰ Ποσειδῶνος ἵππους ἀδαμάστους σὺν τῶι ὀχήματι ἔσπευσεν εἰς Πίσαν ἐπὶ τὸν Ἱπποδαμείας γάμον, τὸν μνηστηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν. γενομένωι δὲ αὐτῶι περὶ Λεσβότιδι καλουμένηι χώραι τῆς Τρωάδος παρὰ τῆι τῶν †Ἀνδραίων χώραι, Κίλλος ὁ ἡνίοχος τελευτᾶι τὸν βίον. ὃς καὶ καθ’ ὕπνον ἐπιστὰς τῶι Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ’ αὐτῶι ἔχοντι ἀπωδύρετό τε τὴν ἑαυτοῦ ἀπώλειαν καὶ περὶ κηδείας ἠξίου. διόπερ ἀναστὰς ἐξερυπάρου τὸ εἴδωλον διὰ πυρός, εἶθ’ οὕτως ἔθαψεν τὴν τέφραν ἐπιφανῶς τοῦ Κίλλου, ἠρίον ἐπ’ αὐτῶι ἐγείρας καὶ πρὸς τῶι ἠρίωι αὐτοῦ ἐδείματο ἱερόν, Κιλλαίου Ἀπόλλωνος προσαγορεύσας διὰ τὸ αἰφνιδίως τὸν Κίλλον ἀποθανεῖν· οὐ μὴν ἀλλὰ καὶ πόλιν κτίσας Κίλλαν ὠνόμασεν. ὁ μέντοι Κίλλος καὶ μετὰ θάνατον τῶι Πέλοπι δοκεῖ συλλαβέσθαι ὅπως περιγένηται τοῦ Οἰνομάου περὶ τὸν δρόμον. ἡ ἱστορία παρὰ Θεοπόμπωι (FGrHist 115F350). ZYQAUI (𝔓Hamb. 3, 199) cf $T^{s}$

1 κατὰ om 𝔓 || παιδίσκης Z || 2 ποσειδωνι 𝔓 || πεισ(σ)αν Z(U), πίσσαν Q || 3 μνηστοροκτόνον Z || 4-5 περὶ ... χώραι Z : περὶ λέσβον YQAU, κατα λεσβον 𝔓 || 5 {ὁ} ἡνίοχος A || 6 ἐπ’ αὐτῶι om Y || 7 ἐξερυπάρου ZQAU : ἐξελιπάρειY || 8 ἐπ’ αὐτὸ A || 9 δειμάμενος Y || 10 .. προσαγορεύσας ⟨τοῦτο⟩ Y || 12-13 ἱστορεῖ θεόπομπος Y ||

A 38/$Z^{s}$+$Y^{s}$ Κίλλαν τε: καὶ τὴν Κίλλαν. YQ | ἔστι δὲ πολίχνιον τῆς Τρωάδος (=$A^{ti}$). ZYQG*

A 38/$Z^{s}$ ζαθέην: ἄγαν θείαν, ὅ ἐστι πάνυ. ZYQ

A 38/$Z^{s}$ Τενέδοιό τε: καὶ τῆς Τενέδου. ἡ δὲ Τένεδός ἐστι ¦ νῆσος πρὸ τῆς Τροίας (=$A^{ti}$) κειμένη. οὔπω δὲ πρότερον τοῦτο εἶχεν τὸ ὄνομα, {καὶ γὰρ οὐδὲ Κύκνωι τῶι Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέα} Λευκόφρυν δὲ αὐτὴν οἱ πρότερον ὠνόμαζον. ἐπειδὴ δὲ ἄρα τῶι Κύκνωι ἐγεννήθη ὁ Τέννης καὶ ἡ Λευκοθέα ⟨καὶ⟩ ἡ μὲν μήτηρ αὐτῶν οὐκέτι ἦν, ἐπέγημεν δὲ ὁ Κύκνος Φυλονόμην ἤ, ὡς ἔνιοι, Πολύβοιαν, ἡ Φυλονόμη – καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης – ἐρασθεῖσα αὐτοῦ λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ τὰ πρὸς τὴν φύσιν δικαίως τηρήσαντος κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ ὅτι τεθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πιστεύσας τῆι κατηγορίαι συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι υἱωνὸν ἔσωσεν ὁ Ποσειδῶν· τὴν γὰρ λάρνακα προσενεχθῆναι τῆι Λευκόφρυϊ νήσωι ἐποίησεν, ἣν θεασάμενοι καὶ ἀφελόντες τὸ ἐπίθημα μαθόντες τε τὸ γεγονός, οὐ μόνον ἑαυτῶν βασιλέα κατεστήσαντο, ἀλλὰ καὶ ἀπ’ αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν. ZYQAUI (𝔓Hamb. 3, 199)

1 πρὸς Z || 2 {τὸ} ὄνομα A || 2-3 delevi (τῶι Y : τοῦ ZQAU) || 3 πρότερον ZYQU : πρὶν A || 4 ⟨καὶ⟩ Dindorf || 7 τὰ πρὸς L : π̅ρ̅ς̅ ZQA, τοῦ π̅ρ̅ς̅ YU || 8 ἐθελήκοι ZA || 10 οἰωνὸν YA || 12 ⟨οἱ ἐπιχώριοι⟩ θεασάμενοι L || ἐπίθημα : πῶμα Y || 13 ἑαυτὸν A, αὐτὸν Y || 13 sub fine ουτως] μυρτιλος και ε[λλανικος 𝔓 ||

A 38/$Z^{s}$ ἶφι: ἰσχυρῶς, γενναίως. ZYQ

A 38/$Z^{s}$ ἀνάσσεις: βασιλεύεις. ZYQ

A 39/$Z^{s}$ Σμινθεῦ: ὦ Σμίνθιε· ἔστιν δὲ ἐπίθετον Ἀπόλλωνος. Σμίνθος γὰρ τόπος τῆς Τρωιάδος ἐν ὧι ἱερὸν Ἀπόλλωνος Σμινθίου (=G) ἀπὸ αἰτίας τῆσδε· ἐν Χρύσηι πόλει τῆς Μυσίας Κρῖνίς τις ἦν ἱερεὺς τοῦ κεῖθι Ἀπόλλωνος. τούτωι δὲ ὀργισθεὶς ὁ θεὸς ἔπεμψεν αὐτοῦ τοῖς ἀγροῖς μύας, οἵτινες τοὺς καρποὺς ἐλυμαίνοντο. βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῶι καταλλαγῆναι πρὸς Ὄρδην τὸν ἀρχιβουκόλον αὐτοῦ παρεγένετο· παρ’ ὧι ξενισθεὶς ὁ θεὸς ὑπέσχετο κακῶν ἀπαλλάξειν, καὶ δὴ παραχρῆμα τοξεύσας τοὺς μῦς διέφθειρεν. ἀπαλλασσόμενος οὖν ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ δηλῶσαι τῶι Κρίνιδι· οὗ γενομένου ὁ Κρῖνις ἱερὸν ἱδρύσατο τῶι θεῶι, Σμινθέα αὐτὸν προσαγορεύσας, ἐπειδήπερ κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον οἱ μύες σμίνθοι καλοῦνται. ἡ ἱστορία παρὰ Πολέμωνι (fr. 31 Preller, cf ApS 143,9; Call. fr.

177,16 Pf.). ZYQAUI | ἄλλοι δὲ οὕτως εἶπον, ὅτι Κρῆτες ἀποικίαν cτέλλοντες χρηcμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος ὅπου αὐτοῖc ἐναντιωθῶcιν γηγενεῖc – ἔλεγεν δὲ περὶ μυῶν – ἐκεῖ κτίcαι τὴν πόλιν· οἱ δὲ ἀπέλυcαν τοὺc ἀποίκουc. ἐλθόντες δὲ εἰc τὸν Ἑλλήcποντον καὶ τῆc νυκτὸc ἐπιγενομένηc μύεc ἔκοψαν αὐτῶν τοὺc τελαμῶναc τῶν ὅπλων. πρωῒ δὲ ἀναcτάντες καὶ θεαcάμενοι τοῦτο cοφιcάμενοί τε καθ' ἑαυτοὺc ἔκτιcαν ἐκεῖ πόλιν ἥντινα ἐκάλεcαν Cμινθίαν· οἱ γὰρ Κρῆτες τοὺc μύαc cμίνθουc καλοῦcιν. ἐκ τούτου Ἀπόλλων Cμίνθιοc ἐκλήθη διὰ τὸ ὑπεραcπίζειν αὐτῆc. ZQAUI (𝔓Hamb. 3, 199)

1 ἔcτιν δὲ om A || 2 cμινθίου om A || 3 ἦν om A || τούτου ὀργιcθεὶc A || 4 αὐτοῦ om A || 6 κακῶν YQU : τὸ κακὸν ZA || καὶ δὴ YQAU : ὁ δὴ Z || 9 ἐπειδὴ A || 10 cμίνθεc Z || ἐκαλοῦντο Q || 13 ἀπέλυcαν : ἀπέcτειλαν L || 14 εἰc τὴν Z || 16 ἐκεῖcε Q || 17 ⟨καὶ⟩ ἐκάλουν Q || 18 ⟨καὶ⟩ ἀπόλλων QA(U καὶ ὁ) || ἐκλήθη om A ||

A 39/$Z^s$ εἴ ποτέ τοι: ἐάν ποτέ cοι. ZQ

A 39/$Z^s$ χαρίεντα (χαρίεντ' Hom.): εὔχαριν, καλόν. $ZQT^r$

χαρίεντες $Z^λ$ || εὔχαρι Z, εὔχρουν $T^r$ ||

A 39/$Z^s$ νηόν: τὸν ναόν. ZQ

A 39/$Z^s$ ἔρεψα: ὠρόφωcα (=I), ¦ ἐcτεφάνωcα (=$T^rG^i$). ZQ

A 40/$Z^s$ εἰ δή ποτέ τοι: ἐάν ποτέ cοι. ZQ

A 40/$Z^s$ πίονα: πιμελῆ, ¦ λιπαρά (=$A^{ti}$). ZQ

A 40/$Z^s$ μηρία: τὰ μηριαῖα ὀcτᾶ. ZQ

A 40/$Z^s$ ἔκηα: ἐπὶ τῶν βωμῶν ἔκαυcα, τουτέcτιν ἐκάρπωcα. ZQG

A 40/$U^s$ ⌞ἔκηα⌟ καίω, ὁ μέλλων καύcω, ὁ ἀόριcτοc ἔκαυcα· καὶ ἐκβολῆι τοῦ $\overline{c}$ ἔκαυα καὶ ἀποβολῆι τοῦ $\overline{υ}$ ἔκαα καὶ τροπῆι τοῦ $\overline{α}$ εἰc $\overline{η}$ ἔκηα. cf EtGu 445,9 et 310,12

A 41/$Z^s$ ταύρων ἠδ' αἰγῶν: ἤτοι ταύρων ἢ αἰγῶν. ZQ

A 41/$Z^s$ τὸ δέ μοι: τοῦτο δέ μοι. ZQI

A 41/$Z^s$ κρήηνον: ἐπιτέλεcον. $ZQA^{ti}I$

A 41/$Z^s$ ἐέλδωρ: ἐπιθύμημα. ZQ = ApS 62,13

ἐπιθυμία Q ||

A 42/$Z^s$ τίcειαν: τιμωρίαν δοῖεν (=$A^{ti}$), ὅ ἐcτιν παράcχοιεν. ZQI~G

A 42/$Z^s$ Δαναοί: οἱ Ἕλληνεc. οὕτωc· Βῆλοc ὁ Ἀγήνοροc μὲν ἀδελφόc, υἱὸc δὲ Ποcειδῶνοc καὶ Λιβύηc, ἀφ' ἧc ἡ χώρα ὠνόμαcται Λιβύη, βαcιλεύων Αἰγυπτίων γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα. καὶ αὐτῶι γίνονται παῖδεc δίδυμοι, Αἴγυπτοc καὶ Δαναόc. Δαναὸν μὲν Βῆλοc ἐν Λιβύηι κατοικίζει, Αἴγυπτον δὲ ἐν Ἀραβίαι· ὃc καταcτρεψάμενοc τὴν τῶν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμαcεν Αἴγυπτον. γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτωι μὲν πεντήκοντα παῖδεc, Δαναῶι δὲ θυγατέρεc πεντήκοντα. cταcιαcάντων δὲ αὐτῶν πρὸc ἀλλήλουc περὶ τῆc ἀρχῆc, ὕcτερον Δαναὸc τοὺc τοῦ Αἰγύπτου παῖδαc δεδοικώc, καθότι καὶ ἐκ χρηcμοῦ ἠκηκόει ὅτι φονευθήcεται ὑπὸ ἑνὸc αὐτῶν, ὑποθεμένηc Ἀθηνᾶc αὐτῶι ναῦν πρῶτοc κατεcκεύαcεν τὴν κληθεῖcαν ὡc ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ πεντηκόντορον, ἐν ἧι τὰc κόραc ἐνθέμενοc ⟨ἔφυγεν⟩. προcχὼν δὲ Ῥόδωι τὸ τῆc Λινδίαc Ἀθηνᾶc ἄγαλμα ἱδρύcατο. ἐντεῦθεν δὲ ἧκεν εἰc Ἄργοc καὶ τὴν βαcιλείαν αὐτῶι παραδίδωcιν Γελάνωρ ὁ τότε βαcιλεύων· αὐτὸc δὲ κρατήcαc τῆc χώραc ἀφ' ἑαυτοῦ τοὺc ἐνοικοῦνταc Δαναοὺc ὠνόμαcεν. ἱcτορεῖ Ἀπολλόδωροc ἐν Β (bibl. 2,1,4). ZQAUI

1 οὕτωc ... :οὗτοc ὁ δαναὸc ἀγήνοροc μὲν ἦν ἀδελφόcQ || 3 ἀγχιόνην Z || 4 ὁ βύβηλοc Q || ἐν om ZQA || 5 μελαμπόδων QU Apd. : μελποδιδῶν Z, μελαμποδιδῶν A || 11 add. QAU || 13 Γελάνωρ Barnes sec. Paus. 2,16,1 : πελάνωρ Apd, ἐλλάνωρ ZAU, ἐλάνωρ Q ||

A 42/$Z^s$ ἐμὰ δάκρυα cοῖcι βέλεcι: ἀντὶ τῶν ἐμῶν δακρύων τοῖc cοῖc βέλεcι. διὰ τί δὲ ὁ Χρύcηc οὐ κατὰ Ἀγαμέμνονοc ηὔχετο τοῦ ὑβρίcαντοc αὐτόν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων; φαμὲν δὲ ὅτι Ἀγαμέμνονοc ἀποθανόντοc ὁ cτρατὸc ἐλύετο καὶ Χρυcηῒc εἰc Ἑλλάδα ἀπήγετο, ἀναιρουμένων δὲ τῶν ὄχλων ζήτηcιc μὲν ἦν τοῦ πάθουc, ἀπόδοcιc δὲ τῆc κόρηc. καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων ἄλυποc ἦν, ζῶν δὲ

βασανίζεται βλέπων ἅτε βασιλεὺς ἀπολλυμένους τοὺς ὄχλους. ἢ ὅτι πᾶσιν ἠράσατο ἀνθ' ὧν πάντες ὁμοῦ γενάμενοι οὐκ ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν· δικαίως οὖν αὐτοὶ ἔπαθον. καὶ γὰρ Ἡσίοδος φησὶν 'πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα' (Erga 240). ZQU, cf I$^s$T$^s$

1 ἀντὶ ⟨τοῦ⟩ Q || 3 τῶν om Z || 7 γενόμενοι QU || 8 κακοῦ ἀνδρὸς Q : ἑνὸς κακοῦ Z, κακοῦ ἑνὸς U ||

A 43/Z$^s$ ὣς ἔφατο: οὕτως εἶπεν. ZYQ

A 43/Z$^s$ τοῦ δ' ἔκλυε: τούτου δὲ ἐπήκουσεν. ZYQI

ὑπήκουσεν Y, ὑπήκουε Q ||

A 43/Z$^s$ Φοῖβος: καθαρός, ἀμίαντος, ἢ μαντευτικός· φοῖβον γὰρ τὸ καθαρόν. Ἡσίοδος δὲ μαμμωνυμικῶς Φοῖβον αὐτὸν καλεῖ ἀπὸ Φοίβης (Theog. 404). ZYQIG

A 44/Z$^s$ βῆ δέ: ἐπορεύθη δέ. ZYQ

A 44/Z$^s$ κατ' Οὐλύμποιο: κατέβη δὲ ἀπὸ τῶν Ὀλύμπου ἐξοχῶν, ὅ ἐστιν ἀκρωτηρίων. ZYQ ~A$^{ti}$

A 44/Z$^s$ χωόμενος: λυπούμενος, ὀργιζόμενος. ZYQ

A 44/Z$^s$ κῆρ: ὀξυτόνως μὲν ψυχή, βαρυτόνως δὲ θανατηφόρος μοῖρα. ZYQI~G

ὀξυτόνως : περισπωμένως G "recte" neque genuinum || τὴν ψυχὴν YG || βαρυτόνως Z (cf A 380𝔇) : περισπωμένως YQ, ὀξυτόνως G || .. τὴν θανατηφόρον μοῖραν YG ||

A 45/Z$^s$ τόξ' ὤμοισιν ἔχων: ἀντὶ τοῦ τόξον ἐπὶ τῶν ὤμων ἔχων. ZYQ

ἀντὶ τοῦ τὸ τόξον ἐπὶ τοῖς ὤμοις ἔχων YQ ||

A 45/Z$^s$ ἀμφηρεφέα τε φαρέτρην: ἑκατέρωθεν ἐσκεπασμένην ZYQ~G | βελοθήκην. ZY | 'φαρέτρην' δὲ τὴν τῶν βελῶν θήκην. ZQ

1 βελοθήκην Y : ἡ κρητικήν Z || 2 φαρέτραν ἤγουν βελοθήκην Q ||

A 46/Z$^s$ ἔκλαγξαν: ποιὸν ἦχον ἀπετέλεσαν. ZYQA$^{ti}$

ἔκλαγξεν Z$^{λ1}$ || ἀπετέλεσεν Z ||

A 46/Z$^s$ ὀϊστοί: τὰ βέλη. ZYQ

A 46/Z$^s$ ἐπ' ὤμων: ἐπὶ τῶν ὤμων. ZYQ

A 46/Z$^s$ χωομένοιο: ὀργιζομένου. ZYQ

A 47/Z$^s$ αὐτοῦ κινηθέντος: {κινηθέντος} 'αὐτοῦ' ἐπὶ τόπον. ZYQ = A 428𝔇

1 delevi ||

A 47/Z$^s$ ὃ δ': οὗτος δέ. ZYQ

A 47/Z$^s$ ἤϊε: παρεγένετο. ZYQ

A 47/Z$^s$ νυκτὶ ἐοικώς: σκότει παραπλήσιος, φοβερὸς καὶ ἀόρατος. ZYQ

A 48/Z$^s$ ἕζετο: ἐκαθέζετο. ZYQ

A 48/Z$^s$ ἔπειτ': μετὰ ταῦτα. ZYQI

A 48/Z$^s$ ἀπάνευθεν: ἄπωθεν, χωρίς· 'νεῶν' δὲ τῶν πλοίων. ZYQ

duo scholia YQ || ⟨τῶν νηῶν⟩ τῶν πλοίων YQ ||

A 48/Z$^s$ μετὰ δέ: μετὰ ταῦτα δέ. ZYQ

A 48/Z$^s$ ἰόν: τὸ βέλος. ZYQI

A 48/Z$^s$ ἕηκεν: ἐφῆκεν, ἔπεμψεν. ZYQ

A 49/Z$^s$ δεινὴ δὲ κλαγγή: φοβερὸς δὲ ἦχος. ZYQ

A 49/Z$^s$ γένετο: ἐγένετο. ZYQ

A 49/Z$^s$ ἀργυρέοιο: ἀργυροῦ, καλοῦ. ZYQ

A 49/Z$^s$ βιοῖο: τῆς τοῦ τόξου νευρᾶς. ZYQIG$^i$

A 50/Z$^s$ οὐρῆας: ὀρεῖς, ZYQI | ἡμιόνους, Z | ὑποζύγια. ZYQ

A 50/Z$^s$ ἐπῴχετο: ἐπήιει, ἐπήρχετο. ZYQ

A 50/Z$^s$ ἀργούς: ταχεῖς, ἢ λευκούς (=A$^{ti}$). διὰ τί δὲ ἀπὸ τῶν κυνῶν καὶ τῶν ἡμιόνων ὁ λοιμὸς ἤρξατο, ἀπὸ τῶν Ἑλλήνων δὲ ⟨οὐ⟩ οὐδὲ ἀπὸ ἄλλου τινὸς ζῴου; καὶ οἱ μὲν ῥητορικῶς λύοντές φασιν ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον ἐβούλετο παιδεῦσαι τοὺς Ἕλληνας καὶ μὴ παντάπασιν ἀπολέσαι, καὶ διὰ τοῦτο πρότερον ἀπὸ τοιούτων ζῴων

ἤρξατο, μετάνοιαν τοῖς ἁμαρτήσασιν διδούς (cf Pfeiffer, Hist. 282 "to p. 70"). οἱ δὲ ἀληθέστερον καὶ φιλοσοφώτερον λέγοντες φασὶν ὅτι ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίνεται, γῆθεν ἀναφερόμενος ἐξ ἀναθυμιάσεως. διὸ καὶ τὸν Ἀπόλλωνα φασὶν αἴτιον, ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῶι ἡλίωι τῶι καταφλέγοντι τὴν γῆν. ἐκ γῆς δὲ γιγνομένης τῆς νόσου ἀναγκαῖον τοὺς κύνας πρώτους ἠισθῆσθαι τῆς βλάβης ὅτι τε καὶ αἰσθητικώτερά εἰσι τὰ ἄλογα ζῶια φύσει τῶν ἀνθρώπων καὶ ὅτι κάτω νεύουσιν πρὸς τῆι γῆι καὶ ἀνιχνεύουσιν, τοὺς δὲ ἡμιόνους {οὐ} διὰ τὸ κάτω νεύειν καὶ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν· πᾶν γὰρ εὐδιάφθαρτον τὸ τοιοῦτο. δεκάτηι δὲ ἡμέραι φανερὸν γεγενῆσθαι εὐλόγως κατ' αὐτὸν τὸν ποιητὴν τὸ θεώρημα δεῖ λύειν· τῆι δεκάτηι διαφαίνεται τὸ νοσῶδες, τοῦ ἀέρος ἐν ταύτηι πάντως καθισταμένου ὥσπερ καὶ αὐτὸς ὁ ποιητὴς δεδήλωκεν ⟨ *** ⟩ τὸν Ἀχιλλέα· Ἀχιλλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς καὶ τὴν ἰατρικὴν τέχνην σοφῶς ἐκ τῆς καταστάσεως τοῦ ἀέρος μαθών· τὸ γὰρ τῆς Ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται. ἐπεὶ τίνος ἕνεκα Νέστωρ ἢ Ὀδυσσεὺς ἢ Μενέλαος οὐδενὸς ἔλαττον τῶν Ἑλλήνων φροντίζοντες οὐ ζητοῦσιν; ZYQAU*IG*, cf 53/$T^s$

2 ⟨οὐ⟩ οὐδὲ ἀπ' ἄλλου ζώου τινός A || ζώου ⟨ἤρξατο⟩ Y || 4 ἀπὸ ⟨τῶν⟩ YQ || 7 ἀναθυμήσεως Z || 9 πρῶτον YQU || ⟨νόσου καὶ⟩ βλάβης Y || 11 οὐ del. de Marco || 12 καὶ ἐκ : ἀλλὰ τὸ ἐκ A, (μόνον U) ἀλλὰ (καὶ U) διὰ τὸ ἐκ YU || εἰληχέναι ZQA : ἔχειν Y || πᾶν : παντελῶς A || 13 δεκάτηι ... γεγενῆσθαι : τῆς δεκάτης δὲ ἡμέρας γεγενεῖσθαι φανερὸν A || 13-7δεκάτηι ... μαθών : δεκάτηι δὲ ἡμέραι φανερὸν γενέσθαι τὸ νοσῶδες κατ' αὐτὸν τὸν ποιητὴν τὸ θεώρημα εὔλογον, τοῦ ἀέρος ἐν ταύτηι πάντως καθισταμένου· ἡ Ἥρα, φησὶν, ἐπὶ φρεσὶ θῆκε τῶι Ἀχιλλεῖ (55). Ἀχιλλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς καὶ τὴν ἰατρικὴν τέχνην σαφῶς ἐπιστάμενος ἐκ τῆς τοῦ ἀέρος καταστάσεως ἐπέγνω γινόμενον τὸ κακόν. L cf 53/$T^s$ || 14 φαίνεται A || 15 lac. explevit L, v. supra || τὸν ἀχιλλέα Z : ἀχιλλεῖ YQ(U), om A || 16 σοφῶς : σαφῶς ἐπιστάμενος QXUL || .. 17 ⟨ἔστι⟩ μαθών U || 18 ἔλαττον : ἧττον Y || 19 ζητοῦσιν ⟨ἀλλ' ἢ ὁ ἀχιλλεύς⟩ A ||

A 51/$Z^s$ αὐτὰρ ἔπειτ': μετὰ ταῦτα δέ. ZYQ

A 51/$Z^s$ αὐτοῖσι: αὐτοῖς, δηλονότι ¦ τοῖς Ἕλλησιν (=$A^{ti}$). ZYQ

A 51/$Z^s$ ἐχεπευκές: ἔχον πικρίαν· ¦ ἀπὸ τῆς πεύκης ἡ μεταφορά (~ $A^{td}$ ὅτι ...)· καὶ γὰρ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησι βλαστόν, καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρόν, ἢ πίσσα. ZYQAIG* ~ Epim. $A^{ti}$ πικρόν.

2 ἡ πίσσα L, om A ||

A 51/$Z^s$ ἐφιείς: ἐπιπέμπων. ZYQ$A^{ti}$

A 52/$Z^s$ βάλλ': ἔβαλλεν, ἐκ βολῆς ἀνῄρει, ¦ ἐτίτρωσκεν (=$G^iA^{ti}$). ZYQ

A 52/$Z^s$ αἰεὶ δέ: διὰ παντὸς δέ. ZYQ~$G^i$

A 52/$Z^s$ πυραί: πυρκαιαί. τὸ γὰρ παλαιὸν τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο διὰ τὸ ἀπέριττα γίνεσθαι, εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν (~ Epim., H 79/Ak ὅτι ...). ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησιν ⟨αὕτη⟩· πρῶτος, φησίν, οὕτως ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους. συναγαγόντος γάρ, φησί, στρατείαν ἐπὶ Ἴλιον Ἡρακλέους, διὰ τὸ Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι Ἡρακλεῖ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην καὶ μὴ δοῦναι τοὺς ἵππους οὓς ὑποσχόμενος ἦν αὐτῶι ὑπὲρ τῆς τοιαύτης εὐεργεσίας, ἐπεζήτει καὶ τὸν Ἀργεῖον ὡσανεὶ οἰκεῖον. Λικύμνιον φασὶ τὸν πατέρα Ἀργείου φοβούμενον ὅτι καὶ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Οἰωνὸν ἀποστείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν, οὐ βούλεσθαι προΐεσθαι τοῦτον, ἕως Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν. τότε δ' οὖν συμπεσούσης τῶι Ἀργείωι τῆς τοῦ βίου τελευτῆς διαπορηθεὶς ὁ Ἡρακλῆς πῶς ἂν ἐπιτελέσοι τὸν ὅρκον, ἔκαυσεν αὐτὸν καὶ πρῶτον φασὶ τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν. ἡ ἱστορία παρὰ Ἄνδρωνι (FGrHist 10F10 = Fowler). ZYQAU*I

1 γὰρ om A || 2 τὸ : γὰρ Z || περιττὰ Y || 3 ⟨αὕτη⟩ Q || 4 φασὶν L || .. 5 φησὶ : φασὶ Z || 5 τὸ ⟨τὸν⟩ λαομέδοντα YQU || 7 τοσαύτης YQU || 8 ⟨δέ⟩ φασι Q, ⟨γὰρ⟩ φασΐ U || 13 ⟨τῆς⟩ τοιαύτης Y || ἡ ἱστορία κτλ. om AU || ἄδρω Z ||

A 52/$Z^s$ νεκύων: τῶν νεκρῶν. ZYQI

A 52/$Z^s$ καίοντο: ἐκαίοντο. ZYQ

A 52/$Z^s$ θαμειαί: πυκναί, ZYQ | cυνεχεῖc. YQ | πῶc δέ, φηcίν, ὁ ποιητὴc ἐναντία ἑαυτῶι λέγει; προειπὼν γὰρ 'αὐτοὺc δὲ ἑλώρια τεῦχε κύνεccι' (4), νῦν ἐπάγει 'αἰεὶ δὲ πυραὶ νεκύων'. ἐροῦμεν οὖν ὅτι ὁ λοιμὸc ηὔξηcε τὴν μῆνιν, ἡ μῆνιc δὲ τὰc μετὰ ταῦτα μάχαc. καὶ οἱ ἐν ταύταιc πίπτοντεc ἑλώρια κυνῶν ἐγίνοντο, οἱ δὲ ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο. ZYQXAU*IG*

1 δὲ om QL || φαcιν XL || 2 λέγειν Z || 3 οὖν : δὲ A || ηὖξε YQXU || 4 ὑπὸ : ἀπὸ A ||

A 53/$Z^s$ ἐννῆμαρ μέν: ἐννέα μὲν ἡμέραc. ZYQX~$I^s$

ἐπὶ ἐννέα ἡμέραc YQX ||

A 53/$Z^s$ ἀνὰ cτρατόν: κατὰ τὸ cτρατόπεδον. ZYQX

A 53/$Z^s$ ᾤχετο: ἐπήιει, ἐπήρχετο. ZYQX

A 53/$Z^s$ κῆλα: βέλη· ὁτὲ δὲ cημεῖα (M 280). ZYQX ~$A^{ti}G^i$

A 54/$Z^s$ τῆι δεκάτηι δ': προcυπακουcτέον ἡμέραι. ZYQX. $A^{ti}$ λείπει ἡμέραι.

A 54/$Z^s$ ἀγορὴν δὲ καλέccατο: ἐκκληcίαν, cυνέδριον· 'καλέcατο' δὲ cυνεκαλέcατο, cυνήγαγεν. ZYQX

1 duo scholia YQ ||

A 55/$Z^s$ τῶι γάρ: τούτωι γάρ. ZYQX

A 55/$Z^s$ ἐπὶ φρεcὶ θῆκε: κατὰ νοῦν ἐποίηcεν. ZYQX

A 55/$Z^s$ λευκώλενοc: λευκοβραχίων· ἀπὸ μέρουc καλή. ZYQXG* | ὁ δὲ τρόποc cωματοποιία· ὠλένεc γὰρ αἱ χεῖρεc. ZYQIG

A 55/$Z^s$ Ἥρη: ἡ Ἥρα. εὐλόγωc δὲ ἐφρόντιζεν τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργοc ὅλον ἱερὸν αὐτῆc ἐcτι· ἄλλωc τε καὶ ἦν ὑβριcθεῖcα ὑπὸ Ἀλεξάνδρου, ὡc καὶ ἡ Ἀθηνᾶ ἐν τῆι τοῦ μήλου κρίcει (=G*). ἤθελεν οὖν cώζεcθαι τοὺc Ἕλληναc, ἵνα γένωνται τοῖc Τρωcὶ ὄλεθροc. ZYQXAU*I

A 56/$Z^s$ κήδετο: ἐφρόντιζε. ZYQX$A^{ti}$I, ApS 98,28

A 56/$Z^s$ ὅτι ῥα: ὅτι δή. ZYQX

A 56/$Z^s$ θνήcκονταc: ἀποθνήcκονταc. ZYQX

A 56/$Z^s$ ὁρᾶτο: ἑώρα, ἔβλεπεν. ZYQX

A 57/$Z^s$ οἳ δ' ἐπεὶ οὖν: ἐπειδὴ δὲ οὗτοι. ZYQX

A 57/$Z^s$+$Y^s$ ἤγερθεν: cυνηγέρθηcαν. Z | cυνηθροίcθηcαν (= $U^i$*, ≃ B 304𝔇). YQX

A 57/$Z^s$ ὁμηγερέεc τ' ἐγένοντο: ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἐγένοντο. ZYQX

A 58/$Z^s$ τοῖcι δέ: ἐν αὐτοῖc δέ. ZYQX($T^r$)

A 58/$Z^s$ ἀνιcτάμενοc: ἀναcτάc. τὸ γὰρ παλαιὸν κἂν βαcιλεὺc ἦν καὶ ἄλληc οἱαcδήποτε τύχηc λαμπρᾶc, ἐδημηγόρει δέ, ὀρθὸc ἵcτατο. ZYQXAI, ~ G*, Epim.

2 ἐδημηγόρει ὀρθῶc ἱcτάμενοc QX ||

A 58/$Z^s$ μετέφη: ἐν αὐτοῖc εἶπεν, ἐδημηγόρηcεν. ZYQX

A 58/$Z^s$ πόδαc ὠκύc: ὁ ταχὺc τοῖc ποcί. διὰ δὲ τούτου δηλοῖ ἡμῖν τὸ εὐκίνητον τοῦ ἥρωοc. ZYQX$G^i$*

A 59/$Z^s$ νῦν: ἄρτι, χρονικὸν ἐπίρρημα. ZYQX

A 59/$Z^s$ ἄμμε: ἡμᾶc, Αἰολικῶc. ZYQX$G^i$. $A^{ti}$ Αἰολικόν.

A 59/$Z^s$ πάλιν πλαγχθένταc: εἰc τοὐπίcω πλανηθένταc (=$A^{ti}$) ἀπελθεῖν. ZYQXAI

παλιμπλαγχθένταc YQ$X^{\lambda}$ = Hom. ||

A 59/$Z^s$ ὀΐω: οἶμαι, ¦ ὑπολαμβάνω (=$A^{ti}$). ZYQX

A 59/$Y^s$ Ἀτρείδη νῦν ἄμμε παλιμπλαγχθένταc ὀΐω: οἱ νεώτεροι ποιηταὶ ἐντεῦθεν cημειοῦνται ἱcτοροῦντεc περὶ τὴν Μυcίαν (~ $A^t$ ὅτι ..) τὸν τρόπον τοῦτον· ἐν
3 Τροίαι πλέοντεc οἱ Ἕλληνεc Μυcίαι προcίcχουcι καὶ ἀγνοοῦντεc ἐπόρθουν, Τροίαν εἶναι νομίζοντεc. Τήλεφοc δὲ ὁ Ἡρακλέουc καὶ Αὔγηc τῆc Ἀλέου, βαcιλεύων Μυcῶν καὶ ἰδὼν τὴν χώραν λεηλατουμένην τοὺc ἀμφ' αὐτὸν καθοπλίcαc ἐπὶ τὰc

ναῦc τοὺc Ἕλληναc cυνδιώξαc πολλοὺc ἀπέκτεινεν· ὁρμήcαντοc δ' ἐπ' αὐτὸν τοῦ Ἀχιλλέωc οὐ μείναc ἐδιώκετο. ἐν δὲ τῶι τρέχειν ἐμπλακεὶc ἀμπέλου κλήματι τὸν μηρὸν τιτρώcκεται νεμεcήcαντοc αὐτῶι Διονύcου ὅτι ἄρα ὑπὸ τούτου τιμῶν ἀφήιρητο. οἱ δὲ Ἕλληνεc ὑπέcτρεψαν εἰc τὸ Ἄργοc. Τήλεφον δὲ ἀνίατον ἔχοντα τραῦμα ὁ Ἀχιλλεὺc ἐθεράπευcε κατὰ πεῦcιν τινὸc τῶν θεῶν. YAUG~I, Apd. bibl. epit. 17(+20)

2 ⟨τὰ⟩ περὶ AU || 3 ⟨αὐτὴν⟩ ἐπόρθουν AU || 4 ἀλέου ⟨παῖc⟩ AU || 5 ἀμφ' αὐτὸν : μυcοὺc AU || 6 τοῦ om AU || 8 ⟨τῶν⟩ τιμῶν AU || ἀφηρεῖτο Y || 9ss plura praeb. Τήλεφοc δὲ ἀνίατον ἔχων τὸ τραῦμα, εἰπόντοc θεοῦ μηδένα δύναcθαι αὐτὸν θεραπεῦcαι ἢ τὸν τρώcαντα, ἦλθεν εἰc Ἄργοc καὶ πίcτιν δοὺc μὴ ἐπικουρήcειν (ἐπικοινωνήcειν UG) Τρωcὶν ἐθεραπεύθη ὑπ' Ἀχιλλέωc καὶ αὐτὸc (αὐτοῖc UG) ἔδειξε τὸν ἐπὶ Τροίαν πλοῦν. ταῦτα ⟨μὲν U⟩ οἱ νεώτεροι· ὁ δὲ ποιητὴc λέγει Κάλχαντα ὑφηγήcαcθαι τὸν ἐπὶ Ἴλιον πλοῦν (ἀφηγήcαcθαι τοῦ ἐπὶ Ἴλιον πλοῦ U) AUG, cf Mant. prov. 2,28 || pergit U cυντείνει ... (= 106a1/𝔇), deinde ἐντεῦθεν οἱ νεώτεροι ... (= 106b2/$A^s$) ||

A 60/$Z^s$ ἄψ: πάλιν, ἢ εἰc τοὐπίcω. ZYQX

A 60/$Z^s$ ἀπονοcτήcειν: ἐπανελθεῖν, ὑποcτρέφειν. νόcτοc γὰρ ἡ εἰc οἶκον ὑποcτροφὴ παρὰ τὸ τῆc πατρίδοc ἡδύ (i.e. νόcτιμον, Theophr. CP 4,13,2; ~ B 155𝔇). ZYQ(X)I

A 60/$Z^s$ εἴ κεν θάνατόν γε φύγοιμεν: ἐὰν τὸν θάνατον ὅλωc διαφύγωμεν. ZYQX(A ad 59)

A 61/$Z^s$ εἰ δὴ ὁμοῦ: ἐπειδὴ ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν χρόνον. ZYQX

A 61/$Z^s$ δαμᾶι: δαμάζει, καταπονεῖ. ZYQX

A 62/$Z^s$ μάντιν ἐρείομεν: ἀλλὰ δεῦρό τινα μάντιν ἐρωτήcωμεν. ¦ ἔcτι γένοc ἡ μαντικὴ διαιρούμενον εἰc εἴδη τρία, εἰc οἰωνοcκοπίαν, ἱεροcκοπίαν καὶ τὴν διὰ τῶν ὀνειράτων (= $I^s$, Epim.). ZYQXA, cf Ak

2 ἱεροcκοπίαν Christ : ἀεροcκοπίαν ||

A 62/$Y^s$ ἐρείομεν: ἐρωτήcωμεν. YQX

A 62/$Z^s$ ἱερῆα: θύτην. ZYQX$A^{ti}$

A 63/$Z^s$ ἢ καὶ ὀνειροπόλον: τὸν δι' ὀνείρων μαντευόμενον. ZYQX

A 63/$Z^s$+$Q^s$ καὶ γάρ τ' ὄναρ: καὶ γὰρ ὁ ὄνειροc. ZYQX | καὶ ἡ δι' ὀνείρου ἀποκάλυψιc. Q

A 63/$Z^s$ ἐκ Διόc ἐcτιν: ἀπὸ τοῦ Διόc. ZYQX

A 64/$Z^s$ ὅc κ' εἴποι: ὅcτιc ἂν ἡμῖν εἴποι. ZYQX

A 64/$Z^s$ ὅτι τόccον: ὅτι τοcοῦτον. ZYQX

A 64/$Z^s$ ἐχώcατο: ὠργίcθη. ZYQX$A^{ti}$

A 65/$Z^s$ εἴ ταρ: εἴτε δή. ZYQX

A 65/$Z^s$ ὅ γ': οὗτοc. ZYQX

A 65/$Z^s$+$Q^s$ εὐχωλῆc: εὐχῆc, ZYQX | δεήcεωc QX. | παράγωγοc ὁ τύποc (= N 588𝔇). Z

A 65/$Z^s$ ἐπιμέμφεται: ἐπαιτιᾶται, ¦ ἐπιζητεῖ (=$A^{ti}$). ZYQX

A 65/$Z^s$ εἴθ' ἑκατόμβηc: τελείαc θυcίαc. ZYQXIG | ἤτοι τῆc ἀπὸ τῶν ἑκατὸν βοῶν ἢ τῆc ἀπὸ τῶν ἑκατὸν βημάτων, ὅ ἐcτιν εἴκοcι πέντε ζώιων. ZY$A^{ts}$IG

A 66/$Z^s$ αἴ κέν πωc: ἐάν πωc. ZQX ~ ApS 18,10

A 66/$Z^s$ κνίcηc: ἐπίπλου, λίπουc, ἀφ' οὗ θυcίαc. ZYQX~$G^i$

θυcία Z ||

A 66/$Z^s$ αἰγῶν τε τελείων: καὶ αἰγῶν (=X). 'τελείων' δὲ ἤτοι τὴν ἡλικίαν, ⟨ἢ⟩ ὁλοκλήρων· ¦ λελωβημένον γὰρ οὐ θύεται (~$T^r A^{ti}$), ἀλλ' ὑγιὴc ἡ τῶν τελουμένων θυcία. ZYQG ~ Epim.

1 duo scholia YQ || ⟨ἢ⟩ de Marco ||

A 67/$Z^s$ ἀντιάcαc: ἀπαντήcαc, μεταcχών. ZYQX$A^{ti}$

A 67/$Z^s$ ἡμῖν ἄπο: ἀπὸ καὶ ¦ χωρὶc ἡμῶν (=$G^i$) ποιήcει τὸν λοιμόν. ZYQX

A 67/$Z^s$ λοιγόν: ὄλεθρον. ZYQX

A 67/Z$^{s}$ ἀμῦναι: ἀπεῖρξαι, ἀποστρέψαι. ZYQX
ἐπείρξαι Z ||
A 68/Z$^{s}$ ἤτοι ὅ γ' ὣς εἰπὼν: οὗτος οὕτως εἰπών. ZYQX
εἶπον Z ||
A 68/Z$^{s}$ κατ' ἄρ' ἕζετο: ἐκαθέσθη. ZYQX
A 68/Z$^{s}$ τοῖσι δ': ἐν αὐτοῖς δέ. ZYQX
A 68/Z$^{s}$ ἀνέστη: ὀρθὸς ἔστη. ZYQX
A 69/Z$^{s}$ Θεστορίδης: Θέστορος παῖς Κάλχας. ¦ ὁ δὲ τύπος πατρωνυμικός (=G$^{i}$,~A$^{ti}$). ZYQX
τύπος : τρόπος Nicole ||
A 69/Z$^{s}$ οἰωνοπόλων: ὀρνεοσκόπων (=A$^{ti}$), μαντέων. ZYQX
A 69/Z$^{s}$ ὄχ' ἄριστος: ἐξόχως ἄριστος. ZYQXA$^{ti}$
A 70/Z$^{s}$ ὃς ᾔδη : ὅστις ἠπίστατο. ZYQX
A 70/Z$^{s}$ τά τε ὄντα: καὶ τὰ ἐνεστῶτα. ZYQXA$^{ti}$
τά τε ὄντα Z$^{\lambda}$ / τά τ' ἐόντα YQX$^{\lambda}$ = vv.ll. Hom. ||
A 70/Z$^{s}$ τά τ' ἐσσόμενα: καὶ τὰ γενησόμενα. ZYQA$^{ti}$
A 70/Z$^{s}$ πρό τ' ἐόντα: καὶ τὰ προγεγονότα (=XA$^{ti}$). ἔστι δὲ τελείου μάντεως τὸ ἐπίστασθαι ἀκριβῶς τοὺς τρεῖς χρόνους (= Epim.). ZYQU*G*
A 71/Z$^{s}$ καὶ νήεσσ': καὶ ταῖς ναυσί. ZYQX
A 71/Z$^{s}$ ἡγήσατο: ⌜νεῶν A$^{ti}$⌝ ἡγεμὼν ἐγένετο. ZYQXA$^{ti}$. U$^{i}$ ὁδηγὸς ἐγένετο.
A 71/Z$^{s}$ Ἴλιον εἴσω: εἰς τὴν Ἴλιον. ZQX. A$^{ti}$ ἀντὶ τῆς εἰς προθέσεως, ~ Ak.
A 72/Z$^{s}$ ἣν διὰ μαντοσύνην: διὰ τὴν ¦ ἰδίαν (=A$^{ti}$) μαντείαν. ZYQX
A 72/Z$^{s}$ τήν οἱ: ἥντινα αὐτῶι. ZYQX
A 72/Z$^{s}$ πόρε: παρέσχεν, ἐδωρήσατο. ZYQX
A 73/Z$^{s}$ ὅ σφιν: ὃς ἐν αὐτοῖς. ZYQX
A 73/Z$^{s}$ εὖ φρονέων: καλῶς φρονῶν. ZYQX
A 73/Z$^{s}$ ἀγορήσατο καὶ μετέειπεν: ἐδημηγόρησεν, εἶπεν. ZYQX | 'μετέειπεν' δὲ ¦ ἐν αὐτοῖς εἶπεν (=A$^{ti}$, Γ 96𝔇). Z
A 74/Z$^{s}$ κέλεαί με: κελεύεις με. ZYQX
A 74/Z$^{s}$ Διὶ φίλε: τῶι Διὶ προσφιλέστατε. ZYQX
A 74/Z$^{s}$ μυθήσασθαι: εἰπεῖν, ἀπαγγεῖλαι. ZYQX
A 75/Y$^{s}$ μῆνιν Ἀπόλλωνος: τὴν ὀργὴν τοῦ Ἀπόλλωνος. YQX
A 75/Z$^{s}$ ἑκατηβελέταο: πόρρωθεν βάλλοντος, εὐστόχου ¦ τοξότου (=A$^{ti}$). ZYQX
A 75/Z$^{s}$ ἄνακτος: βασιλέως· νῦν δὲ θεοῦ ⌜τοῦ Ἀπόλλωνος Y⌝. ZYQX ≃ A 36𝔇
A 76/Z$^{s}$ τοιγὰρ ἐγὼν ἐρέω: ἐγὼ μὲν οὖν εἴπω. ZYQXI
A 76/A$^{ti}$ ⌞ἐγών⌟ Αἰολίς. A$^{ti}$G$^{i}$, cf infra 76𝔇, Epim. ε 105 Δωριέων ἡ διάλεκτος.
A 76/Z$^{s}$+Q$^{s}$ σύνθεο: σύνθου ZYQ | καὶ κατάνευσον. Q = A 514
A 76/Z$^{s}$ καί μοι ὄμοσσον: καὶ ὄμοσόν μοι. ¦ Αἰολὶς ἡ διάλεκτος (=G$^{i}$). ZYQ(X). A$^{ti}$ Αἰολικόν.
A 77/Z$^{s}$ ἦ μέν μοι: {εἰ} ὄντως δή μοι. ZYQX. A$^{ti}$ ὁρκικὸν ἐπίρρημα.
A 77/Z$^{s}$ πρόφρων: προθύμως. ZA$^{ti}$ = A 150𝔇
A 77/Z$^{s}$ ἔπεσιν καὶ χερσίν: καὶ λόγωι καὶ ἔργωι. ZYQX
A 77/Z$^{s}$ ἀρήξειν: βοηθήσειν. ZYQX
A 78/Z$^{s}$ ἦ γὰρ ὀΐομαι: ἀληθῶς ὑπολαμβάνω. ZYQX
A 78/Z$^{s}$ χολωσέμεν: εἰς ὀργὴν ἐμβαλεῖν. ZYQXI
A 78/Z$^{s}$ ὃς μέγα: ὅστις μεγάλως. ZYQX
A 79/Z$^{s}$ Ἀργείων: τῶν Ἑλλήνων. ZYQX
A 79/Z$^{s}$ κρατέει: κρατεῖ, βασιλεύει. ZYQX

A 79/$Z^s$ καί οἱ: καὶ αὐτῶι. Z$A^{ti}$

↑ A 79/$Y^s$ καί οἱ πείθονται Ἀχαιοί: καὶ αὐτῶι ὑπακούουϲιν οἱ Ἕλληνεϲ. YQX

A 80/$Z^s$ κρείϲϲων γάρ: βελτίων γάρ. ZYQX

βέλτιϲτον Z ||

A 80/$Z^s$ ὅτε χώϲεται: ὅταν ὀργιϲθῆι. ZYQX

A 80/$Z^s$ χέρηϊ: χείρονι, ἐλάττονι. ZYQX

A 81/$Z^s$ εἴ περ γάρ: ἐάνπερ γάρ, ἢ ἵνα. ZYQ

ἐάνπερ γάρ om Z ||

A 81/$Z^s$ χόλον: τὴν ὀργήν. ZYQX

A 81/$Z^s$ αὐτῆμαρ: αὐθημερινόν, ἐν αὐτῆι τῆι ἡμέραι. ZYQX

αὐθημερόν YQX ||

A 81/$Z^s$ καταπέψηι: κατάϲχηι, καταδαπανήϲηι. ¦ ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τῆι γαϲτρὶ πλείω χρόνον κατεχομένων ϲιτίων διὰ τὴν πέψιν τὴν ἐν αὐτῆι γινομένην (= $U^m$). ZYQ(X)AIG ~ Epim.

1 καταδαπανήϲει Z || 2 χρόνωι A ||

A 82/$Z^s$ μετόπιϲθεν: μετὰ ταῦτα, ἐκ δευτέρου. ZYQX

A 82/$Z^s$ ἔχει: κατέχει, φυλάττει. ZYQX

A 82/$Z^s$ κότον: ὀργήν. ZYQX$A^{ti}$I

A 82/$Z^s$ ὄφρα τελέϲϲηι: ὅπωϲ πληρώϲηι, ZYQX | ἢ ἕωϲ (= Δ 220𝔇). Z

A 83/$Z^s$ ἑοῖϲιν: ἰδίοιϲ. ZYQX

A 83/$Z^s$ φράϲαι: λόγιϲαι, ϲκέψαι. ZYQX

A 83/$Z^s$ εἴ με ϲαώϲειϲ: ὅπωϲ με ϲώϲηιϲ. ZYQX

A 84/$Z^s$ τὸν δέ: τοῦτον δέ. ZYQX

A 84/$Z^s$ ἀμειβόμενοϲ (ἀπαμειβόμενοϲ Hom.): ἐξ ἀμοιβῆϲ ἀποκρινόμενοϲ (≃ τ 214𝔇). ($Z^λ$ ἐπαμειβόμενοϲ)YQX.

A 84/$Z^s$ προϲέφη: προϲεῖπεν. ZYQX

A 84/$Z^s$ πόδαϲ ὠκύϲ: ὁ ταχὺϲ ἐν τῶι τρέχειν. ZYQ

A 85/$Z^s$ θαρϲήϲαϲ: εὐθαρϲὴϲ καὶ ἄφοβοϲ γενόμενοϲ. ZYQ

A 85/$Z^s$ μάλα: λίαν, πάνυ. ZYQ

A 85/$Z^s$ θεοπρόπιον: τὸ ἐκ θεῶν μάντευμα, ἢ ¦ τὸ θεοῖϲ πρέπον· οὗτοι γὰρ ὡϲ πάντα ἐπιϲτάμενοι λέγουϲι τὰ τοῖϲ ἀνθρώποιϲ ἠγνοημένα. ZYQ~G*

1s τὸ τοῖϲ θεοῖϲ ἀρέϲκον· οὗτοι γὰρ τὰ τοῖϲ θεοῖϲ ἀρέϲκοντα λέγ(ουϲιν) Q ||

A 85/$Z^s$ ὅ τι οἶϲθα: ὅπερ ἐπίϲταϲαι. ZYQ$A^{ti}$

A 86/$Z^s$ οὐ μὰ γάρ: ὄμνυμι γάρ ϲοι. ZYQ$A^{ti}$ | ἡ $\overline{ου}$ ⟨μὰ⟩ ἀπωμοτικῶϲ. ¦ πεπλεόνακεν δὲ τὸ $\overline{ου}$ κατὰ Ἀττικὴν ϲυνήθειαν (= $U^i$, cf A 234𝔇)) ZYQAIG.

1-2 τὸ $\overline{ου}$ om A ||

A 86/$Z^s$ Διὶ φίλον: τὸν τῶι Διὶ προϲφιλέϲτατον. ZYQ

A 86/$Z^s$ ὧι τε ϲύ: ὧιτινι ϲύ, ὦ Κάλχαν. ZYQ$A^{ti}$

A 87/$Z^s$ θεοπροπίαϲ: τὰϲ ἐκ θεῶν μαντείαϲ. ZYQ

A 87/$Z^s$ ἀναφαίνειϲ: φανερὰϲ ποιεῖϲ, προϲημαίνειϲ. ZYQ

A 88/$Z^s$ οὔ τιϲ: οὐδείϲ. ZYQ

A 88/$Z^s$ ἐμεῦ: ἐμοῦ. ZYQ

A 88/$Z^s$ ἐπὶ χθονί: ἐπὶ τῆϲ γῆϲ. ZYQ

A 88/$Z^s$ δερκομένοιο: ὁρῶντοϲ, ἢ ὁρωμένου. ZYQ$A^{ti}$. $T^r$ βλεπομένου.

A 89/$Z^s$ ϲοὶ κοίληιϲ: κοίλαιϲ, βαθείαιϲ. ZYQ

A 89/$Z^s$ βαρείαϲ χεῖραϲ: ὑβριϲτικάϲ (=I), φονικάϲ. ZYQ

A 89/$Z^s$ ἐποίϲει: ἐπιβαλεῖ (=$A^{ti}$), ἐπενέγκοι. ZYQ

A 90/$Z^s$ ϲυμπάντων Δαναῶν: ὁμοῦ πάντων τῶν Ἑλλήνων. ZYQ

A 90/Zs οὐδ' ἦν Ἀγαμέμνονα εἴπηις: οὐδ' ἂν αὐτὸν τὸν Ἀγαμέμνονα ὀνομάσηις. ZYQ | ὁ δὲ τρόπος ¦ ὑπερβολή (=Ati, K 437/Ati). ZYQA
2 ὑπερβολή ZAAti : ἐξοχή YQ ||

A 91/Zs νῦν: ἐν τῶι παρόντι καιρῶι. ZYQ

A 91/Zs πολλόν: κατὰ πολύ. ZYQAti

A 91/Zs ἄριστος: ἐξοχώτατος, κράτιστος. ZYQ

A 91/Ys ἐνὶ στρατῶι: ἐν τῶι στρατοπέδωι. YQ

A 91/Zs εὔχεται: καυχᾶται. ZYQX

A 92/Zs θάρσησε: ἐθάρρησεν. ZYQ

A 92/Zs καὶ ηὔδα: καὶ εἶπεν. ZYQ

A 92/Zs ἀμύμων: ἀμώμητος, ἀγαθὸς καὶ ἄψογος. ZYQ

A 93/Zs οὔτ' ἄρ: οὔτε δή. ZYQTi

A 93/Zs ὅ γε: οὗτος ὁ Ἀπόλλων. ZYQ
ἀπόλλων ⟨ἀντὶ τοῦ⟩ Z ||

A 93/Zs εὐχωλῆς: εὐχῆς, δεήσεως. ZYQ

A 94/Zs ἀρητῆρος: τοῦ ἱερέως. ZYQ

A 95/Zs οὐδ' ἀπέλυσε: οὐκ ἀπελύτρωσε. ZYQAti

A 95/Zs οὐκ ἀπεδέξατο: οὐκ ἐδέξατο. ZYQ

A 96/Zs τοὔνεκ': τούτου ἕνεκα, τούτου χάριν. ZYQ

A 96/Zs ἄρ': δή. ZYQ

A 96/Zs ἠδ' ἔτι: καὶ ἔτι. ZYQ

A 96/Zs δώσει: παράσχηι. ZYQ

A 97/Zs οὐδ' ὅ γε: οὐδ' οὗτος. ZYQ

A 97/Zs πρίν: πρότερον. ZYQTi

A 97/Zs λοιμοῖο: τοῦ λοιμοῦ, περιφραστικῶς. ZYQ

A 97/Zs+Ys βαρείας: βλαβεράς, ZYQ | κακωτικάς. YQ | κακωτικὸς γὰρ καὶ φθαρτικὸς ὁ λοιμός. ZG

A 97/Zs ἀφέξει: ἐπίσχηι, ¦ παύσει (=Ati). ZYQ
ἐπισχεῖ Z ||

A 97/Zs ἀεικέα: αἰκιστικόν, χαλεπόν. ZYQ

A 98/Zs φίλωι: προσφιλεῖ. ZYQ

A 98/Zs δόμεναι: δοῦναι. ZYQ

A 98/Zs ἑλικώπιδα: μελανόφθαλμον, ἀφ' οὗ εὐπρεπῆ (= ex)· ¦ ελι γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν (~ GTr). ZYQI, ~ A 389𝔇
1 ελι : ἑλικὸν A 389𝔇 ||

A 98/Zs κούρην: κόρην, θυγατέρα. ZYQ

A 99/Zs ἀπριάτην: ἄνευ πράσεως καὶ λύτρων. ZYQ

A 99/Zs ἀνάποινον: ἄνευ δώρων. ZYQ

A 99/Zs ἄγειν τε: καὶ ἀπάγειν. ZYQ | παράλειψις (=Ati) ὁ τρόπος. ZQA

A 99/Zs ἱερήν: εἰς τὴν ἱερὰν Χρύσαν. ZYQ

A 99/Zs ἑκατόμβην: τελείαν θυσίαν. ZYQ

A 100/Zs τότε κέν μιν: τότε ἂν αὐτόν. ZYQ
αὐτῶ Z ||

A 100/Zs ἱλασσάμενοι: ἐξιλεωσάμενοι, ἐξευμενισάμενοι. ZYQ

A 100/Zs πεπίθοιμεν: πείσοιμεν. ZYQ. Tr πείσαιμεν.

A 101/Zs κατ' ἄρ' ἕζετο: ἐκαθέσθη. ZYQ

A 102/Zs εὐρὺ κρείων: μεγάλως κρατῶν καὶ βασιλεύων. ZYQ

A 103/Zs ἀχνύμενος: λυπούμενος, ἢ ὀργιζόμενος. ZYQ

A 103/$Z^{s}$ μένεος δέ: θυμοῦ, ¦ ὀργῆς (= $U^{i}$). ZYQ

A 103/$Z^{s}$ φρένες ἀμφιμέλαιναι: αἱ ἐν βάθει κείμεναι (=$A^{ti}$) καὶ cυνεταὶ διάνοιαι αὐτοῦ, ¦ ἢ τεταραγμέναι διὰ τὴν ὀργήν (=$A^{ti}$, ~G). ZYQI

A 104/$Z^{s}$ πίμπλαντο: ἐπληροῦντο. ZYQ

A 104/$Z^{s}$ ὄccε δέ: ὄμματα, ὀφθαλμοὶ δέ. ZYQI

A 104/$Z^{s}$ οἱ: αὐτοῦ. ZYQ

αὐτοῦ YQ = Γ 195𝔇 : αὐτῷ Z = α 261𝔇 ||

A 104/$Z^{s}$ πυρὶ λαμπετόωντι: πυρὶ λάμποντι. ZYQ

A 104/$Z^{s}$ ἐίκτην: ὡμοίωντο. ZYQ

ὁμοιῶντο Z ||

A 105/$Z^{s}$ πρώτιcτα: πρὸ πάντων. ZYQ$A^{ti}$

A 105/$Z^{s}$ κάκ' ὀccόμενοc: δεινὸν καὶ ὀργίλον ὑποβλεψάμενοc. ZYQ$A^{ti}$

A 105/$Z^{s}$ προcέειπε: πρὸc αὐτὸν εἶπεν. ZYQ

A 106/$Z^{s}$ μάντι κακῶν: ὦ κακῶν μάντι. cυντείνει δὲ τοῦτο εἰc τὸ δεκαετῆ μαντεύcαcθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον, ὅcον ἀπὸ τοῦ cυμβόλου τῶν cτρουθῶν. ZYQAUI

A 106/$A^{s}$ μάντι κακῶν: δυcκαταπαύcτωc ἔχουcι πρὸc τὰc κατηγορίαc οἱ ὀργιζόμενοι (= $T^{s}$) καὶ τὰ αὐτὰ ἐπαναπολοῦcιν, ὡc μὴ κατ' ἀξίαν εἰρηκότεc (=G). ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντεc ἱcτοροῦcιν ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι πόλει τῆc Βοιωτίαc ἀθροιcθέντων καὶ ἀπλοίαι καταcχεθέντων, ¦ Κάλχαc ὁ μάντιc ἐξεφώνηcε μὴ δύναcθαι εἰc Ἴλιον ἄλλωc ἐκπλεῦcαι αὐτούc, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ cφαγιάcηι Ἀρτέμιδι, διὰ τὸ φονεῦcαι αὐτὸν τὴν ἱερὰν αἶγα τὴν τρεφομένην ἐν τῶι ἄλcει αὐτῆc καὶ πρὸc τούτωι καυχηcάμενον εἰπεῖν ὅτι οὔτε ἡ Ἄρτεμιc οὕτωc ἂν ἐτόξευcεν. τοῦ δὲ Ἀγαμέμνονοc διὰ τὴν πολλὴν ἀνάγκην παραcτήcαντοc τὴν κόρην τῶι βωμῶι, κατοικτειρήcαcαν τὴν θεὰν καὶ ἔλαφον ἀντὶ τῆc παρθένου παραcτήcαcαν cῶcαι καὶ ἐν Ταύροιc τῆc Cκυθίαc εἰc τὸ ἱερὸν τῆc θεοῦ εἰπεῖν πεμφθῆναι αὐτήν. ἡ ἱcτορία παρὰ πολλοῖc μὲν τῶν νεωτέρων καὶ παρὰ Δίκτυϊ τῶι γράψαντι τὰ Τρωϊκά (FGrHist 49F5) (=G). AUI, ~ Apd. Epit. 3, 21s

10-1 τῆc θεοῦ U : τοῦ θεοῦ A ||

A 106/$Z^{s}$ οὐ πώ ποτέ μοι: οὐδέποτέ μοι. ZYQ

A 106/$Z^{s}$ τὸ κρήγυον: τὸ ἀληθέc· νῦν δὲ ¦ τὸ ἀγαθόν (=$A^{ti}$). ZYQ ~ Ak ὅτι ...

A 106/$Z^{s}$ εἶπεc: εἶπαc, ἔλεξαc. ZYQ

ἔειπαc $Z^{\lambda}$ = v.l. Hom. ||

A 107/$Z^{s}$ αἰεί τοι: διὰ παντόc cοι. ZYQ

A 107/$Z^{s}$ τὰ κάκ' ἐcτὶ φίλα: τὰ κακά ἐcτι προcφιλῆ. ZYQ

A 107/$Z^{s}$ φρεcί: ταῖc διανοίαιc. ZYQ

A 108/$Z^{s}$ ἐcθλὸν δ': ἀγαθὸν δέ. ZYQ

A 108/$Z^{s}$ οὐδέ τί πω: οὐδέποτε. ZYQ

A 108/$Z^{s}$ ἔποc: λόγον. ZYQ

A 108/$Z^{s}$ οὐδ' ἐτέλεccαc: οὐδ' εἶπεc, ⟨οὐδ' YQ⟩ ἐπλήρωcαc αὐτό. ZYQ

A 109/$Z^{s}$ καὶ νῦν: ἐν τῶι παρόντι καιρῶι. ZYQ

A 109/$Z^{s}$ ἐν Δαναοῖcι: ἐν τοῖc Ἕλληcιν. ZYQ

A 109/$Z^{s}$ θεοπροπέων: μαντευόμενοc. ZYQ$A^{ti}$

A 109/$Z^{s}$ ἀγορεύειc: δημηγορεῖc, λέγειc. ZYQ

A 110/$Z^{s}$ ὡc δὴ τοῦδ' ἕνεκα: ὡc ὅτι τούτου χάριν. ZYQ

A 110/$Z^{s}$ cφιν: αὐτοῖc, τοῖc Ἕλληcιν. ZYQ$A^{ti}$

A 110/$Z^{s}$ τεύχει: παρέχει, ποιεῖ. ZYQ

A 111/$Z^{s}$ οὕνεκ': διότι. ZYQ

A 112/$Z^{s}$ οὐκ ἔθελον: οὐκ ἠβουλόμην. ZYQ

A 112/$Z^s$ δέξασθαι: λαβεῖν. ZYQ

A 113/$Z^s$ οἴκοι ἔχειν: ἐν τῶι οἴκωι κατέχειν. ZYQ

A 113/$Z^s$ καὶ γάρ ῥα: καὶ γὰρ δή. ZYQ

A 113/$Z^s$ Κλυταιμήστρης: τῆς Κλυταιμήστρας. ἡ δὲ Κλυταιμήστρα γυνὴ μὲν Ἀγαμέμνονος, Τυνδάρεω δὲ καὶ Λήδας τῆς Θεστίου θυγάτηρ, ¦ Ἑλένης δὲ ἀδελφή (~ $A^{ti}$). ZYQAUIG

2 τυνδάρεως AU ||

A 113/$Z^s$ προβέβουλα: προκέκρικα, προτιμῶ. ZYQ$A^{ti}$

A 114/$Z^s$ κουριδίης ἀλόχου: παρθενικῆς γυναικός. διὰ τί δὲ ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει, λέγει γὰρ 'Κλυταιμήστρης προβέβουλα' (113); καὶ οἱ μὲν φασὶν ὅτι ἕνεκεν τοῦ μὴ δοκεῖν Ἕλληνας ἐφ' ὕβρει κατέχεσθαι τὴν κόρην· οἱ δὲ ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δοκῆι χαρίζεσθαι· ἔνιοι δὲ ὅτι ἵνα ψευδόμενον ἀποδείξηι τὸν Κάλχαντα· πῶς γὰρ ὀργίζοιτο ἂν ὁ θεὸς τῆς αἰχμαλώτου μηδὲν ἐφύβριστον πασχούσης; ZYQAUG

3 κατέχειν Y || 5 δοκεῖ Z || ὅτι om U, del. Dindorf || ἀποδείξει Z || 6 ὀργίζοιντο A ||

A 114/$Z^s$ ἐπεὶ οὔ ἑθεν ἐστί: ἐπεὶ κατ' οὐδὲν αὐτῆς. ZYQI. $T^r$ οὐδαμῶς αὐτῆς.

A 114/$Z^s$ χερείων: χείρων, ἐλάσσων. ZYQ

A 115/$Z^s$ οὐ δέμας: τὸ σῶμα (=$A^{ti}$). δέμας δὲ ὁ ποιητὴς τὸ ἔμψυχον εἴωθε λέγειν, παρὰ τὸ δεδέσθαι καὶ συνεστηκέναι, οἷον 'οὐ δέμας οὐδὲ φυήν'· καὶ πάλιν 'δέμας δ' ἤϊκτο γυναικὶ / καλῆι τε μεγάληι τε' (ν 288s.) καὶ 'ἐπεὶ οὔτως οὐδὲ ἔοικεν / θνητὰς ἀθανάτηισι δέμας καί' (ε 212s.). σῶμα δὲ καλεῖ τὸ ἄψυχον, ἐπεὶ σῆμά τί ἐστι τοῦ ποτε ζῶντος, οἷον 'σῶμα δὲ οἴκαδε' (Η 79), καὶ ἐπὶ τοῦ Ἐλπήνορος πάλιν 'σῶμα γὰρ ἐν Κίρκης κατελείπομεν ἡμεῖς / ἄκλαυτον καὶ ἄθαπτον' (λ 53s.) καὶ 'ὧν ἔτι καὶ νῦν / σώματ' ἀκήδεα κεῖται' (ω 186s.). Εὐριπίδης μέντοι ἐνηλλαγμένως δέμας μὲν ἐπὶ τοῦ νεκροῦ λέγων 'ἕκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς / θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας' (E. Or. 39s.), τὸ δὲ σῶμα ἐπὶ ἐμψύχου λαμβάνει, λέγων 'δεῖξαι γὰρ Ἀργείοισι σῶμα αἰσχύνομαι' (E. Or. 98). ZYQA(U*)G~I, cf Epim. ApS 148,23

3 οὔτως : οὔ πως Hom. || 5 σῶμα {δὲ} A || 6 κατελείπομεν ⟨αὖθις⟩ ἡμεῖς A || 8-9 καθήγνηται Z ||

A 115/$Z^s$ οὐδὲ φυήν: οὐδὲ τὴν τοῦ σώματος εὐφυΐαν (~$A^{ti}$) καὶ ἀρετήν. ZYQ

A 115/$Z^s$ οὔτ' ἄρ φρένας: οὔτε κατὰ τὰς φρένας. ZYQ

A 115/$Z^s$ οὔτε τι ἔργα: οὔτε κατὰ τὰ ἔργα. ZYQ

A 116/$Z^s$ ἀλλὰ καὶ ὣς: ἀλλὰ καὶ ὅμως. ZYQ$A^{ti}$ ~ $A^{ts}$, ApS 170,16 ὁμοίως.

A 116/$Z^s$ ἐθέλω: θέλω, βούλομαι. ZYQ

A 116/$Z^s$ δόμεναι: δοῦναι. ZYQ

A 116/$Z^s$ πάλιν: εἰς τοὐπίσω. ZYQ

A 116/$Z^s$ εἰ τό γ' ἄμεινον: εἰ τοῦτο βέλτιον. ZYQ

A 117/$Z^s$ λαόν: ὄχλον. ZYQ

A 117/$Z^s$ σόον ἔμμεναι: σώζεσθαι. ὁ δὲ λόγος· θέλω γάρ, φησίν, ἐγὼ τὸν ὄχλον μᾶλλον σώζεσθαι καὶ αὐτὸς ἀπολέσθαι· ὁ γὰρ η̅ σύνδεσμος ἀντὶ τοῦ κ̅α̅ι̅ παρείληπται τῶι ποιητῆι. ZYQAI

1 λόγος ⟨τοιοῦτος⟩ θέλω {γὰρ} A ||

A 117/$Z^s$ ἢ ἀπολέσθαι: καὶ ἀπολέσθαι. ZYQ

A 118/$Z^s$ αὐτὰρ ἐμοί: ἐμοὶ δέ. ZYQ

A 118/$Z^s$ γέρας: γυναῖκα. Z | τιμήν. YQ$A^{ti}$ = A 167𝔇

A 118/$Z^s$ αὐτίκ' (= A 386, αὐτίχ' Hom.): παραχρῆμα, ¦ εὐθέως (=$A^{ti}$). ZYQ = ApS 47,7

A 118/$Z^s$ ἑτοιμάσατ': ἑτοιμάσατε, ἕτοιμον ποιήσατε. ZYQ

ποιήσετε Z ||

A 118/$Z^s$ ὄφρα μὴ οἶος: ὅπως μὴ μόνος. ZYQ

A 119/$Z^s$ Ἀργείων: τῶν Ἑλλήνων. ZYQ

A 119/$Z^s$ ἀγέραστος: ἄνευ γερῶν (=I), ἄνευ τιμῆς. ZYQ

A 119/$Z^s$ ἔω: ὦ, ὑπάρχω. ZYQ

A 119/$Z^s$ ἐπεὶ οὐδὲ ἔοικε: οὐδὲ γὰρ πρέπει. $ZYQA^{ti}$

A 120/$Z^s$ λεύcετε: ὁρᾶτε, βλέπετε. $ZYQA^{ti}$

A 120/$Z^s$ τό γε: τοῦτο. ZYQ

A 120/$Z^s$ ὅ μοι: ⌜ἀποκοπὴ τοῦ $A^{ti}T^{s}$⌝ ὅτι μοι. $ZYQA^{ti}$

A 120/$Z^s$ ἔρχεται: ἀπέρχεται. ZYQ

A 120/$Z^s$ ἄλληι: ἀλλαχοῦ. $ZYQA^{ti}T^{r}$

A 121/$Z^s$ ἠμείβετο: ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ZYQ

A 121/$Z^s$ ἔπειτα: μετὰ ταῦτα. ZYQ

A 121/$Z^s$ ποδάρκης: ἤτοι ὁ τοῖς ποσὶ ταχύς, ¦ ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶν δυνάμενος (~$T^{r}$), ZYQI ~ Epim. | ὁ ἰσχυρός. ZQ

A 122/$Y^s$ δῖος: θεῖος, εὐγενής. YQ

A 122/$Z^s$ κύδιcτε: ἐνδοξότατε. ZYQI

A 122/$Z^s$ φιλοκτεανώτατε: φιλοχρηματώτατε. $ZYQA^{ti}$

A 123/$Z^s$ πῶς γάρ τοι: πῶς δή σοι. ZYQ

A 123/$Z^s$ μεγάθυμοι: μεγαλόψυχοι, γενναῖοι. ZYQ

A 123/$Z^s$ Ἀχαιοί: οἱ Ἕλληνες. Ἀχαιοὺς δὲ καὶ Δαναοὺς καὶ Ἀργείους ὁ ποιητὴς καλεῖ τοὺς Ἕλληνας· Δαναοὺς μὲν ἀπὸ Δαναοῦ τοῦ Βήλου τοῦ Ποσειδῶνος, Ἀχαιοὺς δὲ ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου καὶ Κρεούσης τῆς Ἐρεχθέως, Ἀργείους δὲ ἀπὸ Ἄργου τοῦ Ἄπιδος καὶ Νιόβης τῆς Φορωνέως. Ἕλληνας δὲ ψιλῶς καλεῖ τοὺς ὑπὸ τῶι Ἀχιλλεῖ λέγων 'Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί' (B 684). ZYQI

A 124/$Z^s$ οὐδέ τί πω ἴδμεν: οὐδὲ ἐπιστάμεθά που. ZYQI

A 124/$Z^s$ ξυνήϊα: κοινὰ χρήματα. $ZYQA^{ti}I$

A 124/$Z^s$ κείμενα: ἀποκείμενα. ZYQ

A 125/$Q^s$ τὰ: ἅτινα. Q. $A^{ti}$ ἀλλά τινα.

A 125/$Z^s$ πολίων: πόλεων. ZYQ

A 125/$Z^s$ ἐξεπράθομεν: ἐξεπορθήσαμεν. ZYQI

A 125/$Z^s$ τά: ταῦτα. $ZYA^{ti}$

A 125/$Z^s$ δέδασται: μεμέρισται. $ZYQA^{ti}I$

A 126/$Z^s$ λαοὺς δέ: τοὺς ὄχλους δέ. ZYQ

A 126/$Z^s$ οὐκ ἐπέοικεν: οὐ προσῆκόν ἐστιν. ZYQ

A 126/$Z^s$ παλίλλογα: παλισύλλεκτα. ἀντὶ τοῦ ZYQI | οὐ δίκαιον ἐστὶν εἰς τὸ αὐτὸ πάλιν συνάγειν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. ZYQAIG

2 πάλιν : ποιεῖν Z ||

A 126/$Z^s$ ἐπαγείρειν: ἐπισυναθροίζειν. ZYQ | †ωcτεαν Z

ωcτεαν : cf Λ 357𝔇 "ἐπὶ τὴν τοῦ δόρατος ὁρμήν, ὥcτε ἀνελέcθαι αὐτό."

A 127/$Z^s$ ἀλλὰ σὺ μὲν νῦν: ἀλλὰ σὺ ἐπὶ τοῦ παρόντος, ὦ Ἀγάμεμνον. ZYQ

A 127/$Z^s$ τήνδε: ταύτην, ὅ ἐστι τὴν Χρυσηΐδα. ZYQ

A 127/$Z^s$ θεῶι: τῶι Ἀπόλλωνι. ZYQ

A 127/$Z^s$ πρόες: πρόπεμψον. $ZYQA^{ti}$

A 127/$Z^s$ αὐτὰρ Ἀχαιοί: οἱ δὲ Ἕλληνες. ZYQ

A 128/$Z^s$ τριπλῆι τετραπλῆι: τριπλασίονα καὶ τετραπλασίονα. ZYQ

A 128/$Z^s$ ἀποτίσομεν: ἀνταποδώσομεν. ZYQI

ἀποδώσομεν YQI ≃ N 745𝔇 ||

A 128/$Z^s$ αἴ κέ ποθι Ζεύς: ἐάν ποτε ὁ Ζεύς. $ZYQA^{ti}$

A 129/$Z^s$+$Q^s$ δῶισι: παράσχηι. ZYQ | τὸ $\overline{\text{cι}}$ ἐπέκτασις. $QG^{i}$~T, ≃ A 324𝔇(Y)+T

A 129/$Z^s$ πόλιν Τροΐην: Τρωϊκὴν πόλιν· λέγει δὲ τὴν Ἴλιον. ZYQI

A 129/$Z^s$ εὐτείχεον: καλῶϲ τετειχιϲμένην, διὰ τὸ ὑπὸ θεῶν τετειχίϲθαι καθ' Ὅμηρον, Ποϲειδῶνοϲ καὶ Ἀπόλλωνοϲ. ZYQI~G

A 129/$Z^s$ ἐξαλαπάξαι: ἐκπορθῆϲαι. ZYQI

A 130/$Y^s$ κρείων: ἄναξ, βαϲιλεύϲ. YQ

κρείων om $Y^\lambda$ ||

A 131/$Z^s$ μὴ δ' οὕτωϲ: μηδαμῶϲ οὕτωϲ. ZYQI

A 131/$Z^s$ ἀγαθόϲ περ ἐών: καίτοι ¦ γενναῖοϲ (=$A^{ti}$) ὑπάρχων. ZYQI

A 131/$Z^s$ θεοείκελε Ἀχιλλεῦ: θεοῖϲ τὸ εἶδοϲ ὅμοιε, ὅ ἐϲτιν τὸ κάλλοϲ· ZYQ | εὐειδὴϲ γὰρ παρὰ πάνταϲ τοὺϲ ἥρωαϲ Ἀχιλλεὺϲ καὶ γυναικοπρόϲωποϲ, ὡϲ καὶ εἰϲ τὸν Λυκομήδουϲ παρθενῶνα εἰϲελθόντα αὐτὸν ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ. ZYQAUI~G

θεοείκελ' $QA^\lambda$ = Hom. || 2 ⟨ὁ⟩ ἀχιλλεὺϲ AU ||

A 132/$Z^s$ κλέπτε νόωι: παραλογίζου τῆι διανοίαι. $ZYQA^{ti}$

A 132/$Z^s$ ἐπεί: ἐπειδή. ZYQ

A 132/$Z^s$ οὐ παρελεύϲεαι: οὐ παρέλθηιϲ, οὐ νικήϲειϲ με. ἀπὸ μεταφορᾶϲ τοῦ δρόμου ἐν ὧι ὁ παρελθὼν νικᾶι. ZYQ~$G^i$*

παρελεύϲεται $Z^\lambda$ ||

A 132/$Z^s$ οὐδέ με πείϲειϲ: οὐ πείϲειϲ με. ZY

A 133/$Z^s$ ἦ ἐθέλειϲ: ἦ βούλει. ZYQ

A 133/$Z^s$ ὄφρ' αὐτόϲ: ὅπωϲ αὐτόϲ. ZYQ

A 133/$Z^s$ γέραϲ: τιμήν. ZYQ

A 133/$Z^s$ αὐτὰρ ἔμ' αὔτωϲ: ἐμὲ δὲ ματαίωϲ. ZYQ

A 133/$Z^s$ αὔτωϲ: εἰκῆ, μάτην. Z = B 342𝔇

A 134/$Z^s$ ἧϲθαι: καθέζεϲθαι. $ZYQA^{ti}$

A 134/$Z^s$ δευόμενον: ἐνδεόμενον, χρήιζοντα. ZYQ

A 134/$Z^s$ κέλεαι δέ με: κελεύειϲ δέ με. ZYQ

A 134/$Z^s$ τὴν δέ: ταύτην δέ. Z = A 29𝔇

A 135/$Z^s$ ἀλλ' εἰ μέν: ἀλλ' ἐὰν μέν. ZYQ

A 135/$Z^s$ δώϲουϲι: παράϲχωϲιν. ZYQ

παραϲχοῦϲιν Z ||

A 135/$Z^s$ μεγάθυμοι: μεγαλόψυχοι, γενναῖοι. ZYQ

A 136/$Z^s$ ἄρϲαντεϲ κατὰ θυμόν: ἁρμόϲαντεϲ κατὰ τὴν ψυχήν, ¦ τουτέϲτιν ἀρεϲτὸν καὶ θυμήρεϲ ποιήϲαντεϲ (=I). ZYQ ~ $U^i$

A 136/$Z^s$ ἀντάξιον: ἶϲον ¦ τῆι ἐμῆι ἀξίαι (=$A^{ti}$), ἰϲότιμον. ZYQ

A 136/$Z^s$ ἔϲται: γένηται. ZYQ

A 137/$Z^s$ εἰ δέ κε μὴ δώωϲιν: ἐὰν δὲ μὴ παράϲχωϲιν. ZYQ

δώωϲιν Hom. : δώηϲι $ZY^\lambda$ = A 324, δώϲουϲιν $Q^\lambda$ ||

A 137/$Z^s$ ἐγὼ δέ κεν: ἐγὼ δ' ἄν. ZYQ

A 137/$Z^s$ ἕλωμαι: ἀφελοῦμαι. ZYQ

αὐτὸϲ ἕλωμαι· αὐτὸϲ ἀφέλωμαι YQ ||

A 138/$Z^s$ ἢ τεόν: ἢ τὸ ϲόν, ὅ ἐϲτι ¦ τὴν Βριϲηΐδα (=$A^{ti}IG^i$). ZYQ

A 138/$Z^s$ ἢ Αἴαντοϲ γέραϲ: Τέκμηϲϲαν (=$A^{ti}$) λέγει τὴν Τεύθραντοϲ θυγατέρα. ZYQIG, cf Dictys fr. 49,6,1 Jacoby

A 138/$Z^s$ ἰών: παραγενόμενοϲ. ZYQ

A 138/$Z^s$ ἢ Ὀδυϲῆοϲ γέραϲ: Λαοδίκην (=$A^{ti}$) λέγει τὴν Κύκνου θυγατέρα (cf $T^s$, Paus. 10,26,7)· ταῦτα δὲ αἰνιγματωδῶϲ φηϲίν, τὸ δὲ ὅλον ἀπετείνετο πρὸϲ Ἀχιλλέα. ZYQUIG

A 139/$Z^s$ ἄξω: ἀπάξω. ZYQ

A 139/$Z^s$ ἑλών: λαβών. ZYQ

A 139/Zs ὁ δέ κεν: οὗτος (=Ati) δὲ ἄν. ZYQ

A 139/Zs κεχολώcεται: ὀργιcθήcεται. ZYQ

A 139/Zs ὅν κεν ἵκωμαι: ἐφ' ὃν ἂν (=Ati) παραγένωμαι, ZYQ | ἐφ' ὃν ἔλθω. ZQ

A 140/Zs ἀλλ' ἤτοι μὲν ταῦτα: ἀλλὰ περὶ μὲν τούτων. ZYQ

A 140/Zs μεταφραcόμεθα (μεταφραcόμεcθα Hom.): καὶ ἐν ὑcτέρωι βουλευcόμεθα. ZYQAti

A 140/Zs καὶ αὖτιc: καὶ πάλιν. ZYQ

A 141/Zs νῦν δ' ἄγε: νῦν δὲ ἄγε δή. ZYQ cf Z 376𝔇 εἰ δ' ἄγε· ἄγε δή. ZYQ

A 141/Zs νῆα: τὴν ναῦν. ZYQ

ναῦν ⟨πλοῖον⟩ Y = A 308𝔇 ||

A 141/Zs μέλαιναν: βαθεῖαν, ἢ πίccηι κεχριcμένην. ZYQG

A 141/Zs ἐρύccομεν: καθελκύcομεν, ἐμβαλοῦμεν. ZYQ

καθελκύcωμεν, ἐμβάλωμεν YQ ||

A 141/Zs εἰc ἅλα: εἰc τὴν θάλαccαν. ZYQ

A 141/Zs δῖαν: θείαν, ἢ θαυμαcτήν. ZYQ

A 142/Zs ἐc δ' ἐρέταc: εἰc αὐτὴν δὲ καὶ ¦ κωπηλάταc (= Ti). ZYQI

A 142/Zs ἐπιτηδέc: ἐπιτηδείουc. ZYQITr, ApS 74,29. Ati ἐπιτηδεῖc· ἔκθλιψιc).

A 142/Zs ἀγείρομεν: cυναθροίcωμεν. ZYQ

A 142/Zs ἐc δ' ἑκατόμβην: ἐν αὐτῆι δὲ καὶ τελείαν θυcίαν. ZYQ

A 143/Zs θείομεν: ἐνθῶμεν. ZY

A 143/Zs ἂν δ' αὐτήν: καὶ αὐτὴν δέ. ZYQ

A 143/Zs καλλιπάρηον: καλὰc παρειὰc ἔχουcαν, ¦ ἀπὸ μέρουc καλήν (=G). ZYQ

A 144/Zs ⌞ἂν ..⌟ βήcομεν: ἀναβιβάcωμεν, ἐμβαλοῦμεν. ZYQ

ἐμβάλωμεν Y ||

A 144/Zs ἀρχόc: ἀρχηγόc, ἡγεμών (~ B 393𝔇)· νῦν δὲ ¦ ναύαρχοc (= Ti). ZYQ

A 144/Zs βουληφόροc: βουλευτικόc. ZYQ

βουλευτήc Q ||

A 144/Zs ἔcτω: γενέcθω. ZYQ

A 146/Zs ἠὲ cύ: ἢ cύ. ZYQ

A 146/Zs Πηλείδη: Πηλέωc παῖ, 'Αχιλλεῦ. ZYQ

A 146/Zs ἐκπαγλότατε: ἐκπληκτικώτατε, φοβερέ, ἐξοχώτατε. ZYQ

⟨ἢ⟩ ἐξοχώτατε YQ ||

A 147/Zs ὄφρ' ἡμῖν: ὅπωc ἡμῖν. ZYQ

A 147/Zs ἑκάεργον: πόρρωθεν εἴργοντα, ἢ πόρρωθεν ἐργαζόμενον, τοξότην. ZYQG

A 147/Zs ἱλάccεαι: ἐξιλεώcηι, λιτανεύcηιc. ZYQ

A 147/Zs ἱερά: ἱερεῖα, θυcίαc. ZYQ

A 147/Zs ῥέξαc: ἱερουργήcαc, θύcαc. ZYQ

A 148/Zs τὸν δ' ἄρ': τοῦτον δὲ δή. ZYQ

A 148/Zs ὑπόδρα ἰδών: δεινὸν ὑποβλεψάμενοc. ZYQAtiTr

A 148/Zs προcέφη: προcεῖπεν, προcεφθέγξατο. ZYQ

A 149/Zs ὤ μοι: φεῦ μοι· ἔcτιν δὲ ἀναφώνημα λύπηc δηλωτικὸν καὶ ἐπίρρημα. ZYQI

ἔcτιν δὲ ἐπίρρημα ἀναφωνητικὸν λύπηc δηλωτικόν Y ~ Δ 370𝔇 ||

A 149/Zs ἀναιδείην: ἀναιcχυντίαν. ZYQI

A 149/Zs ἐπιειμένε: ἠμφιεcμένε (=I), περιβεβλημένε. ZYQ

A 149/Zs κερδαλεόφρον: πανοῦργε τὸ φρόνημα, ¦ ἢ περὶ κέρδη τὸν νοῦν ἔχων, τουτέcτι κερδαίνειν φρονῶν (=G). ZYQI

A 150/Zs πῶc τίc τοι: πῶc τίc cοι. ZYQ

A 150/Zs πρόφρων: προθύμωc. ZYQ

A 150/Z$^s$ ἔπεςςιν ( = ε 96𝔇, ἔπεςιν Hom. = Q$^λ$): λόγοις. ZYQ cf A 223𝔇

A 150/Z$^s$ πείθηται: πειςθείη. ZYQ

A 151/Z$^s$ ἢ ὁδὸν ἐλθέμεναι: ἢ εἰς ὁδὸν παραγενέςθαι, ὅ ἐςτιν εἰς ἐνέδραν κατελθεῖν. ZYQ

A 151/Z$^s$ ἶφι: ἰςχυρῶς, γενναίως. ZYQ

A 151/Z$^s$ μάχεςθαι: πολεμῆςαι. ZQ

A 152/Z$^s$ οὐ γὰρ ἐγώ: οὐδαμῶς γὰρ ἐγώ. ZYQ

A 152/Z$^s$ Τρώων ἕνεκεν: ἕνεκεν τῶν Τρώων. ZYQ

A 152/Z$^s$ ἤλυθον: παρεγενόμην. ZYQ

A 152/Z$^s$ αἰχμητάων: πολεμικῶν. ZYQ

πολεμικῶς Z ||

A 153/Z$^s$ δεῦρο: ἐνταῦθα. ZYQA$^{ti}$I

A 153/Z$^s$ μαχηςόμενος: μαχούμενος, πολεμήςων. ZYQ

lemma habet, sed interpr. om. Z ||

A 153/Z$^s$ ἐπεὶ οὔ τί μοι αἴτιοί εἰςι: ἐπειδὴ οὐδαμῶς καὶ κατ' οὐδέν μοι αἴτιοι ὑπάρχουςιν. ZYQ

A 154/Z$^s$ οὐ γὰρ πώποτε: οὐδέποτε γάρ μοι. ZQ

οὐδαμῶς δέ ποτε Y = 155𝔇 ||

A 154/Z$^s$+Y$^s$ ἐμὰς βοῦς ἤλαςαν: τοὺς ἐμοὺς βόας ἀπήλαςαν, ZYQ | οὔτε μὴν τοὺς ἵππους. Y

A 155/Z$^s$ οὐδέ ποτε: οὐδαμῶς δέ ποτε. ZQ

A 155/Z$^s$ ἐν Φθίηι: ἐν τῆι Φθίαι· Φθία δέ ἐςτι πόλις Θεςςαλίας παραθαλαςςίας, πατρὶς Ἀχιλλέως (~A$^{ti}$). ZYQG*

παραθαλαςςίας Z : παραθαλαςςία YQ ||

A 155/Z$^s$ ἐριβώλακι: μεγαλοβώλωι, εὐγείωι. ZYQ

A 155/Z$^s$ βωτιανείρηι: ἄνδρας βοςκούςηι, ὅ ἐςτι τρεφούςηι. ZYQ = ApS 53,26

βοςκούςηι ⟨δε⟩ Z ||

A 156/Z$^s$ ἐδηλήςαντο: ἔβλαψαν. ZYQ

A 156/Z$^s$ ἐπεὶ ἦ μάλα: ἐπειδὴ πάνυ. ZYQ

A 156/Z$^s$ μεταξύ: ἀνὰ μέςον. ZYQ

A 157/Z$^s$ οὔρεά τε: καὶ ὄρη. ZYQ | Ἰὰς ἡ διάλεκτος. ZQ. A$^{ti}$ Ἰώνων, G$^i$ Ἰωνικῶς.

A 157/Z$^s$ ςκιόεντα: ςύςκια, ZYQ | ςκιὰν ἀποτελοῦντα. ZQ

A 157/Z$^s$ ἠχήεςςα: ἡ ἠχητικὴ ἀπὸ τῆς τῶν κυμάτων κινήςεως. ZYQ~G* | ὁ δὲ λόγος· οὐδέποτε ἠδίκηςάν με οἱ Τρῶες, ἐπειδὴ μεταξὺ Φθίας καὶ Πελοποννήςου πολλὰ ἐςτὶν μέγιςτα ὄρη καὶ πολλὴ θάλαςςα, ὡς μήτε ὑπήκοόν μέ ςοι εἶναι μήτε ἀςτυγείτονα. ZYQAUG | ἔςτι γὰρ τῆς Θεςςαλίας ὄρη μέγιςτα τὸ Πήλιον καὶ ἡ Ὄςςα καὶ ἄλλα τινά. ZU*

4 ἔςτι δὲ θεςςαλίας U || 5 καὶ ἄλλα τινά U, evanida in Z ||

A 158/Z$^s$ ὦ μέγ' ἀναιδές: ὦ μεγάλως ἀναιδέςτατε. ZYQ

A 158/Z$^s$ ἅμ' ἑςπόμεθ': ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἠκολουθήςαμεν. ZYQ

A 158/Z$^s$ ὄφρα ςὺ χαίρῃς: ὅπως ςὺ χαίρῃς. ZYQ

A 159/Z$^s$ τιμήν: τιμωρίαν (=A$^{ti}$, ~ Ak ὅτι ...) τῶν Τρώων ὑπὲρ Μενελάου. ZYQ

τρώων : τριῶν Z ||

A 159/Z$^s$ ἀρνύμενοι: ἀντικαταλλαςςόμενοι, λαμβάνοντες. ZYQI

A 159/Z$^s$ ςοί τε κυνῶπα: ἀντὶ τοῦ καὶ ὑπὲρ ςοῦ, ὦ ἀναιδέςτατε. ZYQA$^{ti}$

τοῦ om A$^t$ || καὶ om Y ||

A 160/Z$^s$ πρὸς Τρώων: παρὰ τῶν Τρώων. ZYQX

A 160/Z$^s$ τῶν οὔ τι: ὧν οὐδέν. ZYQX~I

ὧν : τῶν Z ||

A 160/$Z^s$ μετατρέπηι: ἐπιστροφὴν ποιῆι, φροντίζεις. ZYQX

A 160/$Z^s$ οὐδ' ἀλεγίζεις: οὐδὲ λόγον ποιῆι τινα ¦ ὡς ἐχθρῶν σοι (=$A^{ti}$). ZYQXG

A 161/$Z^s$ ἀφαιρήσεσθαι: ἀφελέσθαι. ZYQXI

A 161/$Z^s$ ἀπειλεῖς: ὑπισχνῆι, λέγεις. ZYQX$A^{ti}$

A 162/$Z^s$ ὧι ἔπι: ἐφ' ὧι· ἀναστροφὴ (=$A^{ti}T^r$) ὁ τρόπος (=G). ἀναστροφὴ δέ ἐστιν δύο λέξεων τάξις ἐνηλλαγμένη οἷον 'λέων ὥς' (Ε 299) ὡς λέων, 'ὄρνιθες ὥς' (Γ 2) ὡς ὄρνιθες. ZYQ(X)I

λέων ὡς ZY : λέων ὥς Q || ὄρνιθες ὡς ZY : ὄρνιθες ὥς Q ||

A 162/$Z^s$ ἐμόγησα: ἐκοπίασα, ¦ ἐκακοπάθησα (=$A^{ti}$). ZYQX

A 162/$Z^s$ δόσαν δέ μοι: παρέσχον δέ μοι αὐτό. ZYQX

A 162/$Z^s$ υἷες 'Αχαιῶν: περιφραστικῶς οἱ Ἕλληνες. ZYQX

A 163/$Z^s$ οὐ μὲν σοί ποτε: οὐδέποτε μέν σοι. ZYQX

A 163/$Z^s$ ἶσον: ἐξ ἴσου, ὅμοιον. ZYQX

A 163/$Z^s$ ὁππότ' 'Αχαιοί: ὁπότ' ἂν οἱ Ἕλληνες. ZYQX

A 164/$Z^s$ ἐκπέρσωσι: ἐκπορθήσουσιν, ὅ ἐστιν καταστρέψουσιν. ZYQX

ἐκπορθήσωσιν ... καταστρέψωσιν YQX ||

A 164/$Z^s$ εὖ ναιόμενον: καλῶς οἰκούμενον. ZYQX

A 164/$Z^s$ πτολίεθρον: πόλισμα, πόλιν. ZYQX

A 165/$Z^s$ πλεῖον: πλεῖστον. ZYQX

A 165/$Z^s$ πολυάϊκος: πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος, ἀστάτου. ZYQX. $A^{ti}$ πολλὰς ὁρμὰς ἔχοντος.

A 165/$Z^s$ πολέμοιο: πολέμου. ZQX

A 166/$Z^s$ χεῖρες ἐμαὶ διέπουσιν: αἱ ἐμαὶ χεῖρες ¦ διοικοῦσιν (=$A^{ti}$). ZYQX

A 166/$Z^s$ ἀτὰρ ἤν ποτε: ἐὰν δέ ποτε. ZY

A 166/$Z^s$ δασμός: μερισμός, τῶν λαφύρων δηλονότι. ZYQX$A^{ti}$

A 166/$Z^s$ ἵκηται: παραγένηται. ZYQX

A 167/$Z^s$ γέρας: τιμήν. Z = A 133𝔇

A 167/$Z^s$ πολὺ μεῖζον: κατὰ πολὺ μεῖζον. ZYQX

A 167/$Z^s$ ὀλίγον τε φίλον τε: ἐμοὶ ἐλάχιστόν τι ἔρχεται, καὶ τοῦτο προσφιλὲς ἡγοῦμαι. ZYQX$A^{ti}$

1 τι om $A^t$ ||

A 168/$Z^s$ ἔρχομαι: ἀπέρχομαι. Z ≃ A 120𝔇

A 168/$Z^s$ ἐπήν κε κάμω πολεμίζων: καὶ ταῦτα ἐπὰν κοπιάσω πολεμῶν. ZYQX$A^{ti}$

ἐπειδὰν κακοπαθήσω YQX ||

A 169/$Z^s$ νῦν δ' εἶμι: νῦν οὖν ¦ πορεύομαι (=$A^{ti}$). ¦ ὁ δὲ νοῦς ὑπερβατόν (=I)· ZYQXAG | νῦν δ' εἶμι Φθίην δὲ σὺν νηυσὶ κορωνίσιν ἐνθάδ' ἄτιμος ἐών, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν. οὐχ ὑπολαμβάνω δέ σε, φησίν, ἐμοῦ ἀπόντος καταστρέψαι τὴν Ἴλιον καὶ πλοῦτον πολὺν σχεῖν. ZYQA$U^m$IG

1 δὲ $Z^λ$ || 3 φησίν om Y ||

A 169/$Z^s$ Φθίην δέ: εἰς Φθίαν. Z ~ A 185𝔇 221𝔇

A 169/$Z^s$ ἐπεὶ ἦ: ἐπειδή. ZYQXI

A 169/$Z^s$+$Q^s$ πολὺ φέρτερον: κατὰ πολὺ κρεῖσσον, ZYQ | βέλτιον. Q

↑ A 169/$Z^s$ φέρτερον: κρεῖσσον, βέλτιον. Z = α 376𝔇 λωΐτερον

A 169/$Z^s$ ἔστιν: ὑπάρχει. ZYQ

A 170/$Z^s$ οἴκαδ' ἴμεν: εἰς τὸν οἶκον παραγίνεσθαι. ZYQX

A 170/$Z^s$ σὺν νηυσί: σὺν ταῖς ναυσίν. ZYQX

A 170/$Z^s$ κορωνίσιν: ἐπικαμπεῖς τὰς ἄκρας ἐχούσαις, ὅ ἐστι τὰς πρύμνας. ZYQXG

A 170/$Z^s$ οὐδέ σ' ὀΐω: οὐχ ὑπολαμβάνω δέ σε. ZYQXI

A 171/Z$^{s}$ ⌞ἐνθάδ'⌟ ἄτιμος ἐών: ἐνταῦθα ἀτιμαζόμενος. ἐνήλλακται δὲ ἡ πτῶϲιϲ· ἀντὶ γὰρ γενικῆϲ κέχρηται ὀνομαϲτικῆι, καὶ ἔϲτιν ϲχῆμα. ZYQXIG.~ A$^{ts}$ ὅτι ...

2 καὶ : ὃ QX ||

A 171/Z$^{s}$ ἄφενοϲ: πλούϲιοϲ πάνυ. ZYQX | κυρίωϲ δὲ ἄφενοϲ καλεῖται ἡ ἀπὸ ἑνὸϲ ἐνιαυτοῦ περιουϲία· πλοῦτοϲ δὲ ὁ ἀπὸ πολλῶν. ZYQXIG ~ A$^{s}$, Epim.

1 ἀφ' ἑνὸϲ YQX ||

A 171/Z$^{s}$ ἀφύξειν: ἀπαντλήϲειν, προϲωρεύϲειν. Z(Y)QXI

A 173/Z$^{s}$ μάλα: λίαν, πάνυ. ZYQX

A 173/Z$^{s}$ εἴ τοι θυμόϲ: εἰ ἡ ψυχή ϲου. ZYQXA, Epim | τοῦτο δὲ τὸ ὄνομα παρὰ τῶι ποιητῆι ϲημαίνει ε'· τὴν ὀργήν, ὡϲ ἐν τῶι 'θυμὸϲ δὲ μέγαϲ ἐϲτὶ διοτρεφέων βαϲιλήων' (B 196𝔇). τὴν ψυχήν, ὅταν εἴπηι 'μελιηδέα θυμὸν ἀπηύρα' (K 495, cf Z 17𝔇 "ψυχήν"). τὴν ἐπιθυμίαν, ὡϲ ἐν τῶι 'ὧι θυμῶι εἴξαϲ⟨α⟩ μίγη φιλότητι καὶ εὐνῆι' (ε 126, 𝔇 "ἐπιθυμήϲαϲα"). τὸν ἐπιλογιϲμόν· 'ἕτεροϲ δέ με θυμὸϲ ἀνῆκε' (~ ι 302, 𝔇 "νῦν λογιϲμόϲ"). καὶ τὴν ὁμόνοιαν, ὡϲ ἐπὶ τοῦ 'ἀλλ' ἕνα θυμὸν ἔχοντεϲ νόωι καὶ ἐπίφρονι βουλῆι' (γ 128, 𝔇 "ὁμονοοῦντεϲ"). ZYQAU*IT$^{r}$. Apio 74, p. 241, 21

2 ε' Q (πέντε YAU) : εν Z || ἐν τῶι ZA : τὸ YQU || 3 βαϲιλέων Z || 5 ἐπιλογιϲμόν, ⟨ὡϲ τὸ⟩ YQU || 6 {καὶ} τὴν A || ἔχοντε Hom. || 7 ἐπίφρονα βουλήν U ||

A 173/Z$^{s}$ ἐπέϲϲυται: ἐφορμᾶται, ἐπιθυμεῖ. ZYQX. A$^{ti}$ ἐφίεται, ἐπιθυμεῖ.

A 173/Z$^{s}$ ἐέλδεται (= ο 66): ἐπιθυμεῖ. ZYQX = ο 66𝔓, ≃ Π 494𝔇

ἐέλδεται etiam T$^{s}$ 𝔓585 : ἐπέϲϲυται Hom. ut supra Z$^{\lambda}$ ||

A 173/Z$^{s}$ οὐδέ ϲ' ἔγωγε: οὐ γὰρ ἐγώ ϲε. ZYQX

A 174/Z$^{s}$ λίϲϲομαι: λιτανεύω, ¦ παρακαλῶ. (=A$^{ti}$) ZYQX

A 174/Z$^{s}$ εἵνεκ' ἐμεῖο: ἕνεκα ἐμοῦ. ZYQX

A 174/Z$^{s}$ πάρ' ἔμοιγε: πάρειϲι γάρ μοι. ZYQX

A 175/Z$^{s}$ οἵ κέ με: οἵτινεϲ ἂν ἐμέ. ZYQX

οἵ κέ με YX$^{\lambda}$ = Hom : οἵ κ' ἐμέ ZQ$^{\lambda}$ || ἂν YL : καὶ ZQX ||

A 175/Z$^{s}$ τιμήϲουϲιν: τιμῆϲ ἀξιώϲουϲιν. ZYQX

A 175/Z$^{s}$ μάλιϲτα δέ: ὑπερβαλλόντωϲ δέ. Z | ἐξαιρέτωϲ δέ. YQX = B 57𝔇

A 175/Z$^{s}$ μητίετα: ἀντὶ τοῦ "μητιέτηϲ", ὅ ἐϲτι "βουλευτικόϲ". ZYQX(UG) | Βοιωτῶν δὲ καὶ Αἰολέων ὁ τοιοῦτοϲ τῶν ὀνομάτων ϲχηματιϲμόϲ, οἷον 'αὐτὰρ ὃ αὖτε Θυέϲτα' ἀντὶ τοῦ "Θυέϲτηϲ" (= B 107𝔇). καὶ 'ἱππηλάτα' ἀντὶ τοῦ "ἱππηλάτηϲ" (= Δ 387𝔇), καὶ 'νεφεληγερέτα' ἀντὶ τοῦ "νεφεληγερέτηϲ" (= A 517𝔇), καὶ 'κυανοχαῖτα' ἀντὶ τοῦ "κυανοχαίτηϲ" (= N 563$^{t}$ "ὅτι"). παρ' ἡμῖν δὲ οὐδὲν ἀρρενικὸν ὄνομα ἐπὶ τῆϲ εὐθείαϲ εἰϲ ἄλφα λήγει. ZYQXAUIG, ~T$^{r}$, cf Epim.

1 βουλευτικόν Z || 2 μεταϲχηματιϲμὸϲ QXAU || 5 ἀρϲενικὸν YA ||

A 176/Z$^{s}$ ἔχθιϲτοϲ: ἐχθρότατοϲ. ZQX

A 176/Z$^{s}$ ἐϲϲί: ὑπάρχειϲ. ZYQX

A 176/Z$^{s}$ διοτρεφέων: τῶν ϲὺν Διὸϲ γνώμηι τεθραμμένων, ZYQXAG | ἐπεὶ τῆϲ αὐτοῦ ϲειρᾶϲ εἰϲίν, ὡϲ καὶ ὁ Ἡϲίοδοϲ φηϲίν· 'ἐκ γάρ τοι Μουϲάων καὶ ἑκηβόλου Ἀπόλλωνοϲ ἄνδρεϲ ἀοιδοὶ ⌞ἔαϲιν⌟ ἐπὶ χθονὶ καὶ κιθαριϲταί, ἐκ δὲ Διὸϲ βαϲιλῆεϲ' (Theog. 94ss.). ZYQAIG

2 {ὁ} ἡϲίοδοϲ A || 3 ἀοιδοὶ : ἀδελφοὶ A || {δὲ} διὸϲ A || βαϲιλέωϲ A ||

A 176/Z$^{s}$ βαϲιλήων: βαϲιλέων. ZYQX | Ἰὰϲ (=A$^{ti}$) ἡ διάλεκτοϲ. ZQXG$^{i}$

A 177/Z$^{s}$ αἰεὶ γάρ τοι: διὰ παντὸϲ γάρ ϲοι. ZYQX

A 177/Z$^{s}$ ἔριϲ τε: φιλονεικία. 'φίλη' δὲ προϲφιλήϲ. Z(YQX duo scholia)

A 177/Z$^{s}$ πόλεμοί τε: καὶ πόλεμοι· εἴρηται δὲ πόλεμοϲ οἷον πολύαινόϲ τιϲ ὤν. Z(YQX οἱονεὶ) ~G

A 177/Z$^{s}$ μάχαι τε: καὶ μάχαι. ZYQX

A 178/Z$^{s}$ εἰ μάλα: ἐὰν πάνυ. ZYQX

A 178/Z$^{s}$ καρτερόϲ: ἰϲχυρόϲ, γενναῖοϲ. ZYQX

A 178/Z$^{s}$ θεόϲ που ϲοί: θεὸϲ δή ϲοι. ZYQX. T$^{r}$ ἡ εἱμαρμένη.

A 178/Z$^{s}$ τό γε: τοῦτο. ZYQXA$^{ti}$

γε Z$^{\lambda}$ : τό γ' et Hom ||

A 178/Z$^{s}$ ἔδωκεν: παρέϲχεν. ZYQX

A 179/Z$^{s}$ οἴκαδ' ἰών: εἰϲ τὸν οἶκον ϲου παραγενόμενοϲ. ZYQX

A 179/Z$^{s}$ ϲὺν νηυϲί τε ϲῆιϲ: ϲὺν ταῖϲ ϲαῖϲ ναυϲί. ZYQX

A 179/Z$^{s}$ καὶ ϲοῖϲ ἑτάροιϲι: καὶ τοῖϲ ϲοῖϲ ἑταίροιϲ· τοῖϲ Μυρμιδόϲιν λέγει. ZQX

A 180/Z$^{s}$ Μυρμιδόνεϲϲιν ἄναϲϲε: τῶν Μυρμιδόνων βαϲίλευε. Αἴγιναν τὴν Ἀϲωποῦ τοῦ ποταμοῦ Θηβῶν θυγατέρα ἁρπάϲαϲ Ζεὺϲ κατῆλθεν εἰϲ Φλιοῦντα καὶ φθείραϲ τὴν προειρημένην ἔγκυον ἐποίηϲεν, ἥτιϲ Αἰακὸν ἐγέννηϲεν. Ἀϲωπὸϲ δὲ τὴν θυγατέρα ζητῶν ἔμαθεν παρὰ Σιϲύφου καὶ τὸν ἁρπάϲαντα καὶ τὸν τόπον εἰϲ ὃν κατεληλύθει. μὴ μελλήϲαϲ οὖν ἔϲπευϲεν· μέλλων δὲ ὁ Ζεὺϲ ἐπ' αὐτοφώρωι καταλαμβάνεϲθαι τὴν μὲν Αἴγιναν μετεμόρφωϲεν εἰϲ ὁμώνυμον νῆϲον, αὐτὸϲ δὲ μετεβλήθη εἰϲ λίθον. ἐλθὼν δὲ ὁ Ἀϲωπὸϲ καὶ μηδ' ὅντινα καταλαβὼν ἔμπαλιν εἰϲ τὰϲ ἰδίαϲ ὑπέϲτρεψεν πηγάϲ. βουλόμενοϲ δὲ ὁ Ζεὺϲ τιμωρήϲαϲθαι τὸν μηνύϲαντα, ἠνάγκαϲεν αὐτὸν ἐν τοῖϲ ὑποχθονίοιϲ τοϲοῦτο μέγεθοϲ πέτρου ἀνωθεῖν εἰϲ ὅϲον αὐτὸϲ μετεβλήθη. Αἰακοῦ δὲ ἐν τῆι νήϲωι μόνου ὄντοϲ, ὁ Ζεὺϲ κατοικτείραϲ τοὺϲ αὐτόθι μύρμηκαϲ μετέβαλεν εἰϲ ἀνθρώπουϲ, ἀφ' ἧϲ αἰτίαϲ Μυρμιδόνεϲ ἐκλήθηϲαν. ZYQXAU*I

1 αἴγειαν Z || 2 ⟨ὁ⟩ ζεὺϲ QXU || φιλοῦντα Z || 6 αἴγειαν Z || 8 ἰδίαϲ : οἰκείαϲ Y || καταμηνύϲαντα Y || 9 τοϲοῦτον YQU, τοιοῦτον X || πέτρου XAU : πέτρω Z, πέτραϲ YQ || εϲ όϲον Z || 10 ⟨διατρίβοντοϲ⟩ μόνου {ὄντοϲ} Y ||

A 180/Z$^{s}$ ϲέθεν δ' ἐγώ: ϲοῦ δὲ ἐγώ. ZYQX

A 180/Z$^{s}$ οὐκ ἀλεγίζω: λόγον οὐ ποιοῦμαι, ZYQXG | οὐ φροντίζω. ZQX

A 181/Z$^{s}$ οὐδ' ὄθομαι: οὐδὲ ἐπιϲτροφὴν ποιοῦμαι. ZYQX

A 181/Z$^{s}$ κοτέοντοϲ: ὀργιζομένου. ZYQX

A 181/Z$^{s}$ ἀπειλήϲω δέ τοι: ἀπειλήϲω δέ ϲοι. ZYQX

A 181/Z$^{s}$ ὧδε: οὕτωϲ. ZYQX

A 182/Z$^{s}$ ὡϲ ἔμ' ἀφαιρεῖται: ὥϲπερ ἐμοῦ λαμβάνει. ZYQXA$^{ti}$

ὥϲπερ : ὡϲ παρ' A$^{t}$ || ὥϲπερ ἐμὲ (= T$^{r}$) ἀφαιρεῖται, ὅ ἐϲτιν λαμβάνει ἀπ' ἐμοῦ Y ||

A 183/Z$^{s}$ τὴν μὲν ἐγώ: ταύτην μὲν ἐγώ. ZYQX

A 183/Z$^{s}$ ϲὺν νηΐ τ' ἐμῆι: ϲὺν τῆι ἐμῆι νηΐ. ZYQ

A 184/Z$^{s}$ πέμψω: ἀποπέμψω. ZYQXI

A 184/Z$^{s}$ ἐγὼ δέ κ' ἄγω: ἐγὼ δὲ ἀπαγάγω. ZYQX

A 185/Z$^{s}$ αὐτὸϲ ἰών: δι' ἑαυτοῦ εἰϲ τὴν ϲκηνήν ϲου παραγενόμενοϲ. ZYQX

δι' ἐμαυτοῦ L ||

A 185/Z$^{s}$ κλιϲίην δέ: εἰϲ τὴν ϲκηνήν. ZYQX | κλιϲίη γὰρ ἡ ϲκηνή. Z

A 185/Z$^{s}$ τὸ ϲὸν γέραϲ: τὴν ϲὴν τιμήν. ZYQX

A 185/Z$^{s}$ ὄφρ' εὖ εἰδῆιϲ: ὅπωϲ ϲαφῶϲ μάθηιϲ ZYQX | ὅϲον κρείϲϲων ϲου εἰμί. Z

↑ A 186/Y$^{s}$ ὅϲϲον: ὁπόϲον. YQX

A 186/Z$^{s}$ φέρτεροϲ: κρείϲϲων. ZYQX

A 186/Z$^{s}$ εἰμί: ὑπάρχω. ZYQX

A 186/Z$^{s}$ ϲέθεν: ϲοῦ. ZYQX

A 186/Z$^{s}$ ϲτυγέηι δέ: μιϲῆηι, ¦ εὐλαβηθῆι (=A$^{ti}$). Z(μιϲήϲει) YQX

A 187/Z$^{s}$ ἶϲον ἐμοὶ φάϲθαι: ἰϲηγορῆϲαί μοι, τουτέϲτιν ¦ ἐξ ἴϲηϲ πρὸϲ ἐμὲ λέγειν (=A$^{ti}$). ZYQI. T$^{r}$ ἰϲήγορον.

1 πρὸϲ ἐμὲ : ἐμοὶ A$^{t}$ ||

A 187/Z$^{s}$ καὶ ὁμοιωθήμεναι: καὶ ἐξιϲωθῆναι. ZYQX

A 187/Z$^{s}$ ἄντην: ἐξ ἐναντίαϲ. ZYQXA$^{ti}$I

A 188/$Z^s$ ὣς φάτο: οὕτως εἶπεν. ZYQX
ὣς ἔφατ(ο) (Y)QX = A 33 et 43 cum 𝔇 ||

A 188/$Z^s$ Πηλείωνι δ’: Πηλέως παιδὶ ’Αχιλλεῖ. ZYQXI

A 188/$Z^s$ ἄχος γένετ’: λύπη ἐγένετο. ZYQX

A 188/$Z^s$ ἐν δέ οἱ ἦτορ: ἡ δὲ ψυχὴ αὐτοῦ. ZYQX~$I^s$

A 189/$Z^s$ στήθεσσι λασίοισι: ἡ ἐν τοῖς δασέσι καὶ συνετοῖς. ¦ νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους ψυχῆς φησίν, ἀφ’ ὧν λέγει 'στήθεσιν'· ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία (=I), ZYQXAG | ἐν ἧι ἐστι τὸ πυρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. ZYQAIG Epim., cf A $193^T$
2 μέρους : τῆς A || ἀφ’ οὗ A ||

A 189/$Z^s$ διάνδιχα: διχῶς. ZYQX$A^{ti}$

A 189/$Z^s$ μερμήριξεν: ἐμερίμνησεν (=I), ἐνεθυμήθη. ZYQX. $A^{ti}$ ἐνεθυμήθη, ἐβουλεύσατο ≃ B 3𝔇 + κ 50𝔇.

A 190/$Z^s$ ἢ ὅ γε: ἤπερ οὗτος. ZYQX$A^{ti}$
περ om YX ||

A 190/$Z^s$ φάσγανον: ξίφος. ZYQX

A 190/$Z^s$ ἐρυσσάμενος: σπασάμενος (= $T^i$), ἑλκύσας. ZYQX

A 191/$Z^s$ τοὺς μέν: ἀντὶ τοῦ τοὺς μὲν Ἕλληνας. Z(om τοῦ) YQX

A 191/$Z^s$ ἀναστήσειεν: ἀναστάτους καὶ ἐν ταραχῆι ποιήσειεν, τουτέστι φυγάδας καταστήσειεν. ZYQ(X). $T^r$ ἀναστ(...) θορυβήσειεν.

A 191/$Z^s$ ὁ δ’ ’Ατρείδην: ὁ δὲ τὸν ’Αγαμέμνονα. Z ~ A 7𝔇 355𝔇

A 191/$Z^s$ ἐναρίζοι: φονεύοι. ZYQ. $A^{ti}$ ἀνέλοι ≃ Π 731𝔇.

A 192/$Z^s$ ἠὲ χόλον παύσειεν: ἢ τὴν μανίαν παύσειεν. ZYQ~$I^s$

A 192/$Z^s$ ἐρητύσειέ τε θυμόν: καὶ ἐπίσχηι (=$A^{ti}$) τὴν ὀργήν. ZYQX

A 193/$Z^s$ ἕως ὅ γ’: ἕως ¦ οὗτος (=$A^{ti}$). ZYQX

A 193/$Z^s$ ὥρμαινε: ἐνεθυμεῖτο, ¦ διενοεῖτο (=$A^{ti}T^i$). ZYQX

A 193/$Z^s$ κατὰ φρένα: κατὰ τὸν νοῦν, κατὰ τὴν διάνοιαν. ZYQX

A 193/$Z^s$ καὶ κατὰ θυμόν: καὶ κατὰ τὴν ψυχήν. Z A 136𝔇

A 194/$Z^s$ ἕλκετο δ’: εἷλκεν. ZYQX

A 194/$Z^s$ ἐκ κολεοῖο: ἐκ τῆς ξιφοθήκης. ZYQXI

A 195/$Z^s$ οὐρανόθεν: ἐκ τοῦ οὐρανοῦ παρεγένετο, φησίν, ἡ ’Αθηνᾶ, ὅ ἐστιν ἡ φρόνησις. ZYQXAUIG | δεῖ γὰρ οὕτως αὐτὴν ⌜καταβαίνειν οἷα YQAUI⌝ καὶ τῆς κόμης αὐτὸν κρατεῖν καὶ οὐκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ’ ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος. εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν ὅτι ἔγκυος οὖσα ἡ Μῆτις τὴν ’Αθηνᾶν κατεπόθη ὑπὸ Διὸς καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ τῶι ὡρισμένωι τῆς ἀποκυήσεως χρόνωι ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις (=G). ἡ ἱστορία παρὰ ’Απολλοδώρωι ἐν A (bibl. 1,3,6). ZYQAUI
1 {ἡ} ἀθηνᾶ Z || 3 αὐτὸν : αὐτὴν A || 6 ἀνέθορεν Y || ἔνοπλος Y || ἀπολλόδωρος ἱστορεῖ QU || 7 $\bar{α}$ : πρώτωι YA ||

A 195/$Z^s$ πρὸ γὰρ ἧκε: προέπεμψε (=$A^{ti}$) γὰρ αὐτήν. ZYQX

A 196/$Z^s$ ἄμφω: ἀμφοτέρους. ZYQX

A 196/$Z^s$ ὁμῶς: ὁμοίως. ZYQX

A 196/$Z^s$ θυμῶι φιλέουσα: φιλοῦσα τῆι ψυχῆι. ZYQX
duo scholia YQX ||

A 196/$Z^s$ κηδομένη τε: καὶ φροντίζουσα. ZYQX

A 197/$Z^s$ στῆ δέ: ἔστη δέ. ZYQX

A 197/$Z^s$ ξανθῆς δέ: καλῆς, πυρρᾶς. καὶ ZYQXI$G^i$ | διὰ τούτου δέ, φασίν, αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι τοιοῦτοι. ZYQXA$U^m$I Epim. ~G
2 ξανθόχολοι cf Galen. (de um., t. 19, p. 492) Script. Physiogn. 2,299,19 : ξανθότριχες Cobet, ξανθόκομαι de Marco ||

A 197/Z$^{s}$ κόμης: τῆϲ τριχώϲεωϲ· εἴρηται δὲ παρὰ τὸ κόϲμον αὐτὴν εἶναι τοῦ ϲώματοϲ. ZYQXG

A 197/Z$^{s}$ ἕλε: ἔλαβε. Z(ἐλάβετο) YQX

A 198/Z$^{s}$ οἴωι φαινομένη: μόνωι αὐτῶι ὁρωμένη. | μόνοϲ γὰρ αὐτὸϲ τὸν οἰκεῖον δαίμονα καὶ τὴν ἐν αὐτῶι φρόνηϲιν ἑώρα (=A$^{ti}$). ZYQ(X)IG

A 198/Z$^{s}$ τῶν δ' ἄλλων: τῶν δὲ λοιπῶν. ZYQX

A 198/Z$^{s}$ οὔ τιϲ ὁρᾶτο: οὐδεὶϲ ἑώρα, ἔβλεπεν. ZYQX

ἢ ἔβλεπεν YQX ||

A 199/Z$^{s}$ θάμβηϲεν: ἐφοβήθη, ἐξεπλάγη. ZYQX

A 199/Z$^{s}$ μετὰ δ' ἐτράπετο: καὶ περιεϲτράφη. ZYQXA$^{ti}$(T$^{r}$)

A 199/Z$^{s}$ αὐτίκα δ' ἔγνω: παραχρῆμα δὲ ἐπέγνω. ZYQX

A 200/Z$^{s}$ Παλλάδ' Ἀθηναίην: τὴν Ἀθηνᾶν ἐπιθετικῶϲ ἤτοι γε ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ· πολεμικὴ γὰρ ἡ θεόϲ. ἢ ὅτι Πάλλαντα ἕνα τῶν Γιγάντων ἀπέκτεινεν. ἢ ἀπὸ τοῦ ἀναπαλθῆναι αὐτὴν ἀπὸ τῆϲ κεφαλῆϲ τοῦ Διόϲ. ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύϲου προϲκομίϲαι τῶι Διί. ZYQXAUIG ~ Epim.

1 ἤτοι {γε} YA || 3 ἀπέκτεινεν· ἢ ἀπὸ τοῦ : ἀνεῖλεν· ἢ παρὰ τὸ Y || ἐν τῇ κεφαλῇ YQXU || ἢ παρὰ τὸ Y || 4 προκομίϲαι X, ἀποκομίϲαι Y ||

A 200/Z$^{s}$ δεινὼ δέ οἱ: φοβεροὶ δὲ αὐτοῦ δυϊκῶϲ. ZYQX. T$^{r}$ τὰ αὐτῆϲ.

φοβεροὶ : δεινοὶ Y ||

A 200/Z$^{s}$ ὄϲϲε: ὄμματα, ὀφθαλμοί. ZYQX

A 200/Z$^{s}$ φάανθεν: ἐφάνηϲαν. ZYQX

φάενθεν Z$^{\lambda}$ ||

A 201/Z$^{s}$ καί μιν: καὶ αὐτήν. ZYQX ~ A 399𝔇. A$^{ts}$ τὸ $\overline{\text{μιν}}$ Ἰώνων ~ A 399$^{ti}$.

A 201/Z$^{s}$ φωνήϲαϲ: εἰπών, καλέϲαϲ. ZYQX

A 201/Z$^{s}$ ἔπεα πτερόεντα: λόγουϲ ταχεῖϲ. λόγου γὰρ οὐδὲν ταχύτερον. ZYQX

A 201/Z$^{s}$ προϲηύδα: προϲεῖπεν. ZYQX

A 202/Z$^{s}$ τίπτ' αὖτ': τί δήποτε. ZYQX | ϲυγκοπὴ (= A$^{ts}$) ὁ τρόποϲ. ZQX

A 202/Z$^{s}$ αἰγιόχοιο: αἰγίδα ἔχοντοϲ· αἰγὶϲ δέ ἐϲτιν ὅπλον Διὸϲ ἡφαιϲτότευκτον. ZYQXU$^{m}$ ~ ApS 18,5

A 202/Z$^{s}$ τέκοϲ: τέκνον. ZYQX

A 202/Z$^{s}$ εἰλήλουθαϲ: ἐλήλυθαϲ, παρεγένου. ἡ δὲ διάλεκτοϲ ¦ Ἰώνων (=A$^{ti}$). ZYQ(X)

A 203/Z$^{s}$ ἦ ἵνα: ἢ ὅπωϲ. ZYQX

A 203/Z$^{s}$ ὕβριν ἴδηι: 'ὕβριν' νῦν τὸν φόνον ⌜ἢ τὴν ὑπερηφανίαν A$^{ti}$⌝. ZYQXA$^{ti}$I

ὕβριν$^{2}$ om QX || φόβον YI ||

A 204/Z$^{s}$ ἀλλ' ἔκ τοι ἐρέω: ἀλλ' ἐρῶ δή ϲοι. ZYQX

A 204/Z$^{s}$ τὸ δὲ καὶ τετελέϲθαι ὀίω: ὅπερ καὶ τελειωθήϲεϲθαι νομίζω. ZYQX. A$^{ti}$ ἀντὶ τοῦ ὅπερ δή.

τελειωθήϲεϲθαι Z : πληρωθήϲεϲθαι YQX || νομίζω ZY : ὑπολαμβάνω QX ||

A 205/Z$^{s}$ ἧιϲ ὑπεροπλίηιϲι: ταῖϲ ἰδίαιϲ ὑπερηφανίαιϲ. ZYQXA$^{ti}$

A 205/Z$^{s}$ τάχ' ἄν ποτε: ταχέωϲ (=A$^{ti}$, T$^{s}$) ἄν ποτε. ZYQX

A 205/Z$^{s}$ ὀλέϲϲαι: ἀπολέϲηι. ZYQX

ὀλέϲϲηι / ὀλέϲϲαι vv.ll. Hom. || ἀπολέϲαι YQX ||

A 206/Z$^{s}$ τὸν δ' αὖτε: τοῦτον δὲ πάλιν. ZYQX

A 206/Z$^{s}$ προϲέειπεν: προϲεῖπεν. ZYQX

A 206/Z$^{s}$ γλαυκῶπιϲ: ἤτοι γλαυκόφθαλμοϲ, καλή, ἢ γλαυκοὺϲ καὶ καταπληκτικοὺϲ τοὺϲ ὦπαϲ ἔχουϲα. ZYQX Epim. | ὦπεϲ δὲ οἱ ὀφθαλμοί (= ζ 113𝔇). Z

A 207/Z$^{s}$ ἦλθον: παρεγενόμην. ZYQX

A 207/Z$^{s}$ παύϲουϲα: καταπαύϲουϲα. ZYQX

A 207/Z$^{s}$ τὸ ϲὸν μένοϲ: τὴν ϲὴν ὀργήν. ZYQXT$^{r}$

A 207/Z$^{s}$ αἴ κε πίθηαι: ἐὰν πειϲθῆιϲ μου. ZYQX
ἐμοί YQX ||

A 208/Z$^{s}$ πρὸ δέ μ' ἧκε: προέπεμψε δέ με. ZYQX
με Z$^{\lambda}$ ||

A 209/Z$^{s}$ ἄμφω ὁμῶϲ: ἀμφοτέρουϲ ὁμοίωϲ. ZYQX

A 209/Z$^{s}$ φιλέουϲά τε: καὶ φιλοῦϲα. ZYQX

A 209/Z$^{s}$ κηδομένη τε: ⌜καὶ YQX⌝ φροντίζουϲα. ZYQX

A 210/Z$^{s}$ ἀλλ' ἄγε: ἀλλὰ ἄγε. ZYQX~I$^{s}$ | ἔϲτι δὲ ἐπίρρημα παρακελευϲματικόν, ἤτοι ἐπιτατικὸν μόριον. ZYQ~I$^{s}$
ἀλλ' ἄγε δή Z$^{\lambda}$ = A 62 || ἀλλὰ ἄγε Z : ἀλλὰ φέρε QXI, om Y || παρακελεύϲεωϲ ἢ ἐπιρρηματικὸν μόριον Q ||

A 210/Z$^{s}$ λῆγε: παύου. ZYQXA$^{ti}$

A 210/Z$^{s}$ ἔριδοϲ: φιλονεικίαϲ. ZYQX

A 210/Z$^{s}$ ἕλκεο: ἕλκε. ZY

A 211/Z$^{s}$ ἀλλ' ἤτοι ἔπεϲι μέν: ἀλλὰ διὰ μὲν λόγων. ZYQX

A 211/Z$^{s}$ ὀνείδιϲον: ὕβριϲον. ZYQX

A 211/Z$^{s}$ ὡϲ ἔϲεταί περ: ὥϲπερ καὶ γενήϲεται. ZYQX

A 212/Z$^{s}$ ὧδε γάρ: οὕτωϲ γάρ. ZYQX

A 212/Z$^{s}$ ἐξερέω: ἐρῶ, λέξω. ZYQX

A 212/Z$^{s}$ τὸ δὲ καὶ τετελεϲμένον ἔϲται: ὅπερ καὶ τελεϲθήϲεται. ZYQX

A 213/Z$^{s}$ καί ποτέ τοι: καί ποτέ ϲοι· ¦ προαναφώνηϲιϲ (=A$^{ti}$) ὁ τρόποϲ (~G). ZYQX

A 213/Z$^{s}$ τρὶϲ τόϲϲα: πολλάκιϲ τοϲαῦτα (=A$^{ti}$)· οὐ γὰρ τριπλαϲίονα αὐτῶι παρεϲχέθη παρὰ 'Αγαμέμνονοϲ, ZYQXU | ἀλλὰ ϲὺν τῆι Βριϲηΐδι πολλὰ ἄλλα ὡϲ αὐτόϲ φηϲιν ἐν τῆι I. ZYQUIG. T$^{r}$ ἤτοι πολλά.
2 ὡϲ αὐτόϲ : ὡϲαύτωϲ Z ||

A 213/Z$^{s}$ παρέϲϲεται: δοθήϲεται. ZYQX

A 213/Z$^{s}$ ἀγλαά: καλά. ZYQX

A 214/Z$^{s}$ ὕβριοϲ εἵνεκα τῆϲδε: ὑπὲρ ταύτηϲ τῆϲ ὕβρεωϲ· ἡ δὲ διάλεκτοϲ ¦ 'Ιάϲ (=A$^{ti}$). ZYQX

A 214/Z$^{s}$ ϲὺ δ' ἴϲχεο: ϲὺ δὲ ¦ παύου (=A$^{ti}$). ZYQX

A 214/Z$^{s}$ πείθεο δ' ἡμῖν: καὶ πείθου ἡμῖν. ZYQX

A 215/Z$^{s}$ πόδαϲ ὠκύϲ: τοῖϲ ποϲὶ ταχύϲ. ZYQX

A 216/Z$^{s}$ χρὴ μέν: προϲῆκον μέν ἐϲτι (=I), πρέπει (=A$^{ti}$). ZYQX

A 216/Z$^{s}$ ϲφωΐτερόν γε: ὑμέτερόν (=A$^{ti}$) γε. ZYQX

A 216/Z$^{s}$ ἔποϲ: λόγον. Z = A 108𝔇

A 216/Z$^{s}$ εἰρύϲαϲθαι: φυλάξαι. ZYQXA$^{ti}$

A 217/Z$^{s}$ καὶ μάλα περ: εἰ καὶ πάνυ (θ 316𝔇 "καίπερ καθ' ὑπερβολήν"). ZYQX
εἰ om YQX ||

A 217/Z$^{s}$ κεχολωμένον: ὠργιϲμένον. ZYQX

A 217/Z$^{s}$ ὣϲ γὰρ ἄμεινον: οὕτωϲ γὰρ βέλτιον. ZYQX

A 218/Z$^{s}$ ὅϲ κε: ὃϲ ἄν. ZYQX

A 218/Z$^{s}$ ἐπιπείθηται: πείθηται, ἀκούϲει. ZYQX
ἀκούϲει : ακοή Z ||

A 218/Z$^{s}$ μάλα τ' ἔκλυον αὐτοῦ: πλέον ἐπακούουϲιν (=A$^{ti}$) αὐτοῦ. ZYQX

A 219/Z$^{s}$ ἦ: ἔφη, εἶπεν. ZYQX

A 219/Z$^{s}$ ἀργυρέη: ἀργυρά, καλή. ZYQX
ἀργυρέηι ... YQX$^{\lambda}$ = Hom. ||

A 219/Z$^{s}$ κώπηι: τῆι λαβῆι (=A$^{ti}$) τοῦ ξίφουϲ. ZYQX

A 219/$Z^s$ cχέθε: ἐπέcχεν (=$A^{ti}$), ἐπέβαλεν. ZYQX

A 219/$Z^s$ βαρεῖαν: ἰcχυράν, μεγάλην. ZYQX

A 220/$Z^s$ ἂψ: πάλιν, ἢ εἰc τοὐπίcω. ZYQX$A^{ti}$

ἢ om YQX$A^t$ ||

A 220/$Z^s$ ἐc κουλεόν: τὴν ξιφοθήκην. ZYQX

κελεόν $Z^\lambda$ ||

A 220/$Z^s$ ὦcε: ἀπεώcατο, ἐνέβαλεν. ZYQX. $A^{ti}$ ὤθηcεν, ἐνέβαλεν.

A 220/$Z^s$ οὐδ' ἀπίθηcε: οὐκ ἠπείθηcεν, ἀλλ' ἐπείcθη. ZYQX

οὐδὲ παρήκουcεν Y, = B 166𝔇 || ἠπείcθηcεν Z ||

A 221/$Z^s$ μύθωι: τῶι λόγωι. ZYQX

A 221/$Z^s$ 'Αθηναίηc: τῆc 'Αθηνᾶc. ZYQX

A 221/$Z^s$ ἣ δέ: αὕτη δέ. ZYQX

A 221/$Z^s$ Οὔλυμπον δέ: εἰc τὸν Ὄλυμπον. ZYQX

δέ om $Z^\lambda$ ||

A 221/$Z^s$ ἐβεβήκει: ἐπορεύετο, ἀπελήλυθεν. ZYQX

A 222/$Z^s$ δώματα: οἴκουc. Z ~ A 600𝔇

A 222/$Z^s$ μετὰ δαίμοναc: ἐπὶ τοὺc θεούc. ZYQXA ~ $A^{ti}$ ὅτι ... ¦ ἔcτι δὲ πρόθεcιc ἀντὶ προθέcεωc (~ Γ 276𝔇). Z

A 222/$Z^s$ ἄλλουc: τοὺc λοιπούc. Z | οὕτωc δαίμοναc καλεῖ τοὺc θεούc, ἤτοι ὅτι δαήμονεc – ἔμπειροι γὰρ καὶ ἴδριεc πάντων αὐτοί εἰcιν – (~ Epim.) ἢ ὅτι διαιτηταί εἰcι καὶ διοικηταὶ τῶν ἀνθρώπων. ZYQXAU*~G* | 'Αλκμὰν ὁ λυρικόc φηcιν '†οιεθεν πάλοιc ἔπαλλεν δαίμονάc τ' ἐδάccατο' (PMG F 65) τοὺc μεριcμούc, τὰc διαιτήcειc αὐτῶν. Ἡcίοδοc δὲ δαίμοναc φηcὶν τοὺc ἐκ τοῦ ζῆν μεταcτάνταc, ὄνταc δὲ ἐπὶ τῆc Κρόνου βαcιλείαc, τοῦ χρυcοῦ γένουc, λέγων αὐτοὺc δαίμοναc φύλακαc θνητῶν ἀνθρώπων (Erga 122). ZYQAUIG

1 οὗτοc Z || 2 {γὰρ} καὶ A || 3 ⟨ὡc⟩ ἀλκμὰν A || οἵ ἔθεν YQ || 4 τ' om Z || ἐδάccαντο Y || διαιτήcειc : διαιρέcειc A ||

A 223/$Z^s$+$Y^s$ ἐξαῦτιc: ἐκ δευτέρου, ZYQX$A^{ti}T^r$ | εὐθέωc, παραυτά, = N 42𝔇 ad παρ' αὐτόφι!. YQX

A 223/$Z^s$ ἀταρτηροῖc: ἀτηροῖc (= E), χαλεποῖc. ZYQX. $A^{ti}$ χαλεποῖc, cκληροῖc.

A 223/$Z^s$ ἔπεccιν (= ε 96, ἐπέεccιν Hom. = YQ$X^\lambda$): ἔπεcι, λόγοιc. ZYQX

ἔπεcι om Y ||

A 224/$Z^s$ λῆγε: ἐπαύετο. ZYQX

A 224/$Z^s$ χόλοιο: τῆc ὀργῆc. ZYQX

A 225/$Z^s$ οἰνοβαρέc: οἴνωι βεβαρημένε, ¦ μέθυcε (=$A^{ti}$). ZYQX

A 225/$Z^s$ κυνὸc ὄμματ' ἔχων: ἀναιδέcτατε (=$A^{ti}$) ὡc κύων. ZYQX

A 225/$Z^s$ κραδίην δ' ἐλάφοιο: τὴν δὲ ψυχὴν ἐλάφου, τουτέcτιν δειλὲ ὡc ἔλαφοc. ZYQX

↓ ψυχὴν Z : καρδίαν YQX ||

A 225/$Z^s$ κραδίην: καρδίαν· τὸ δὲ πάθοc τῆc λέξεωc ¦ μετάθεcιc (=$A^{ti}$). καὶ 'κραδίη' δὲ ἐλέχθη ἀπὸ τοῦ κραδαίνεcθαι καὶ πάλλεcθαι ἀεὶ τὸ τῆc καρδίαc cπλάγχνον. ZYQX$U^m$G ~ Epim.

1 κραδίη δ' ἐλελίχθη YQ, cf X 448 τῆc δ' ἐλελίχθη γυῖα ||

A 226/$Z^s$ ἅμα λαῶι: ἅμα τῶι ὄχλωι. ZYQ

A 226/$Z^s$ θωρηχθῆναι: καθοπλιcθῆναι. ZYQI

A 227/$Z^s$ λόχον: ἐνέδραν, ZYQ$A^{ti}$ | ἔγκρυμμα. ZY (cf He ε 2853 ἐνέδρα· ἔγκρυμμα)

A 227/$Z^s$ ἰέναι: παραγενέcθαι. ZYQI

A 227/$Z^s$ cὺν ἀριcτήεccιν: cὺν τοῖc ἀρίcτοιc καὶ ἡγεμόcιν. ZYQ

A 228/$Z^s$ τέτληκαc: κεκαρτέρηκαc, ὑπομεμένηκαc. ZYQ

A 228/$Z^{s}$ θυμῶι: τῆι ψυχῆι. ZYQ

A 228/$Z^{s}$ τὸ δέ τοι: τοῦτο δέ coι. ZYI

A 228/$Z^{s}$ κήρ: τοῦτο γάρ coι, φηcίν, τὸ ἐν πολέμωι ἢ λόχωι εὑρεθῆναι ὡc ὁ θάνατοc μιcητὸν φαίνεται. ZYQ($T^{r}$)IG. $A^{ti}$+$A^{td}$ τὸ ἐν πολέμωι ἢ λόχωι εὑρεθῆναι θάνατοc νομίζεται.

2 καταφαίνεται Y ||

A 228/$Z^{s}$ εἴδεται: φαίνεται, δοκεῖ. ZYQ

A 229/$Z^{s}$ ἦ πολὺ λώϊον: ἀλλ' ὄντωc δή coι τοῦτο καλὸν εἶναι νομίζεται. ZYQ$A^{ti}$I

A 229/$Z^{s}$ λώϊον: βέλτιον. ZY | 'πολὺ' δὲ κατὰ πολύ (= A 167$\mathfrak{D}$), πάνυ. Z

A 229/$Z^{s}$ κατὰ cτρατόν: κατὰ τὸ cτρατόπεδον. ZYQ

A 229/$Z^{s}$ εὐρύν: πλατὺν καὶ μέγιcτον. ZYQ

A 230/$Z^{s}$ δῶρ' ἀποαιρεῖcθαι: τὰ παρ' ἄλλων τιcὶ διδόμενα δῶρα ἀφαιρεῖcθαι. ZYQ$A^{ti}$

A 230/$Z^{s}$ ὅcτιc cέθεν: ὅcτιc coῦ. ZYQ

A 230/$Z^{s}$ ἀντίον: ἐξ ἐναντίαc. ZYQ

A 231/$Z^{s}$ δημοβόροc: ὁ τὰ δημόcια κατεcθίων. ZYQ$A^{ti}$I

A 231/$Z^{s}$ οὐτιδανοῖcιν: οὐδενὸc λόγου ἀξίων (~$I^{s}$), ἀcθενῶν. ZYQ$A^{ti}$

ὅτι δανοῖcιν $Z^{\lambda}$ ||

A 231/$Z^{s}$ ἀνάccειc: βαcιλεύειc. ZYQ

A 232/$Z^{s}$ ἦ γὰρ ἂν 'Ατρείδη: ὄντωc γὰρ δή, ὦ 'Αγάμεμνον. ZYQ$A^{ti}$

A 232/$Z^{s}$ ὕcτατα λωβήcαιο: ὑcτάτην γὰρ ἂν ταύτην τὴν ὕβριν εἰργάcω, φονευθεὶc ἐπ' αὐτῆι ὑπὸ πάντων. ZYQG

2 ἐν αὐτῇ YQG || ὑπὸ πάντων om G ||

A 232/$Z^{s}$ λωβήcαιο: ὕβριcαc. ZY

A 233/$Z^{s}$ ἀλλ' ἔκ τοι ἐρέω: ἀλλ' ἐρῶ δή coι. ZYQ

A 233/$Z^{s}$+$Y^{s}$ ⌊ἐπὶ ..⌋ ὀμοῦμαι: ὀμόcω. ZYQ$A^{ti}$ | ἐπόμνυcθαί ἐcτι τὸ ὑπιcχνούμενον ὀμόcαι, ἀπομνύναι δὲ τὸ ἀποφάcκειν (cf K 332$\mathfrak{D}$+$^{t}$/Ar). YQAGT

g A 234/$Z^{s}$ ναὶ μὰ τόδε cκῆπτρον: ναὶ μὰ τοῦτο τὸ cκῆπτρον. πεπλεόνακεν δὲ τῶι μα ἀρνητικῶι ἤγουν ἀπωμοτικῶι μορίωι, κατὰ 'Αττικὸν ἔθοc· ἤρκει γὰρ εἰπεῖν 'νὴ τοῦτο τὸ cκῆπτρον'. ἰcτέον δὲ ὅτι διὰ τοῦ cκήπτρου ὄμνυcιν αὐτὸν τὸν ἔφορον τῆc βαcιλείαc θεόν (~T). ZYQAU*J*IG

g 1 τὸ μα ἀρνητικὸν εἴτ' οὖν ἀπωμοτικὸν μόριον Y || 3 αὐτὸν JL : αὐτῶν Z, αὐτῶι YQAUG ||

A 234/$Z^{s}$+$Y^{s}$ τὸ μὲν οὔ ποτε: ὅπερ οὐδέποτε ἄν. ZYQ | παραβολὴ ὁ τρόποc (~ B 144$\mathfrak{D}$). YQ

A 234/$Z^{s}$ ὄζουc: κλάδουc. ZYQI

A 235/$Z^{s}$+$Q^{s}$ φύcει: ἀναβλαcτήcει. ZYQ | διὰ τί ὁ 'Αχιλλεὺc cκῆπτρον ἔχει; καὶ λέγομεν ὅτι εἰ καὶ {μὴ} πάντων 'Ελλήνων οὐκ ἐβαcίλευε, τῶν μέντοι Μυρμιδόνων ἦρχεν. QUG

2 μὴ om U ||

A 235/$Z^{s}$ ἐπειδὴ πρῶτα: ἐπειδὴ ἅπαξ, τὸ πρῶτον καὶ τὴν ἀρχήν. ZYQ

A 235/$Z^{s}$ τομὴν ἐν ὄρεccι λέλοιπεν: τὴν τμῆcιν, ὅ ἐcτι ¦ τὴν ῥίζαν (= $T^{r}$) αὐτοῦ τμηθὲν ἐν τῶι ὄρει κατέλειφεν (=$A^{ti}$). ZYQ

1 αὐτοῦ om Y$A^{t}$ || 2 κατέλιφεν Z, κατέλιπεν Y ||

A 236/$Z^{s}$ οὐδ' ἀναθηλήcει: οὐδὲ ἀναβλαcτήcει. ZYQI

A 236/$Z^{s}$ περὶ γάρ ῥά ἑ χαλκὸc ἔλεψε: περιελέπιcε γὰρ αὐτὸ ὁ cίδηροc, ZYQI | ὅ ἐcτιν ἔγλυψεν. ZQ. $T^{r}$ αὐτὸ τὸ cκῆπτρον. ἢ ἐλέπιcεν, ὅ ἐcτιν ἔγλυψεν.

cίδηροc : χαλκόc Y ||

A 237/$Z^{s}$ φύλλα τε καὶ φλοιόν: τά τε φύλλα καὶ τὸν φλοιόν. φλοιόc ἐcτι τὸ καλούμενον λέποc. ZYQ~$I^{s}$s

1 φλοιὸc δέ YQ || καλούμενον om Y ||

A 237/$Z^{s}$ νῦν αὖτέ μιν: νῦν δὲ ¦ αὐτὸ (= $T^{r}$) πάλιν. ZYQ

A 237/$Z^{s}$ υἷεϲ Ἀχαιῶν: περιφραϲτικῶϲ οἱ Ἕλληνεϲ. ZYQ

A 238/$Z^{s}$ ἐν παλάμαιϲ: ἐν ταῖϲ χερϲίν. ZYQ

παλάμαιϲ / παλάμηϲ = vv.ll. Hom. : παλάμαιϲι $Z^{\lambda}$, παλάμηϲιν $YQ^{\lambda}$ = O 411 ||

A 238/$Z^{s}$ φορέουϲιν: φοροῦϲι, βαϲτάζουϲι. ZYQ

A 238/$Z^{s}$ δικαϲπόλοι: οἱ περὶ δίκαϲ ἀναϲτρεφόμενοι βαϲιλεῖϲ. ZYQ. $A^{ti}$ οἱ βαϲιλεῖϲ.

⟨τὰϲ⟩ δίκαϲ YQ ||

A 238/$Z^{s}$ θέμιϲταϲ: δίκαϲ (= Π 387/$A^{td}$), νόμουϲ. $ZYQA^{ti}$

A 239/$Z^{s}$ πρὸϲ Διόϲ: παρὰ τοῦ Διόϲ. ZYQ

A 239/$Z^{s}$ εἰρύαται: ῥύονται, φυλάττουϲι. τὸ δὲ ὅλον· οἵτινεϲ τὰϲ δίκαϲ καὶ τοὺϲ νόμουϲ ¦ παρὰ τοῦ Διὸϲ λαβόντεϲ φυλάττουϲιν (=$A^{ti}$). ZYQ

2 παρὰ τοῦ Διὸϲ λαβόντεϲ Z : παραλαβόντεϲ YQ ||

A 239/$Z^{s}$ ὃ δέ τοι: οὗτοϲ (= $T^{r}$) δέ ϲοι. $ZYQA^{ti}$

A 239/$Z^{s}$ ἔϲϲεται: γενήϲεται. ZYQ

ἔϲται $YQ^{\lambda}$ = A 325𝔇 ||

A 240/$Z^{s}$ ἦ ποτ' Ἀχιλλῆοϲ: ὄντωϲ δήποτε ἐμοῦ τοῦ Ἀχιλλέωϲ. $ZYQA^{ti}$

ἦ $Z^{\lambda}$ : εἴ $YQ^{\lambda}$ || ὄντωϲ L : ὄντωϲ ἐὰν $ZYA^{t}$, ἐὰν ὄντωϲ Q || ἐμοῦ τοῦ Ἀχιλλέωϲ om Y ||

A 240/$Z^{s}$ ποθή: πόθηϲιϲ, ¦ ἐπιζήτηϲιϲ (~$I^{s}$). ZYQ

A 240/$Z^{s}$ ἵξεται: παραγενήϲεται. ZYQ

A 241/$Z^{s}$ ϲύμπανταϲ: ὁμοῦ πάνταϲ. ZYQ

A 241/$Z^{s}$ τότε δ' οὔ τι: τότε δὲ οὐδέν. ZYQ

τότε $Z^{\lambda}$ / τοῖϲ $YQ^{\lambda}$ = Λ 120, = vv.ll. Hom. || .. τούτοιϲ YQ ||

A 241/$Z^{s}$ δυνήϲεαι: δυνήϲηι. ZYQ

A 241/$Z^{s}$ ἀχνύμενόϲ περ: καίπερ λυπούμενοϲ. ZYQ

καὶ περιλυπούμενοϲ Z = A 588/$Z^{s}$ ||

A 242/$Z^{s}$ χραιϲμεῖν: βοηθεῖν. ZYQ

A 242/$Z^{s}$ εὖτ' ἄν: ὁπόταν. ZYQ

A 242/$Z^{s}$ πολλοί: πλεῖϲτοι. ZYQ

A 242/$Z^{s}$ ὑφ' Ἕκτοροϲ: ὑπὸ τοῦ Ἕκτοροϲ. ZYQ

A 242/$Z^{s}$+$Q^{s}$ ἀνδροφόνοιο: ἀνδροφόνου, ¦ πολεμικοῦ (=$A^{ti}$). ZYQ | διὰ τί τὸν Ἕκτορα ἀνδροφόνον προϲηγόρευϲεν καὶ οὐ χαλκοκορυϲτὴν (Π 536) ἢ ἱππόδαμον (Π 717); ῥητέον ὅτι ἀνδροφόνον αὐτὸν εἴρηκε πρὸϲ κατάπληξιν τῶν ἀκουόντων (~T)· εἴωθε δὲ τηρεῖν τὰ ἐπίθετα εὐϲτόχωϲ. καὶ ἄλλωϲ· ῥητέον ὅτι ἐν ὧι τίϲ ἐϲτι μέγαϲ ἀεὶ καιεὐδοκιμῶν, ἐκ τούτου καὶ ἄλλουϲ ἐπαινεῖ (~ G). καὶ γὰρ ὁ Ἀχιλλεὺϲ ἥδετο μὲν διογενὴϲ καλούμενοϲ, οὐχ ἧττον δὲ ἐπέχαιρε καὶ τῆι ἀνδροφονίαι ἐκ τοῦ λέγειν τῶι Ἕκτορι 'ὑφ' Ἕκτοροϲ ἀνδροφόνοιο'. QU*IG*

4 {καὶ} ἄλλωϲ ῥητέον U, contra 248/QU || 4-5 μέγαϲ καὶ εὐδοκιμῶν ἀεί U ||

A 243/$Z^{s}$ θνήϲκοντεϲ: ἀποθνήϲκοντεϲ πίπτωϲι νεκροί. ZYQ

A 243/$Z^{s}$ ϲὺ δ' ἔνδοθι: ϲὺ δὲ ἔϲωθεν. ZYQ | κατὰ τὴν ψυχήν ϲου (~ A 136𝔇). Z

ἔνδοθεν $Y^{\lambda}$ = δ 467 μινύθει δέ μοι ἔνδοθεν ἦτορ ||

A 243/$Z^{s}$ θυμόν: ψυχήν. ZYQ

A 243/$Z^{s}$ ἀμύξειϲ: κνίϲειϲ, λυπήϲειϲ. $ZYQA^{ti}$

κνίϲειϲ Y : κινήϲειϲ $ZQA^{t}$ ||

A 244/$Z^{s}$ χωόμενοϲ: λυπούμενοϲ, ὀργιζόμενοϲ. ZYQ

A 244/$Z^{s}$ ὅτ' ἄριϲτον: ὅτι τὸν ἄριϲτον καὶ ἔξοχον. ZY

A 244/$Z^{s}$ οὐδὲν ἔτιϲαϲ: κατ' οὐδὲν ἐτίμηϲαϲ. ZYQ

A 245/$Z^{s}$ ποτὶ δὲ ϲκῆπτρον: πρὸϲ τῆι γῆι δέ (= Δ 112𝔇)· ἡ δὲ διάλεκτοϲ Δωριέων (~ EtM 625, 24). Z

↑ A 245/Y$^{s}$+Q$^{s}$ ποτὶ δὲ cκῆπτρον βάλε γαίηι: προcέβαλε δὲ καὶ προcέρρηξε τῆι γῆι τὸ cκῆπτρον ¦ διὰ τὴν ὀργήν (=T$^{r}$). YQA$^{ti}$ | ἡ διάλεκτος Δωριέων. QG$^{i}$ = Z supra

A 246/Z$^{s}$ χρυcείοις ἥλοιcι πεπαρμένον: χρυcοῦc ἥλουc ἔχον καὶ αὐτοῖc διαπεπαρμένον. ZYQI

1 ἔχων Z || 1-2 ἔχον διαπερωνημένουc καὶ ἠcφαλιcμένουc Y, ἔχον καὶ διαπεπερωνημένουc αὐτοὺc ἠcφαλιcμένουc Q ||

A 246/Z$^{s}$ ἕζετο: ἐκαθέζετο. ZQ

A 247/Z$^{s}$ ἑτέρωθεν: ἐκ τοῦ ἑτέρου μέρουc, ἐξ ἐναντίαc. ZYQ

A 247/Z$^{s}$ ἐμήνιε: ὠργίζετο. ZYQA$^{ti}$

A 248/Z$^{s}$ ἡδυεπής: ὁ ἡδὺc ἐν τῶι λέγειν. ZYQ

A 248/Z$^{s}$+Q$^{s}$ ἀνόρουcεν: ἀνώρμηcεν, ¦ ἀνέcτη (=A$^{ti}$). ZYQ | πῶc οὖν τὸ 'ἀνόρουcεν' ἐπὶ τῶι Νέcτορι ὁ ποιητὴc τῶι ἐξώρωι ἤδη ἐχρήcατο; ἐπὶ νέωι γὰρ εἰκὸc ἦν τοῦτο λέγεcθαι. καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων νεανικὴν αὐτῶι περιτίθηcιν κίνηcιν· οὐδὲ γὰρ γέροντα κυβερνήτην μέμφοιτο ἄν τιc κινδυνεύοντοc cκάφουc ὑπὲρ τὸ δέον κινούμενον (= T). καὶ ἄλλωc· ῥητέον ὅτι εἴωθεν ἀεὶ ἡ τῆc τιμῆc προcθήκη μὴ μόνον τοὺc νέουc, ἀλλὰ καὶ τοὺc γέρονταc μεταπείθειν πρὸc τὸ καὶ παρὰ δύναμιν ἐγχειρεῖν τι ποιεῖν, μᾶλλον δὲ τὸν Νέcτορα ἐν τῶι δημηγορεῖν διαφέροντα τῶν λοιπῶν καὶ εἰδότα μὴ ἀπαρεcκομένουc τοὺc Ἕλληναc πρὸc τὰ λεγόμενα. QUIG*

A 248/Z$^{s}$ λιγύc: ἡδὺc ἐν τῶι λέγειν, ἢ ὀξύc. ZYQ

ἢ om YQ ||

A 248/Z$^{s}$ Πυλίων: τῶν τὴν Πύλον κατοικούντων· ἔcτι δὲ ὄνομα ἔθνουc. ZYQ

A 248/Z$^{s}$ ἀγορητής: δημηγόροc. ZYQ

A 249/Z$^{s}$ τοῦ καὶ ἀπὸ γλώccηc: ἡ γλῶccα τρία cημαίνει, αὐτό τε τὸ cῶμα (γ 332) καὶ τὴν διάλεκτον (B 804𝔇) καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. ZYQAI

A 249/Z$^{s}$ γλυκίων: ἡδίων, ZYQ | γλυκυτέρα. ZQ

γλυκυτέραc Z, γλυκεῖα Q ||

A 249/Z$^{s}$ ῥέεν: ἔρρει, ἐφέρετο· διὰ δὲ τοῦ εἰπεῖν 'ῥέεν' ἐμφαίνει τὸ ῥητορικὸν τοῦ Νέcτοροc. ZYQIG. T$^{r}$ τροπικὴ ἡ λέξιc, ἐκ μεταφορᾶc τοῦ ὕδατοc.

A 249/Z$^{s}$ αὐδή: φωνή. ZYQ

A 250/Z$^{s}$ μερόπων ἀνθρώπων: μεμεριcμένην τὴν φωνὴν ἐχόντων, ὡc πρὸc cύγκριcιν τῶν ἄλλων ζώιων, ὅ ἐcτι μεριζομένην εἰc cυλλαβὰc καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα, τουτέcτιν τὴν φωνήν. ZYQA(T$^{r}$)I, ~ G, B 285𝔇, ApS 111,22, Epim. μ 18

250/Z$^{s}$+U$^{s}$ τῶι δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο: ἐφθαρμένοι ἦcαν. ZYQI | Ἡρακλέουc γὰρ ἐν Πύλωι cτρατεύcαντοc καὶ ἀποκτείναντοc τοὺc πρεcβυτέρουc, ἰδίαν ὄνταc γενεάν, καὶ τοὺc τῆc μέcηc ἡλικίαc, ἄλλην ὄνταc γενεάν, ἧc καὶ ὁ Νέcτωρ, μόνοc περιcωθεὶc τῆc τρίτηc γενεᾶc ἐβαcίλευεν, τῆc περὶ τοὺc παῖδαc· ¦ ἰcτέον δὲ ὅτι οἱ παλαιοὶ τὰc γενεὰc ἐψήφιζον ἕωc ἐτῶν λ̅. ZYQUIG, cf Porph. p. 67, 8 Sodano | γίνωcκε, ὦ ἀκροατά, ὅτι ἡ πρώτη γενεὰ ἄχρι τριάκοντα χρόνων cυνίcταται. καὶ πάλιν ἄρχεται ἡ δευτέρα γενεὰ ἄχρι τοῦ ὁμοίου ὁριcμοῦ, καὶ οὕτωc ἡ τρίτη. τοῦτον δὲ τὸν Νέcτορα λέγουcι τινὲc ὅτι ἑξηκοντούτηc ἦν ὅτε ἐβαcίλευcεν. ἕτεροι δὲ λέγουcιν ὅτι τρὶc ἐβαcίλευcεν. UI

2 γὰρ om YQU || 3 πρεcβύταc ZU ||

↑ A 251/A$^{ti}$ ⌞ἐφθίαθ'⌟ ἐφθάρηcαν. ε 110𝔇 ἀπέφθιθεν

A 251/Z$^{s}$ οἵ οἱ πρόcθεν ἅμα τράφεν ἠδ' ἐγένοντο: ἀντὶ τοῦ οἳ πρὸ τούτου ἐγένοντο καὶ οἱ ἅμα αὐτῶι τραφέντεc. ZYQA$^{ti}$

1 ἀντὶ τοῦ ZYA$^{t}$ : τουτέcτιν Q || οἳ : οἱ ZQ, οἵτινεc YA$^{t}$ ||

A 251/Y$^{s}$ ἠδ' ἐγένοντο: καὶ ἐγένοντο. YQ

A 252/Z$^{s}$ ἠγαθέηι: πάνυ θείαι. ZYQA$^{ti}$

A 253/Z$^{s}$ ὅ cφιν: ὃc ἐν αὐτοῖc. ZYQ

ὃc : ὅcτιc Y ||

A 253/Z$^s$ εὖ φρονέων: καλῶϲ φρονῶν. ZYQ

A 253/Z$^s$ ἀγορήϲατο: ἐδημηγόρηϲεν. ZYQ

A 254/Z$^s$ ὢ πόποι: φεῦ, παπαί (= T$^r$)· ἔϲτι δὲ ἐπίρρημα ϲχετλιαϲτικόν, ὅ ἐϲτι λύπηϲ δηλωτικόν. ZYQ~IG*. A$^{ti}$ φεῦ φεῦ.

A 254/Z$^s$+Y$^s$ ἦ μέγα πένθοϲ: ὄντωϲ YQA$^{ti}$ | μεγάλη λύπη. ZYQA$^{ti}$

A 254/Z$^s$ Ἀχαιΐδα γαῖαν: τὴν Ἑλληνικὴν γῆν, τοὺϲ Ἕλληναϲ. ἔϲτι δὲ ¦ μετωνυμία (=A$^{ti}$) ὁ τρόποϲ. ZYQ

A 254/Z$^s$ ἱκάνει: καταλαμβάνει. Z = Γ 97𝔇

A 255/Z$^s$ ἦ κεν γηθήϲαι: ὄντωϲ ἂν χαρείη. ZYQA$^{ti}$

A 255/Z$^s$ Πριάμοιό τε παῖδεϲ: καὶ οἱ Πριάμου παῖδεϲ. ZYQ

A 256/Z$^s$ ἄλλοι τε Τρῶεϲ: ἅμα τοῖϲ λοιποῖϲ Τρωϲίν. ZYQ

sine lemmate coniunxerunt cum 255 YQ ||

A 256/Z$^s$ μέγα κεν: μεγάλωϲ ἄν. ZYQ

A 256/Z$^s$ κεχαροίατο: χαρεῖεν. ZYQA$^{ti}$

A 257/Z$^s$ εἰ ϲφῶϊν: εἰ ὑμῶν. ZYQA$^{ti}$

A 257/Z$^s$ τάδε πάντα: ταῦτα πάντα. ZYQ

A 257/Z$^s$ πυθοίατο: μάθοιεν. ZYQA$^{ti}$

A 257/Z$^s$ μαρναμένοιϊν: μαχομένων. ZYQA$^{ti}$

A 258/Z$^s$ οἳ περὶ μὲν βουλῆι Δαναῶν καὶ τὰ ἑξῆϲ: ἀντὶ τοῦ οἵτινεϲ διαφέρετε τῶν Ἑλλήνων καὶ ἐν τῶι βουλεύεϲθαι καὶ ἐν τῶι πολεμεῖν. ZYQU$^m$A$^{ti}$

περι Z$^λ$ || 1 διαφέρεται Z, διαφέρετε ⟨περὶ⟩ Y ||

A 258/Z$^s$ πέρι: περιϲϲῶϲ καὶ ὑπερβαλλόντωϲ ἐϲτὲ καὶ ὑπερέχετε. ZYQ~G

A 259/Z$^s$ ἀλλὰ πίθεϲθε: ἀλλὰ πείϲθητε. ZYQ

ἀλλὰ om Z$^λ$ ||

A 259/Z$^s$ ἄμφω δέ: ἀμφότεροι δέ. ZYQ

A 259/Z$^s$ νεωτέρω: νεώτεροι δυϊκῶϲ. ZYQI~G

A 259/Z$^s$ ἐϲτόν: ἐϲτέ, ¦ ὑπάρχετε (=A$^{ti}$). ZYQ

A 259/Z$^s$ ἐμεῖο: ἐμοῦ. ZYQ

A 260/Z$^s$ ἀρείοϲιν: βελτίοϲιν (=I), κρείϲϲοϲιν. ZYQA$^{ti}$

κρείττοϲιν YQ ||

A 260/Z$^s$ ἠέ περ ὑμῖν: ἢ ὑμῖν. ZYQI

A 261/Z$^s$ ὡμίληϲα: ϲυνανεϲτράφην. ZYQA$^{ti}$I

A 261/Z$^s$ καὶ οὔ ποτέ μοι (= A 106𝔇, μ' οἱ Hom.): καὶ οὐδέποτέ μοι. ZYQ

A 261/Z$^s$ ἀθέριζον: ἠπείθουν, ἀπεδοκίμαζον. ZYQI

A 262/Z$^s$ οὐ γάρ πω: οὐδέποτε γάρ. ZYQ

A 262/Z$^s$ τοίουϲ: τοιούτουϲ. ZYQ

A 262/Z$^s$ ἴδον: ἐθεαϲάμην. ZYQ

A 262/Z$^s$ ἀνέραϲ: ἄνδραϲ. ZYQ

A 262/Z$^s$ οὐδὲ ἴδωμαι: οὐδὲ ἰδεῖν δυνήϲομαι. ZYQ

οὔτε Z$^λ$ || 1 οὐδὲ Q : οὔτε ZY ||

A 263/Z$^s$ οἷον: ὁποῖον. ZYQA$^{ti}$

A 263/Z$^s$ Πειρίθοον: Πειρίθουν· ἔϲτιν δὲ ὄνομα κύριον. Πειρίθουϲ ὁ Ἰξίονοϲ γένει μὲν ἦν Ἀθηναῖοϲ, ᾠκείωτο δὲ τοῖϲ Κενταύροιϲ. πρὸϲ γάμον δὲ ἀγόμενοϲ Ἱπποδάμειαν τὴν Βούτα, τοὺϲ Κενταύρουϲ ϲυνεκάλεϲεν εἰϲ εὐωχίαν, οἵτινεϲ οἰνωθέντεϲ ἐπεχείρουν ὑβρίζειν ὅϲαι τῶν Ἑλληνίδων παρῆϲαν γυναικῶν. ὅθεν οἱ Λαπίθαι ϲυϲτάδην μαχεϲάμενοι διώκουϲιν αὐτοὺϲ εἰϲ Μαλέαν ὄροϲ τῆϲ Πελοποννήϲου. ⟨***⟩ ἣν δέ τινι ἀναϲτρεφομένην μεταβαλόντι τὴν φύϲιν εἰϲ ἵππον Διὶ ἐμίγη καὶ τὸν προειρημένον ἐγέννηϲεν Πειρίθουν, ὃϲ ὠνομάϲθη ἀπὸ τοῦ περιθεῖν ἵππωι ὁμοιωθέντα τὸν Δία ἐν τῶι μίγνυϲθαι τῆι μητρὶ αὐτοῦ. ZYQAUI, (𝔓Oxy 418)

cf φ 295𝔇 303𝔇, Diod. 4, 70

2 οἰκειῶτο ZA || 3 ἱπποβότειαν A || 4 ὅcοι A || 4 οθεν ηρακληc αυτουc διε[φθειρεν. ην δε] πειριθουc παιc διοc· δια [.....] διατριβουcα δῑι μεταβαλον[τι ... 𝔓 || 6 *** omissum initium narrationis de Dia matre Pirithoi (cf Pher. FGrHist 3,51b al.) || ἣν δέ τινι ἀναcτρεφομένην om Y || 6 - 7 ἣν ... ὠνομάcθη : ὁ δὲ πειρίθουc ὠνομάcθη οὕτω ἀπὸ QU || 6-7 διὶ ἐμίγη Y, et Wilam. Hom. Unt. 221,15 : διεμείγη Z, διεμίγη A ||

A 263/$Z^s$ Δρύαντά τε: καὶ τὸν Δρύαντα. ZYQ

A 263/$Z^s$ ποιμένα λαῶν: βαcιλέα ὄχλων. ZYQ | ἔcτι δὲ καὶ ὁ Δρύαc ὄνομα κύριον. ZY

A 264/$Z^s$ Καινέα τε: καὶ τὸν Καινέα. ZYQ | ὁ δὲ Καινεὺc Ἐλάτου μὲν {ἦν} παῖc, Λαπιθῶν δὲ βαcιλεύc, πρότερον ⟨ἦν⟩ παρθένοc εὐπρεπήc. μιγέντοc δὲ αὐτῆι Ποcειδῶνοc αἰτηcαμένη μεταβαλεῖν εἰc ἄνδρα ἡ νεᾶνιc, ἄτρωτοc γίνεται γενναιότατοc τῶν καθ' αὐτὸν ὑπάρξαc. καὶ δήποτε πήξαc ἀκόντιον ἐν τῶι μεcαιτάτωι τῆc ἀγορᾶc, θεὸν τοῦτο προcέταξεν ἀριθμεῖν· δι' ἣν αἰτίαν ἀγανακτήcαc ὁ Ζεὺc τιμωρίαν τῆc ἀcεβείαc παρ' αὐτοῦ εἰcεπράξατο. μαχόμενον γὰρ αὐτὸν τοῖc Κενταύροιc καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίηcεν· βάλλοντεc γὰρ αὐτὸν οἱ προειρημένοι δρυcίν τε καὶ ἐλάταιc ἤρειcαν εἰc γῆν. μέμνηται δὲ αὐτοῦ καὶ Ἀπολλώνιοc ἐν τοῖc Ἀργοναυτικοῖc λέγων οὕτωc· 'Καινέα γὰρ δὴ πρόcθεν ἔτι κλείουcιν ἀοιδοὶ / Κενταύροιcιν ὀλέcθαι, ὅτε cφέαc οἶοc ἀπ' ἄλλων / ἤλαc' ἀριcτεύων· οἱ δ' ἔμπαλιν ὁρμηθέντεc / οὔτε μιν ἀγκλῖναι προτέρω cθένον οὔτε δαΐξαι, / ἀλλ' ἄρρηκτοc ἄκαμπτοc ἐδύcατο νειόθι γαίηc / θεινόμενοc cτιβάρηιcι καταΐγδην ἐλάτηιcιν' (ApR 1, 59-64). ZYQAU*I (𝔓Oxy 418, cf 𝔓Oxy 1611-Acusilaus: FGrHist 2F22 = Fowler)

1-2 ἦν transp. L || 2 λαπιθῶν ZA : λαπίθων YQ (= M $144^T$ $175^T$, φ 295/$M^s$) || 3 ἡ νεᾶνιc : νεανίαc 𝔓 || 4 ὑπῆρξεν Y || 5 θεὸν ZA : θεοῖc YQU || ὁ om Z || 7 βαλόντεc YQAU || 8 γῆν finem historiae perhibet 𝔓 || 10 ἀριcτηῶν Z, ἀριcτήων AU || 11 πρότερον A ||

A 264/$Z^s$ Ἐξάδιόν τε: καὶ τὸν Ἐξάδιον. ZYQ

A 264/$Z^s$ καὶ ἀντίθεον: καὶ τὸν ἰcόθεον ZYQ$A^{ti}$ | Πολύφημον. Z

↑ A 264/$Y^s$ Πολύφημον: τὸν Πολύφημον. ἔcτι δὲ ὄνομα κύριον. Y

A 266/$Z^s$ κάρτιcτοι: ἰcχυρότατοι, γενναῖοι. ZYQ

A 266/$Z^s$ κεῖνοι: ἐκεῖνοι. ZYQ

A 266/$Z^s$ ἐπιχθονίων: ἐπιγείων. ZYQ

A 266/$Z^s$+$Y^s$ τράφεν: ἐτράφηcαν. 'ἔcαν' (267) δὲ ἦcαν, Z(YQ duo scholia) | ὑπῆρχον. YQ$A^{ti}$ = B 311𝔇

A 268/$Z^s$ φηρcίν: θηρcίν (=$A^{ti}$)· λέγει δὲ τοῖc Κενταύροιc. Ἰξίων ὁ Φλεγύου παῖc Δίαν τὴν Ἰονέωc γήμαc, ἐλθόντα τὸν κηδεcτὴν ἐπὶ τὰ ἕδνα δόλωι καταπρήcαc, μανεὶc καὶ ὑπὸ θεῶν καθαρθεὶc τὸν φόνον, Ἥραc ὕcτερον ἠράcθη. Ζεὺc δὲ βουλόμενοc αὐτὸν δοκιμάcαι εἰ τῶι ὄντι τολμᾶι ποιῆcαι τοῦτο, νεφέλην ἀπεικάcαc Ἥραι παρέκλινεν αὐτῶι· ὁ δὲ μιγεὶc τῆι νεφέληι ὡcανεὶ τῆι Ἥραι ἔcχε παῖδα Κένταυρον, ἀφ' οὗ τὸ τῶν Κενταύρων γένοc. μετὰ δὲ θάνατον ἔλαβεν δίκαc παρ' αὐτοῦ ὁ Ζεὺc, ποιήcαc αὐτὸν ἐν τοῖc καταχθονίοιc cτρέφεcθαι μετὰ πολλῆc βίαc ἐπὶ τροχοῦ cιδηροῦ. ZYQAU*IG, cf Ξ 317𝔇, sch. Pi. Py. 2,40a, sch. ApR 3,62

2 ἰονέωc Z : ἰωνέωc QAU, ἰνέωc Y, δηιονέωc L || 3 ἐμάνη Y || τοῦ φόνου Y || ἐράcθη Z || 4 εἰ τῶι ὄντι τολμᾶι ποιῆcαι τοῦτο om Y || 8 τροχοῦ cιδηροῦ : cιδήρου Z ||

A 268/$Z^s$ ὀρεcκῴοιcιν: τοῖc ἐν ὄρεcι διαιτωμένοιc. ZYQ$A^{ti}$I

A 268/$Z^s$ ἐκπάγλωc: ἐκπληκτικῶc, ὅ ἐcτιν κατὰ κράτοc αὐτοὺc ἐξεπολέμηcαν. ZYQI. $A^{ti}$ ἐξόχωc καὶ φοβερῶc ≃ A 146𝔇.

A 268/$Z^s$ ἀπόλεccαν: ἀπώλεcαν. Z

A 269/$Z^s$ καὶ μὲν τοῖcιν ἐγώ: καὶ τούτοιc μὲν ἐγὼ ¦ τοῖc περὶ τὸν Πειρίθουν (=$A^{ti}$). Z(πειρίθοον) YQ

A 269/$Z^s$ μεθομίλεον: cυνανεcτρεφόμην, ¦ cυνεμάχουν (=$A^{ti}$). ZYQ

A 270/$Z^s$ τηλόθεν: πόρρωθεν (=$A^{ti}$), μακρόθεν ὢν ἀπὸ τῆc Πύλου. ZYQ

A 270/$Z^s$ ἐξ ἀπίηc γαίηc: ἐκ τῆc ἀλλοδαπῆc καὶ μακρὰν ἀπεχούcηc γῆc. ZYQI

ἐξ om $Z^{\lambda}$ ||

A 270/Z$^{s}$ καλέcαντο: cυνεκάλεcαν. Z ≃ A 54𝔇

A 271/Z$^{s}$ καὶ μαχόμην: καὶ ἐπολέμουν. 'κατ' ἐμαυτὸν' δὲ ¦ κατὰ τὴν ἐμαυτοῦ δύναμιν (~T$^{r}$), Z(YQ duo scholia) | πρὸc ὃ ἠδυνάμην. Z

A 271/Z$^{s}$ κείνοιcι δ' ἂν οὔ τιc: πρὸc ἐκείνουc δὲ οὐδεὶc ἴcχυεν τῶν νῦν ὄντων ἀνθρώπων. ZYQ

1 οὐδὲν ἴcχυέ τιc Y(Q om τιc) ||

A 272/Z$^{s}$ τῶν: τούτων. ZYQ

A 272/Z$^{s}$ οἷοι: ὁποῖοι. ZYQ

A 272/Z$^{s}$ βροτοί: ἄνθρωποι, φθαρτοί. ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεcμάτων. ZYQ

A 272/Z$^{s}$ ἐπιχθόνιοι: ἐπίγειοι· χθὼν γὰρ ἡ γῆ. ZYQ

A 272/Z$^{s}$ μαχέοιντο (= A 344, μαχέοιτο Hom.): μάχοιντο. ZYQ

A 273/Z$^{s}$ καὶ μέν μευ: καὶ μὴν ἐμοῦ. ZYQA$^{ti}$

A 273/Z$^{s}$ βουλέων: cυμβουλιῶν. ZYQ

A 273/Z$^{s}$ ξύνιον: ἤκουον, ἐπείθοντο. ZYQA$^{ti}$

ξύνιεν / ξύνιον vv.ll. Hom. ||

A 274/Z$^{s}$ καὶ ὔμμεc: καὶ ὑμεῖc. ¦ Αἰολὶc (=A$^{ti}$, ~T$^{r}$) ἡ διάλεκτοc. ZYQ

A 274/Y$^{s}$ ἄμεινον: κρεῖττον. YQ

A 275/Z$^{s}$ ἀγαθόc περ ἐών: καίτοι βαcιλεὺc ὑπάρχων, ἢ ἀγαθὸc τῆι γνώμηι. ZYQA$^{ti}$ I

τὴν γνώμην YQ ||

A 275/Z$^{s}$ ἀποαίρεο: ἀφαιροῦ. ZYQ. A$^{ti}$ Ἰώνων.

A 275/Z$^{s}$ κούρην: κόρην· ἡ διάλεκτοc ¦ Ἰώνων (=A$^{ti}$). ZYQ

A 276/Z$^{s}$ ἔα: cυγχώρει. ZYQ

A 276/Z$^{s}$ ὥc οἱ πρῶτα: ὡc αὐτῶι ἐξ ἀρχῆc. ZYQA$^{ti}$

ὡc : ὥcπερ A$^{t}$ || ὡc αὐτῶι : ὡcαύτωc Z ||

A 276/Z$^{s}$ δόcαν: ἔδωκαν, παρέcχον. ZYQ

A 277/Z$^{s}$ θέλε: βούλου. ZYQA$^{ti}$

A 277/Z$^{s}$ ἐριζέμεναι: ἐρίζειν, φιλονεικεῖν, ἢ ἐξιcοῦcθαι. ZYQ

A 278/Z$^{s}$ ἀντιβίην: ἐξ ἐναντίαc. ZYQ

A 278/Z$^{s}$ ἔμμορε: ἔλαχε, ἔτυχε (=A$^{ti}$). 'ὁμοίηc' δὲ ¦ ἴcηc (=A$^{ti}$) καὶ τῆc αὐτῆc. ZYQ

1 ἔλαχεc ἔτυχεc Z || duo scholia YQ ||

A 279/Z$^{s}$+Q$^{s}$ cκηπτοῦχοc: cκηπτροφόροc ZYQ | βαcιλεύc. Z | πῶc τοῦτο ὁ Νέcτωρ εἴρηκεν; ἆρα δύναταί τιc βαcιλεῦcαι χωρὶc τῆc τοῦ θεοῦ βουλῆc; καὶ ῥητέον ὅτι καλῶc τοῦτο εἴρηκεν· οὐ γὰρ ἅπαντεc παρὰ τοῦ Διὸc ἔχουcι τὸ cκῆπτρον οὐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνοι οἱ ἀγαθοί. εὐλόγωc δὲ εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐcτιν, οὐ μέντοι καὶ πᾶc ἄρχων καταθύμιοc θεῶι, οὐδὲ ὁ βιαζόμενοc τὴν ἀρχὴν θελητὸc τῶι θεῶι ὡc παραχρώμενοc τῆι ἰδίαι ἐπιθυμίαι ἀπρεπῶc, τοῦ θείου παραχωροῦντοc αὐτῶι καὶ ἀφροντιcτοῦντοc τοῦ τοιούτου. QU*G* = Porph. 11, 12

A 279/Z$^{s}$ ὧι τε: ὧτινι. ZYQA$^{ti}$I

A 279/Z$^{s}$ κῦδοc: δόξαν. ZYQ

A 279/Z$^{s}$ ἔδωκεν: παρέcχε. ZYQ

A 280/Z$^{s}$ καρτερόc: ἰcχυρόc. ZYQI

A 280/Z$^{s}$ ἐccί: ὑπάρχειc. ZYQ

A 280/Z$^{s}$ θεὰ δέ cε: καὶ θεά cε· ὅτι Θέτιδοc ἦν τῆc Νηρέωc θυγατρόc· αὕτη δὲ ἀθάνατοc. ZYQU*I$^{m}$ (UI$^{m}$ subiungunt A 519𝔇 Ζεύc ἐραcθεὶc ...)

A 280/Z$^{s}$ γείνατο: ἐγέννηcεν. ZY

A 281/Z$^{s}$ ἀλλ' ὅ γε: ἀλλὰ οὗτοc. ZYQ

A 281/Z$^{s}$ φέρτεροc: κρείccων. ZYQI

A 281/Z$^{s}$ πλεόνεccι: πλείοcιν, ὅ ἐcτι πλειόνων. ZYQ. A$^{ti}$ ἀντὶ πλειόνων)

A 282/Z$^{s}$ τεὸν μένοc: τὴν cὴν ὀργήν. ZYQA$^{ti}$

A 282/Z$^{s}$ αὐτὰρ ἐγώ cε ˌλίccομ’: ἐγὼ δέ cε ZYQ | παρακαλῶ (= 283/Q). ZY
ἔγωγε YQ$^{\lambda}$ = Hom. ||

A 283/Y$^{s}$+Q$^{s}$ λίccομαι: λιτανεύω, YQ | παρακαλῶ. Q = 282𝔇

A 283/Z$^{s}$ μεθέμεν: μεθεῖναι, ¦ cυγχωρῆcαι (=A$^{ti}$). ZYQ

A 283/Z$^{s}$ χόλον: τὴν ὀργήν. ZYQ

A 283/Z$^{s}$ ὃc μέγα: ὅcτιc ¦ μεγάλωc (=A$^{ti}$). ZYQ

A 284/Z$^{s}$ ἕρκοc: περίφραγμα, τεῖχοc. ZYQA$^{ti}$

A 284/Z$^{s}$ πέλεται: γίνεται. ZYQA$^{ti}$

A 284/Z$^{s}$ πολέμοιο κακοῖο: τοῦ κακωτικοῦ πολέμου. ZYQ

A 285/Y$^{s}$ κρείων: ὁ μεγάλωc κρατῶν. YQ

A 286/Z$^{s}$ ναὶ δή: ὄντωc δή. Z ~ B 272𝔇 ἦ δή

A 286/Z$^{s}$ κατὰ μοῖραν: κατὰ προcῆκον (=A$^{ti}$, ~ U$^{i}$), κατὰ τρόπον. ZYQ
⟨τὸ⟩ προcῆκον YQA$^{t}$ || τρόπον Z : τὸ πρέπον YQ = Θ 141𝔇, variae lectiones ut K 169𝔇 T 186𝔇, cf Z 333𝔇 αἶcαν, Θ 12𝔇 κόcμον; B 214𝔓, ο 218𝔓 κατὰ κόcμον· κατὰ τρόπον ||

A 286/Z$^{s}$ ἔειπαc: εἶπαc, ἔλεξαc. ZYQ

A 287/Z$^{s}$ ἀλλ’ ὅ γε: ἀλλ’ οὗτοc. ZYQ

A 287/Z$^{s}$ ἐθέλει: βούλεται. ZYQ

A 287/Z$^{s}$ περὶ πάντων: ⌜ἀντὶ τοῦ Y⌝ ὑπὲρ πάνταc. ZYQ

A 287/Z$^{s}$ ἔμμεναι: εἶναι, τουτέcτιν ¦ πάντων θέλει ὑπερέχειν (=A$^{i}$). ZYQ

A 288/Z$^{s}$ κρατέειν: κρατεῖν, βαcιλεύειν. ZYQ

A 288/Z$^{s}$ πάντεccι: πάντων. ZYQ (cf 281𝔇)

A 289/Z$^{s}$ cημαίνειν: προcτάccειν. ZYQA$^{i}$T$^{r}$

A 289/Z$^{s}$ ἅ τιν’ οὐ πείcεcθαι: πρὸc ἃ οὐ πειcθήcεcθαι. ZYQ. T$^{r}$ εἰc .. πειcθῆναι.

A 289/Z$^{s}$ ὀΐω: οἴομαι, ὑπολαμβάνω. ZYQ

A 290/Z$^{s}$ εἰ δέ μιν: εἰ δὲ αὐτόν. ZYQ

A 290/Z$^{s}$ αἰχμητήν: πολεμικόν. ZYQA$^{i}$

A 290/Z$^{s}$ ἔθεcαν: ἐποίηcαν. ZYQA$^{i}$
θέcαν Y$^{\lambda}$ = A 433𝔇 ||

A 290/Z$^{s}$ αἰὲν ἐόντεc: διὰ παντὸc ὄντεc, ἀθάνατοι. ZYQ

A 291/Z$^{s}$ τοὔνεκά οἱ: τούτου χάριν αὐτῶι. ZYQ

A 291/Z$^{s}$+U$^{i}$ προθέουcιν: προτρέχουcιν, cυνιᾶcιν. Z(YQ cυνίαcιν) | προτρέπουcιν, κελεύουcιν. U$^{i}$

A 291/Z$^{s}$ ὀνείδεα: ὀνείδη, ὕβρειc. 'μυθήcαcθαι' δὲ εἰπεῖν. ὁ δὲ λόγοc· εἰ πολεμιcτήc ἐcτιν Ἀχιλλεὺc γνώμηι τῶν θεῶν, διὰ τοῦτο προπετήc ἐcτιν ἐπὶ τὸ ὀνειδίζειν καὶ κακῶc λέγειν ἡμᾶc τοὺc βαcιλεῖc. ZYQU*
1 duo scholia YQ || εἶπεν Z ||

A 292/Z$^{s}$ τὸν δ’ ἄρ: τοῦτον δὲ δή. ZYQ

A 292/Z$^{s}$ ὑποβλήδην: ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺc καὶ μεcολαβήcαc τὸν Ἀγαμέμνονοc πρὶν ἢ cιωπήcει αὐτὸc εἰπών. ZYQ(U$^{m}$)J$^{m}$I
2 ἀγαμέμνονα J || cιωπῆ[cαι] αὐτὸν J ||

A 292/Z$^{s}$ ἠμείβετο: ἐξ ἀμοιβῆc ἀπεκρίνατο. ZYQ

A 293/Z$^{s}$ ἦ γάρ κεν: ὄντωc γὰρ ἄν. ZYQ

A 293/Z$^{s}$ δειλόc: ἀcθενήc. ZYQA$^{ti}$I

A 293/Z$^{s}$ οὐτιδανόc: οὐδενὸc λόγου ἄξιοc. ZYQA$^{ti}$

A 293/Z$^{s}$ καλεοίμην: κληθείην. ZYQ

A 294/Z$^{s}$ εἰ δή cοι: ἐὰν δή cοι. ZYQ

A 294/Z$^{s}$ πᾶν ἔργον: εἰc πᾶν ¦ πρᾶγμα (=A$^{ti}$). ZYQ

A 294/$Z^s$ ὑπείξομαι: ὑποχωρήσω, ZYQ$A^{ti}$ | ὑπείξω, Z | ὑποταγῶ. Y
ὑποείξομαι $Y^{\lambda}$ = Ψ 602 ||

A 294/$Z^s$ ὅττι κεν: ὅπερ ἄν. ZYQ

A 295/$Z^s$ ἐπιτέλλεο: ἐντέλλου, ¦ πρόστασσε (=$A^{ti}$). ZYQ
ἐπιτέλλου YQ ||

A 295/$Z^s$ μὴ γὰρ ἔμοιγε: ἐμοὶ γὰρ μή. ZYQ
μηδαμῶς γὰρ ἐμοί Y ||

A 296/$Z^s$ σήμαινε: πρόστασσε. ZYQ$A^{ti}$ | ἐγὼ γὰρ οὐ νομίζω πεισθῆναί σοι. ZQ$A^{ti}$

A 297/$Z^s$ ἄλλο δέ τοι: ἄλλο δέ σοι. ZYQ

A 297/$Z^s$ ἐρέω: ἐρῶ, λέξω. ZYQ

A 297/$Z^s$ βάλλεο: ἐμβάλλου, ἐνθοῦ, ZYQ | κατὰ τὸν νοῦν ἔχε (= B 33𝔇). Z

A 297/$Z^s$ σῇσι: σαῖς. ZYQ

A 298/$Z^s$ μαχήσομαι: μαχοῦμαι. ZYQ
μαχέσομαι $Z^{\lambda}$ = I 32/$Z^{\lambda}$ ||

A 299/$Z^s$+$Q^s$ οὔτέ τωι: οὔτέ τινι ἄλλωι ἕνεκα τῆς κόρης. ZYQ | τὸ τῶι σημαίνει ε'· ὄνομα, ἄρθρον, ἀντωνυμία, σύνδεσμος αἰτιολογικός, ῥῆμα. ὄνομα μὲν οὕτως 'οὔτε σοὶ οὔτέ τωι ἄλλωι'· ἔστι γάρ τινι. ῥῆμα δὲ 'Κύκλωψ τῆ πίε οἶνον' (ι 347)· ἔστι γὰρ τὸ τῆ ἀντὶ τοῦ ¦ λάβε (= Ξ 219𝔇). ἄρθρον δὲ οὕτως 'ἤτοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικε τῶι Ἀσκληπιάδηι' (Λ 613). ἀντωνυμία δὲ ὡς ἐν τῶι 'τῶι μιν ἐεισάμενος' (B 22). σύνδεσμος αἰτιολογικὸς οὕτως 'τῶ σε καὶ οὐ δύναμαι' (ν 331)· QAUG ~ EtG = EtM 773, 29 | ἔστι γὰρ διό. ὅταν μέντοι ἄρθρον σημαίνει ἑνικόν, μόνης δοτικῆς ἐστι πτώσεως καὶ περισπᾶται, δυϊκὸν δὲ εὐθείας καὶ αἰτιατικῆς καὶ βαρύνεται· τὼ Αἴαντε. QUIG, ~ EtM 773, 27

A 299/$Z^s$ ἐπεί μ' ἀφέλεσθε: ἐπειδὴ δεδωκότες μοι αὐτὴν ἀφείλασθε ¦ καὶ ὑβρίσατε ἑαυτούς· οὐ γὰρ ἐμέ (= $A^{td}$). ZYQ$J^m$

A 300/$Z^s$ τῶν δ' ἄλλων: τῶν δὲ λοιπῶν. ZYQ

A 300/$Z^s$ ἅ μοί ἐστιν: ἅτινα μοι ὑπάρχει. ZYQ

A 300/$Z^s$ θοῆι παρὰ νηΐ: παρὰ τῆι ταχείαι νηΐ. 'μελαίνηι' δὲ βαθείαι, ἢ τῆι πίσσηι κεχρισμένηι. ZYQ. $A^{ti}$ βαθείαι, ἢ διὰ τὴν πίσσαν.
lemma 'μελαίνηιδὲ' Z, duo scholia Y || 1-2 ἢ ... κεχρισμένη Z ||

A 301/$Z^s$ τῶν: τούτων. ZQ

A 301/$Z^s$ οὐκ ἄν τι: οὐδαμῶς ἄν τι. ZYQ

A 301/$Z^s$ φέροις: κομίζοις, ¦ λάβοις (=$A^{ti}$). ZYQ

A 301/$Z^s$ ἑλών: λαβών, ἢ ἀφελόμενος. ZYQ

A 301/$Z^s$ ἀέκοντος: ἄκοντος καὶ μὴ βουλομένου. ZYQI

A 301/$Z^s$ ἐμεῖο: ἐμοῦ. ZYQ

A 302/$Z^s$ εἰ δ' ἄγε: εἴ γε μὴν βούληι. ZYQ$A^{ti}$

A 302/$Z^s$ πείρησαι: πειράθητι. ZYQI
πειρήθητι Y ||

A 302/$Z^s$ ἵνα γνώωσι καὶ οἵδε: ὅπως μάθωσι καὶ οὗτοι. ZYQ

A 303/$Z^s$ αἶψα τοι: ταχέως σοι. ZYQ$A^{ti}$I, ~ ApS 17,21

A 303/$Z^s$ κελαινόν: μέλαν. ZYQ$A^{ti}$I

A 303/$Z^s$ ἐρωήσει περὶ δουρί: περιρρυήσεται (=$A^{ti}$) τῶι δόρατι. ZYQI

A 304/$Z^s$ ὣς τώ γε: οὕτως οὗτοι. ZYQI

A 304/$Z^s$ ἀντιβίοισιν: ἐναντίοις, ὅ ἐστιν στασιαστικοῖς, λοιδόροις. ZYQ

A 304/$Z^s$ μαχεσσαμένω: μαχεσσάμενοι δυϊκῶς. ZYQ
μαχησάμενοι Y, μαχεσάμενοι Q ||

A 304/$Y^s$ ἐπέεσσι: λόγοις. YQ

A 305/$Z^s$ ἀνστήτην: ἀνέστησαν. ZYQI$T^r$

A 305/Z$^{s}$ λῦϲαν: ἔλυϲαν δέ. ZYQ

A 305/Z$^{s}$ ἀγορήν: ἐκκληϲίαν, ϲυνέδριον. ZYQ

A 306/Z$^{s}$ ἐπί τε κλιϲίαϲ (= A 328, ἐπὶ κλιϲίαϲ Hom. =YQ$^{\lambda}$) ἐπί τε τὰϲ ϲκηνάϲ. ZYQA$^{ti}$

A 306/Z$^{s}$ ἐΐϲαϲ: ἰϲοτοίχουϲ. ZYQ

A 307/Z$^{s}$ ἤϊε: παρεγίνετο, ἐπορεύετο. ZYQ

παρεγένετο Q ||

A 307/Z$^{s}$ ϲύν τε Μενοιτιάδηι ⸤καὶ οἷϲ ἑτάροιϲι: ϲύν τε τῶι Μενοιτίου παιδὶ Πατρόκλωι καὶ τοῖϲ Μυρμιδόϲι· ¦ κεχώρικε δὲ τῶν λοιπῶν Ἀχιλλέωϲ ἑταίρων τὸν Πάτροκλον κατ᾽ ἐξοχήν. ZYQIG. A$^{ti}$ τῶι Πατρόκλωι.

1 παιδὶ Z : υἱῶι Q, om Y || 2 Ἀχιλλέωϲ om YQ ||

A 307/Y$^{s}$ ἑτάροιϲιν: τοῖϲ φίλοιϲ. YQ (post 315) ≃ A 349𝔇

A 308/Z$^{s}$ ἄρα: δή. ZYQ

A 308/Z$^{s}$ νῆα: ναῦν, πλοῖον. ZYQ | 'θοὴν' δὲ ταχεῖαν (~ A 300𝔇). Z

lemma 'θοὴν δὲ' Z ||

A 308/Z$^{s}$ ἅλα δέ: εἰϲ τὴν θάλαϲϲαν. ZYQI

A 308/Z$^{s}$ προέρυϲϲεν: καθείλκυϲεν. ZYQA$^{ti}$

A 309/Z$^{s}$ ἐϲ δ᾽ ἐρέταϲ: εἰϲ αὐτὴν δὲ καὶ ¦ κωπηλάταϲ (=A$^{ti}$) ἐγκατηρίθμηϲεν. ZYQ

↓ μετηρίθμηϲεν Y, κατηρίθμηϲεν Q ||

A 309/Z$^{s}$ ἔκρινεν: κατηρίθμηϲεν A$^{ti}$T$^{r}$ | ἐπελέξατο. ZYQA$^{ti}$T$^{r}$

A 309/Z$^{s}$ ἐείκοϲιν: εἴκοϲι. ZYQ

A 309/Z$^{s}$ ἐϲ δέ: εἰϲ αὐτὴν δέ. ZYQ

A 310/Z$^{s}$ βῆϲε: ἐνεβίβαϲεν (= T$^{r}$), ἐνέθηκεν. ZYQ

A 310/Z$^{s}$ ἀνὰ δὲ Χρυϲηΐδα καλλιπάρηιον: ἀνάγων δὲ καὶ τὴν εὐπρόϲωπον Χρυϲηΐδα εἰϲ τὴν ναῦν ἐκάθιϲεν. ZYQI

ἀναγαγὼν YQI ||

A 310/Z$^{s}$ καλλιπάρηον: καλὰϲ παρειὰϲ ἔχουϲαν· ἀπὸ μέρουϲ καλήν. Z (= A 143𝔇)

A 311/Z$^{s}$ εἷϲεν ἄγων: ἐκάθιϲεν (=A$^{ti}$T$^{r}$) ἄγων τῶι πατρί. ZYQ. A$^{ti}$ λείπει τῶι πατρί.

A 311/Z$^{s}$ ἐν δ᾽ ἔβη: ἐνέβη δέ. ZYQ

A 311/Z$^{s}$ ἀρχόϲ: ἡγεμών, ναύαρχοϲ. ZYQ

A 311/Z$^{s}$ πολύμητιϲ: πολύβουλοϲ, ϲυνετόϲ. ZYQ

A 312/Z$^{s}$ οἱ μέν: οὗτοι μέν. ZYQI

A 312/Z$^{s}$ ἔπειτα: μετὰ ταῦτα. Z = A 35𝔇

A 312/Z$^{s}$ ἀναβάντεϲ: ἀνελθόντεϲ. ZYQ

A 312/Z$^{s}$ ἐπέπλεον: ἔπλεον. ZYQ

A 312/Z$^{s}$ ὑγρὰ κέλευθα: τὴν διὰ θαλάϲϲηϲ ὁδόν. ZYQA$^{ti}$I

A 312/J$^{m}$ ⸤κέλευθα⸥ κατὰ μεταπλαϲμὸν γένουϲ ἀντὶ τοῦ θηλυκοῦ τὰ οὐδέτερα εἶπεν. J$^{m}$ (post 314$^{m}$) ~ EtG

A 313/Z$^{s}$ ἀπολυμαίνεϲθαι: ἀποκαθαίρεϲθαι. ZYQI

A 313/Z$^{s}$ ἄνωγεν: ἐκέλευεν. ZYQI

A 314/Z$^{s}$ οἱ δέ: οὗτοι δέ. ZYQ

αὐτοὶ δέ YQ ||

A 314/Z$^{s}$ ἀπελυμαίνοντο: ἀπεκαθαίροντο. ZYQA$^{ti}$I

A 314/Z$^{s}$ καὶ εἰϲ ἅλα λύματ᾽ ἔβαλλον: καὶ εἰϲ τὴν θάλαϲϲαν τὰ καθάρϲια ἔβαλλον (~I$^{s}$)· ¦ φύϲει δὲ τὸ ὕδωρ τῆϲ θαλάϲϲηϲ καθάρϲιόν ἐϲτιν (= J$^{m}$IG). ZYQ(A+A$^{ts}$)

1 ἔβαλον$^{\lambda}$ ... ἔβαλον Z || ἐνέβαλλον Y || 2 δὲ : γὰρ A$^{t}$ || καθαρτικόν A$^{t}$ ||

A 315/Z$^{s}$ ἔρδον: ἐπετέλουν, ¦ ἔθυον (=A$^{ti}$). ZYQI

A 315/Z$^{s}$ τεληέϲϲαϲ: τελείαϲ. ZYQ

A 316/Z$^{s}$ παρὰ θῖνα: παρὰ τὸν αἰγιαλὸν τῆϲ θαλάϲϲηϲ. ZYQ

A 316/Z$^{s}$ ἀτρυγέτοιο: ἀκαταπονήτου, πολλῆς, ἤ, ὡς ἔνιοι φασίν, τῆς ἀκάρπου. ZYQA$^{ti}$ ~T$^{r}$

⟨τῆς⟩ ἀκαταπονήτου ⟨τῆς⟩ πολλῆς A$^{t}$ || φηςὶν Z || ὡς ἔνιοι φασίν om A$^{t}$ ||

A 317/Z$^{s}$ κνίςηι δέ: ἡ δὲ κνίςα, ὅ ἐςτιν ἡ ἀναθυμίαςις. δοκεῖ δὲ ἡ λέξις τέςςαρα ςημαίνειν, ὡς καὶ τῶι Πορφυρίωι (1,253,13) δοκεῖ· αὐτό τε | τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίαςιν (=T$^{r}$). ZYQAUI Epim. ~G

A 317/Z$^{s}$ ἧκεν: παρεγένετο, ZQA$^{ti}$ | ἀνεφέρετο (~ κ 192𝔇 ἀννεῖται). Z

εἶκεν Z$^{\lambda}$, ἷκεν v.l. Hom. ||

A 317/Z$^{s}$ ἑλιςςομένη: περιειλουμένη τῶι καπνῶι. ZYQ

παρειλουμένη YQ ||

A 318/Z$^{s}$ ὣς οἳ μέν: οὕτως μὲν οὗτοι. ZYQ

A 318/Z$^{s}$ τά: ταῦτα. ZYQA$^{ti}$

A 318/Z$^{s}$ πένοντο: ἐνήργουν, ¦ ἔπραττον (=A$^{ti}$I$^{s}$). ZYQ

A 318/Z$^{s}$ κατὰ ςτρατόν: κατὰ τὸ ςτρατόπεδον. ZYQ

A 319/Z$^{s}$ λῆγε: ἐπαύετο. ZYQ

παύου Z = A 210𝔇 ||

A 319/Z$^{s}$ ἔριδος: φιλονεικίας. ZYQ

A 319/Z$^{s}$+Y$^{s}$ τὴν πρῶτον: ἥντινα τὸ πρῶτον. ZYQ | λείπει ἡ κατ͞α. YQ

A 319/Z$^{s}$ ἐπηπείλης' Ἀχιλλῆϊ (Ἀχιλῆϊ Hom. = Q$^{\lambda}$): τῶι Ἀχιλλεῖ ἠπείληςε. ZYQ

Ἀχιλλῆϊ = B 241/𝔇 ||

A 320/Z$^{s}$ Ταλθύβιος καὶ Εὐρυβάτης: ὀνόματα κύρια τῶν κηρύκων. ZYQ

A 321/Z$^{s}$ τώ οἱ ἔςαν: οἵτινες αὐτῶι ἦςαν. ZYQ

ἦςαν : ὑπῆρχον Y ||

A 321/Z$^{s}$+Y$^{s}$ ὀτρηρώ: ὀτρηροί, ςπουδαῖοι, ZYQA$^{ti}$I | παρὰ τὸ ὀρῶ τὸ ὁρμῶ. YQI

ὀτρηροί· δραςτικοί A$^{t}$ = α 109𝔇 || τὸ ὀρῶ om Q, cf Philox. fr. *569 ||

A 321/Z$^{s}$ θεράποντε: ὑπηρέται. ZYQI

A 322/Z$^{s}$ ἔρχεςθον: ἀπέρχεςθε δυϊκῶς (~I$^{s}$). 'κλιςίην' δὲ εἰς τὴν ςκηνήν. ZYQ

duo scholia YQ, lemma κλιςίην δὲ Z ||

A 323/Z$^{s}$ ἑλόντε: λαβόντες. ZYQ

A 323/Z$^{s}$ ἀγέμεν: ἄγειν. ZYQA$^{ti}$

A 324/Z$^{s}$ εἰ δέ κε: ἐὰν δέ. ZYQ

A 324/Z$^{s}$+Y$^{s}$ μὴ δώηιςι: μὴ παράςχηι. ZYQ | δύο ἐπεκτάςεις δεῖ λαμβάνειν YQI, ~T$^{s}$A$^{s}$, ~ A 129/Q$^{s}$.

A 324/Z$^{s}$ ἐγὼ δέ κεν: ἐγὼ δὲ ἄν. Z = A 137𝔇

A 324/Z$^{s}$+Q$^{s}$+Y$^{s}$ ἕλωμαι: ἀφέλωμαι, ZYQ | λάβω· Q | ἀντὶ τοῦ ἑλοῦμαι ἢ ἑλοίμην. Y

ἀφείλωμαι Z ||

A 325/Z$^{s}$ ἐλθὼν ςὺν πλεόνεςςι: ςὺν πλείοςιν· τὸ δὲ 'ςὺν πλεόνεςςιν' οὐ τῶι 'ἐλθὼν' ςυντακτέον, ἀλλὰ τῶι 'ἕλωμαι' (324), ἵν' ἦι μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήςομαι. ZYQI

A 325/Z$^{s}$ τό οἱ: ὅπερ αὐτῶι. ZYQA$^{ti}$

A 325/Z$^{s}$ ῥίγιον: φρικωδέςτατον, ¦ χαλεπόν (=A$^{ti}$). ZYQ

A 325/Z$^{s}$ ἔςται: γενήςεται. ZYQA$^{ti}$

A 326/Z$^{s}$ προΐει: προέπεμπεν. ZYQA$^{ti}$ = Γ 118𝔇

προέπεμψεν Y = Γ 118/Y$^{s}$, Epim. ι 52 ||

A 326/Z$^{s}$ κρατερόν: ἰςχυρόν, γενναῖον. ZYQ

A 326/Z$^{s}$ ἔτελλεν: ἐπέτελλεν, ἔλεγεν. ZYQ. T$^{r}$ προςέταξεν ἐκείνοις.

A 327/Z$^{s}$ τὼ δέ: οὗτοι δὲ δυϊκῶς. ZYQ

A 327/Z$^{s}$ ἀέκοντε: ἄκοντες καὶ μὴ βουλόμενοι. ZYQ

A 327/$Z^{s}$ βάτην: ἔβηcαν, ¦ ἐπορεύθηcαν (=$A^{ti}$). ZYQ

A 328/$Z^{s}$ ἱκέcθην: ἀφίκοντο, ¦ παρεγένοντο (=$A^{ti}$). ZYQ

A 329/$Z^{s}$ εὗρον: κατέλαβον. ZYQ

A 329/$Z^{s}$ παρά τε⌋ κλιcίηι: παρὰ τῆι cκηνῆι. ZYQI

A 330/$Z^{s}$ ἥμενον: καθεζόμενον. ZYQ$A^{ti}$

A 330/$Z^{s}$ οὐδ' ἄρα τώ γε: οὐδὲ τούτουc. ZYQ

A 330/$Z^{s}$ ἰδών: θεαcάμενοc. ZYQ

A 330/$Z^{s}$ γήθηcεν: ἐχάρη. ZYQ

A 331/$Z^{s}$ τὼ μέν: οὗτοι μέν. ZYQ

A 331/$Z^{s}$+$Q^{s}$ ταρβήcαντε: φοβηθέντεc ZYQ$A^{ti}$ | δυϊκῶc, ZQ | διὰ τὴν ξιφουλκίαν. QT

A 331/$Z^{s}$ αἰδομένω: αἰδεcθέντεc. ZYQ$A^{ti}$I

lemma 'αἰδομένω δὲ' Z ||

A 332/$Z^{s}$ cτήτην: ἔcτηcαν. ZYQ

A 332/$Z^{s}$ οὐδέ τί μιν: οὐδέ τι αὐτόν. ZYQ$A^{ti}$

A 332/$Z^{s}$ προcεφώνεον: προcεφθέγγοντο. ZYQ$A^{ti}$I

A 332/$Z^{s}$ οὐδ' ἐρέοντο: οὐδὲ ἀνηρώτων. Z(οὔτε) YQ$A^{ti}$

A 333/$Z^{s}$ αὐτὰρ ὅ: οὗτοc δέ. ZYQ

A 333/$Z^{s}$ ἔγνω: ἐcτοχάcατο, ἐνόηcεν. ZYQ

A 333/$Z^{s}$ ἧιcιν ἐνὶ φρεcί: ⌜ἐν YQ⌝ ταῖc αὐτοῦ διανοίαιc. ZYQ. $A^{ti}$ ταῖc ἰδίαιc B 213𝔇

ἧιcι φρεcί $Z^{\lambda}$ = Ξ 92 || ἑαυτοῦ YQ ||

A 333/$Z^{s}$ φώνηcέν τε: καὶ εἶπεν. ZYQ

A 334/$Z^{s}$+$Q^{s}$ Διὸc ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν: ἀνθρώπων κήρυκεc ἄξιοι καὶ θεῶν. ἄcυλον γὰρ καὶ θεῖον τὸ γένοc τῶν κηρύκων· ¦ Ἑρμῆc γὰρ μιγεὶc Πανδρόcωι τῆι Κέκροποc θυγατρὶ ἔcχεν παῖδα ὀνόματι Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένοc, ὡc ἱcτορεῖ Πτολεμαῖοc (Chennus p. 46, fr. incert. 2 Chatzis) (=G). ZYUI | ἢ ὅτι τὰc ἑορτὰc αὐτοῦ ἀγγέλλουcιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰcιν, ὃc ἄγγελοc Διόc. πεπαιδευμένωc δέ· οὐ γὰρ δεῖ τὰc αἰτίαc ἐφ' ἑτέρουc μετάγειν, ὡc κύνα κατὰ τοῦ βεβλημένου λίθου. QAU(T)IG

1 θεῶν YQ : ἀνδρῶν Z || 4 πτολεμεροc Z || 4-7 ἢ ὅτι ... λίθου post l.1 θεῶν transp. U || 5 ὃc AU : ὡc Q, ὄντοc L || 6 δεῖ QU : δὴ A ||

A 335/$Z^{s}$ ἆccον ἴτε: ἐγγὺc παραγίνεcθε. ZYQ$A^{ti}$

A 335/$Z^{s}$+$Q^{s}$ οὔ τί μοι ὔμμεc: κατ' οὐδέν μοι ὑμεῖc. ZYQ | φιλοῦται ὔμμεc ὡc Αἰολικόν· 'αἴ κ' ὔμμιν ὑπέρcχηι χεῖρα Κρονίων' (Δ 249). Q~TG

A 335/$Z^{s}$ ἐπαίτιοι: αἴτιοι. ZYQ

A 336/$Z^{s}$ ὃ cφῶϊ: ὃc ὑμᾶc. ZYQ~$I^{s}$

ὃc cφῶϊν $YQ^{\lambda}$ || ὅcτιc Y ||

A 336/$Z^{s}$ προΐει: προπέμπει. ZYQ$A^{ti}$

A 337/$Z^{s}$ διογενέc: εὐγενέcτατε. ZYQI

A 337/$Z^{s}$ Πατρόκλειc: ἀντὶ τοῦ ¦ Πάτροκλε (=$A^{ti}$, Λ 611)· ἐcχημάτιcται γὰρ τὸ ὄνομα οὐκ ἀπὸ τῆc Πάτροκλοc εὐθείαc, ἀλλ' ἀπὸ τῆc Πατροκλῆc (Pl. Euth. 297d), ὡc Ἡρακλῆc, ὦ Ἡράκλειc. ZYQA~I ($T^{i}$~$G^{i}$ ἡ εὐθεῖα Πατροκλῆc ὡc Ἡρακλῆc)

2 ὦ ἡράκλειc om A ||

A 337/$Z^{s}$ ἔξαγε: ἔξω τῆc cκηνῆc (=$A^{ti}$) κόμιζε. ZYQ

A 337/$Z^{s}$ κούρην: τὴν Βριcηΐδα. ZYQ

A 338/$Z^{s}$ καὶ cφῶϊν: καὶ ¦ αὐτοῖc (=$A^{ti}T^{i}$). ZYQ

A 338/$Z^{s}$ ἄγειν: ἀπάγειν. ZYQ

A 338/$Z^{s}$ τὼ δ' αὐτώ: οὗτοι δὲ αὐτοί. ZYQ

A 338/$Z^{s}$ μάρτυροι: μάρτυρεc Ἰακῶc. ZYQI, ~$T^{r}G^{i}$

ἰακῶc ZY : ἰὰc ἡ διάλεκτοc Q = Α 157𝔇, ἰωνικῶc $T^{r}$ ||

A 338/Z^s ἔστων: ἔστωσαν, ὑπαρχέτωσαν. ZYQI

A 339/Z^s πρός τε θεῶν: πρός τε τοὺς θεούς. 'μακάρων' δὲ μακαρισμοῦ ἀξίων, εὐδαιμόνων. ZYQI (lemma 'μακάρων δὲ' Z, duo scholia YQ). T^r ἔμπροσθεν.

A 340/Z^s ἀπηνέος: ἀπηνοῦς, ¦ χαλεποῦ, σκληροῦ (=A^ti). ZYQI

A 340/Z^s εἴ ποτε δ' αὖτε: ἐὰν δέ ποτε. ZYQ

A 341/Z^s χρειώ: χρεία. ZYQI

A 341/Z^s ἐμεῖο: ἐμοῦ. ZYQ

A 341/Z^s ἀεικέα: αἰκιστικόν, χαλεπόν. ZYQA^tiI

A 341/Z^s λοιγόν: ὄλεθρον. ZYQ

A 341/Z^s ἀμῦναι: ἀποσοβῆσαι, ἀποστρέψαι. ZYQ

ἀποστρέψαι YQ (= A 398𝔇) : ἀποτρέψαι Z ||

A 342/Z^s ἦ γὰρ ἄν (ἦ γὰρ ὅ γ' Hom.): ὄντως γὰρ (=A^ti) ἄν. ZYQ ~ A 232𝔇

A 342/Z^s ὅ γε: οὗτος ⌜ὁ Ἀγαμέμνων A^ti⌝. ZYQA^ti

A 342/Z^s ὀλοῇσιν: ὀλεθρίαις. ZYQ. A^ti ὀλεθρίαις ὁρμαῖς μαίνεται.

A 342/Z^s θύει: ἐνθουσιωδῶς ὁρμᾶι, ὅ ἐστιν μαίνεται. ZYQ. T^r ἐνθουσιᾶι, μέμηνεν.

A 343/Z^s νοῆσαι: προλογίσασθαι, ἐνθυμηθῆναι. ZYQA^ti

προλογήσασθαι Z, προνοήσασθαι A^t ||

A 343/Z^s πρόσσω καὶ ὀπίσσω: τὸ παρὸν καὶ τὸ μέλλον· τουτέστιν οὐκ οἶδεν προσκοπῆσαι τὴν ἀρχὴν καὶ ἀπόβασιν τοῦ πράγματος. ZYQI~G

A 344/Z^s ὅππως οἱ: ὅπως αὐτῶι. ZYQ

A 344/Z^s σόοι: σῶοι, ὑγιεῖς. ZYQ

A 344/Z^s μαχέονται: μαχοῦνται, πολεμήσουσιν. ZYQ

cum lemmate σόοι coniunxit Y || μαχέοιντο YQ^λ v.l. Hom., cf A 272𝔇 ||

A 345/Z^s ἐπεπείθετο: ἐπείσθη. ZQA^ti

A 346/Z^s ἐκ δ' ἄγαγε: ἐξήγαγεν δέ. ZYQ

A 347/Z^s ἄγειν: ἀπάγειν. Z (= A 338𝔇)

A 347/Z^s τὼ δ' αὖτις: οὗτοι δὲ πάλιν. ZYQA^ti

A 347/Z^s ἴτην: παρεγένοντο. ZYQA^ti

A 348/Z^s ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν: ἡ δὲ Βρισηῒς ἄκουσα καὶ μὴ βουλομένη ἅμα τοῖς κήρυξιν ἐπορεύετο. ZYQI

A 349/Z^s ἑτάρων: ἑταίρων, φίλων. ZYQ

A 349/Z^s ἄφαρ: εὐθέως, ¦ ταχέως (= T^r). ZQI

A 349/Z^s νόσφι: χωρίς. ZYQI

A 349/Z^s λιασθείς: χωρισθείς, ZYQA^tiI | ἐκκλίνας. ZI, = Y 418𝔇

A 350/Z^s θῖν' ἐφ' ἁλός: ἐπὶ τῶι αἰγιαλῶι τῆς θαλάσσης. ZYQ

A 350/Z^s πολιῆς: πολλῆς, ἢ λευκῆς ¦ διὰ τὸν ἀφρόν (=A^ti). ZYQI, ≃ O 190𝔇

A 350/Z^s ὁρόων: ὁρῶν, βλέπων. ZYQ

A 350/Z^s ἐπὶ οἴνοπα: ἐπὶ τὸν ¦ μέλανα (=A^ti). 'πόντον' δὲ τὴν θάλασσαν. ZYQ

lemma 'πόντον δὲ' Z, duo scholia YQ ||

A 351/Z^s ἠρήσατο: ηὔξατο. ZYQA^ti

A 351/Z^s ὀρεγνύς: ἐκτείνας. ZYQA^ti

A 352/Z^s ἐπεί με: ἐπειδή με. 'μινυνθάδιον' δὲ ¦ ὀλιγοχρόνιον (=A^tiI^s). ZYQ

lemma 'μινυνθαδρον δὲ Z', duo scholia YQ ||

A 352/Z^s ἔτεκες: ἐγέννησας. Z ≃ A 418𝔇

A 352/Z^s ἐόντα: ὄντα, ὑπάρχοντα. ZYQ

A 353/Z^s τιμήν πέρ μοι: τιμὴν δή μοι. ZYQ

A 353/Z^s ὄφελλεν: ὤφειλεν. ZYQA^ti~I^s

A 353/Z$^s$ Ὀλύμπιος: ὁ τὸν Ὄλυμπον κατοικῶν Ζεύς (=I). Ὄλυμπος δὲ ὄρος τῆς Μακεδονίας ὑψηλότατον, ἱερὸν οἰκητήριον τῶν θεῶν. ἀλληγορικῶς δὲ ὁ οὐρανός. ZYQA

1 ὁ δὲ ὄλυμπος ὄρος YQ || 2 ὑψηλότατον om Y || ⟨καὶ⟩ οἰκητήριον A || ⟨ὄλυμπος⟩ ὁ οὐρανός Y ||

A 353/Z$^s$ ἐγγυαλίξαι: ἐγχειρίσαι, παρασχεῖν. ZYQA$^{ti}$I, ~ Epim. ε 82

A 354/Z$^s$ ὑψιβρεμέτης: ὁ ἐν ὕψει ἠχῶν, ὅ ἐστιν βροντῶν· βρόμος δὲ κυρίως ὁ ἐκ πυρὸς ἦχος. ZYQ. A$^{ti}$ ὁ ἐν ὕψει βροντῶν.

ὑψιβρεμήτης Z$^λ$ ||

A 354/Z$^s$ οὐδέ με τυτθόν: οὐδὲ ὀλίγον με. ZYQA$^{ti}$

τουτθόν Z$^λ$ ||

A 354/Z$^s$ ἔτισεν: ἐτίμησεν. ZYQ

A 355/Z$^s$ ἦ γάρ μ' Ἀτρείδης: ὁ Ἀγαμέμνων γάρ με. ZYQ

A 356/Z$^s$ ἑλὼν γὰρ ἔχει: ἀφελόμενος γὰρ τὴν τιμήν μου ἔχει. ZYQ

λαβὼν Z$^λ$ ||

A 356/Z$^s$ ἀπούρας: ἀφελόμενος, ZYQ | λαβών. Z. A$^{ti}$ "ἀφελόμενος" παρὰ τὸ ὁρίζω, ~ ApS 39,3.

A 357/Z$^s$ δάκρυ χέων: δακρύων, κλαίων. ZYQI

A 357/Z$^s$ πότνια: σεβασμία, ἔντιμος. ZYQI

A 358/Z$^s$ ἡμένη: καθεζομένη. ZYQ

A 358/Z$^s$ ἐν βένθεσσιν: ἐν τοῖς βάθεσιν. ZYQ

βένθεσιν ZYQ$^λ$ = N 21 ||

A 358/Z$^s$ πατρὶ γέροντι: τῶι Νηρεῖ (=A$^{ti}$)· τὸν δὲ Νηρέα οἱ ποιηταὶ παριστῶσιν ἡμῖν δαίμονα θαλάσσιον, ἀφ' οὗ καὶ Δωρίδος τῆς Ὠκεανοῦ αἱ Νηρεΐδες. ZYQAJ$^m$I

2 νηρεΐδες Z : νηρηΐδες YJ, νηραΐδες Q, νερεΐδες A ||

A 359/Z$^s$ καρπαλίμως: ταχέως. ZYQA$^{ti}$I

A 359/Z$^s$ ἀνέδυ: ἀνῆλθεν. ZYQI

A 359/Z$^s$ ἠΰτ': καθάπερ, ὃν τρόπον. 'ὀμίχλη' δὲ ὁ παχὺς καὶ ὑγρότατος ἀήρ. ZYQ~I$^s$

lemma 'ὀμίχλα δὲ Z || ὑγρὸς Y ||

A 360/Z$^s$ καί ῥα: καὶ δή. ZYQ

A 360/Z$^s$ πάροιθεν: ἔμπροσθεν. ZYQA$^{ti}$

A 360/Z$^s$ αὐτοῖο: αὐτοῦ. ZYQ

A 360/Z$^s$ καθέζετο: ἐκαθέζετο. 'δακρυχέοντος' δὲ δακρύοντος. ZYQ

lemma 'δακρυχέοντος δὲ' Z, dua scholia YQ ||

A 361/Z$^s$ χειρί τέ μιν: καὶ τῆι χειρὶ αὐτόν. ZYQ

A 361/Z$^s$ κατέρεξεν: κατέψηξεν. ZYQA$^{ti}$I

κατέψησεν Lex κ 22 ||

A 361/Z$^s$ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν: τόν τε λόγον εἶπεν καὶ τὰ μέρη αὐτοῦ διεξῆλθεν. ZYQ. T$^r$ Ἀχιλλῆα ἐκάλεσεν.

A 362/Z$^s$ ἵκετο: κατέλαβεν. ZYQA$^{ti}$

A 362/Z$^s$ πένθος: λύπη. ZYQ

A 363/Z$^s$ ἐξαύδα: ἔξειπε. ZYQA$^{ti}$~I$^s$

A 363/Z$^s$ μὴ κεῦθε: μὴ κρύπτε. ZYQA$^{ti}$I

A 363/Z$^s$ νόωι: τῆι διανοίαι. ZYQ

A 363/Z$^s$ ἵνα: ὅπως. Z = A 203𝔇

† A 363/Y$^s$ ἵνα εἴδομεν: ὅπως μάθωμεν. Y

A 363/Z$^s$ εἴδομεν: ἀντὶ τοῦ εἰδῶμεν, μάθωμεν. ZYQ. T$^r$ "γνῶμεν" Ἰωνικῶς.

εἴδωμεν Z$^λ$ ||

A 363/Z$^s$ ἄμφω: ἀμφότεροι (=A$^{ti}$), ἐγώ τε ἡ Θέτις καὶ σύ, ὦ Ἀχιλλεῦ. ZYQ

A 364/$Z^s$ βαρὺ στενάχων: βαρέως στενάζων, ZYQX | ὅ ἐστιν μεγάλα. Z. $A^{ti}$ μεγάλα στενάζων.

1 βαρέως Z : βαρέα YQX ||

A 365/$Z^s$ οἶσθα: οἶδας (=I), ¦ ἐπίστασαι (=$A^{ti}$). ZYQX

οἶσθας $Z^{\lambda}$ (= Men. alii) ||

A 365/$Z^s$ τί ἤ τοι: τί δή σοι. ZYQX$A^{ti}$

τίη τοι / τίήτοι ZYQ(X) / τί ἤτοι vv.ll. Hom. ||

A 365/$Z^s$ εἰδυίηι: εἰδυίαι, ἐπισταμένηι. ZY

A 365/$Z^s$ ἀγορεύω: λέγω. ZYQX$A^{ti}$

A 366/$Z^s$+$Q^s$ ᾠχόμεθ' ἐς Θήβην: παρεγενόμεθα (=$A^{ti}$) εἰς τὰς Θήβας. νῦν δὲ λέγει τὰς Ὑποπλακίους, ὧν ἐβασίλευεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ (~$T^r$). Κίλικες ἔθνος βάρβαρον τῆς ὑπὸ Πλάκου ὄρους Θήβης· τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων ἔχων υἱοὺς ἑπτά, θυγατέρα δὲ Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῶι υἱῶι Πριάμου. κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους ἐπιστρατεύσας Ἀχιλλεὺς τῆι Θήβηι καὶ τὴν πόλιν πορθήσας, τόν τε Ἠετίωνα ἀνεῖλεν σὺν τοῖς τέκνοις· μεθ' οὓς Λυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἐξελών, αἰχμάλωτον ἦγεν ⟨ἀπὸ⟩ Λυρνησσοῦ μὲν Βρισηΐδα, ἣν γέρας αὐτῶι ἐψηφίσαντο ⟨οἱ⟩ Ἕλληνες, ἀπὸ δὲ τῆς Χρύσης Χρυσηΐδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα, ἣν Ἀγαμέμνων κλήρωι λαχὼν τῶι πατρὶ δεομένωι οὐκ ἀπέδωκεν. ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἔπεμψε τοῖς Ἕλλησι λοιμικὴν νόσον. ἔνιοι δὲ φασὶν ὅτι καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ Χρύσης, φασίν, οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέραι καὶ μείζονι τῆι Θήβηι οἱ ἀπ' αὐτῆς προσῆισαν διὰ τὸν πόλεμον. ZYQXAUI | τρεῖς γάρ εἰσιν Θῆβαι, αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῆι Ζ (397), καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῆι Δ (378, 405) καὶ ἐν τῆι Ε (804), καὶ αἱ τῆς Αἰγύπτου, ὧν μέμνηται ἐν τῆι Ι (381). QXAUIG, ~$T^r$, Δ 378𝔇 | Θῆβαι δὲ αὗταί εἰσι τὸ νῦν Ἀτραμύτιον καλούμενον (= Epim.). QXI

1 ἐν ταῖς θήβαις YQX || 3 ὑποπλακίου U || .. ὄρους om AU || ἦρχε {τῶν κιλίκων} A || 4 ἑπτά : ζ Z || ⟨τὴν⟩ ἀνδρομάχην YQX || 7-8 ἀπὸ et οἱ suppl. de Marco || 11 λυμικὴν A || 11-2 χρύσης : χρύσας ZY || 12 φασὶν XU : φησὶν ZYQA || 13 προσῆισαν διὰ τὸν πόλεμον Z : προσερρυηκότες ἦσαν YQXAU || 16 μνημονεύει AU ||

A 366/$Z^s$ ἱερήν: ἱεράν, μεγάλην, ἢ θαυμαστήν. ZYQX

A 367/$Z^s$ τὴν δὲ διεπράθομεν: ἐξεπορθήσαμεν. ZYQX$A^{ti}$

A 367/$Z^s$ καὶ ἤγομεν: καὶ ἠγάγομεν. ZYQX

A 368/$Z^s$ καὶ τὰ μέν: καὶ ταῦτα μέν. ZYQX

A 368/$Z^s$ εὖ δάσσαντο: καλῶς ἐμερίσαντο. ZYQX$A^{ti}$

A 368/$Z^s$ μετὰ σφίσιν: ἐν ἑαυτοῖς. ZYQX~$I^s$

αὐτοῖς YQX ||

A 369/$Z^s$ ἐκ δ' ἔλον: ὡς ἐξαίρετον δὲ ἔδωκαν. ZYQX$T^r$

⟨ἔλαβον (= B 399𝔇 ἕλοντο) καὶ⟩ ἔδωκαν QX ||

A 373/$A^{ti}$ ⌊στέμματ'⌋ ὡς στέμματα.

A 380/$Z^s$ πάλιν: {ὀξυτόνως μὲν} δηλοῖ τὸ εἰς τοὐπίσω, {βαρυτόνως δὲ} ἐκ δευτέρου. ZYQX cf Γ 379𝔇 427𝔇, et A 60𝔇 ἄψ· πάλιν, ἢ εἰς τοὐπίσω, et A 44𝔇 κῆρ· ὀξυτόνως μὲν ψυχή, βαρυτόνως δὲ θανατηφόρος μοῖρα

A 380/$Z^s$ τοῖο δ': τούτου δέ. ZYQX

τοῦτο Z ||

A 381/$Z^s$ ἐπεὶ μάλα οἱ: ἐπειδὴ μάλα αὐτῶι προσφιλὴς ὑπῆρχεν. ZYQX

μάλα Z : πάνυ YQX ||

A 382/$Z^s$ ἧκεν: ἐφῆκεν, ¦ ἔπεμψεν (=$A^{ti}$). ZYQX

A 382/$Z^s$ οἱ δέ νυ λαοί: οἱ δὲ δὴ (= $T^i$) ὄχλοι. ZYQX

A 383/$Z^s$ θνῆϲκον ἐπαϲϲύτεροι: ἀπέθνηϲκον. 'ἐπαϲϲύτεροι' δὲ ¦ ἐπάλληλοι, πυκνοί (=$A^{ti}$). ZYQX

lemma 'ἐπαϲϲύτεροι' pro δὲ YQX ||

A 384/$Z^s$ πάντηι: πανταχοῦ, εἰϲ ὅλον τὸ ϲτράτευμα. ZYQX

τὸ ϲτράτευμα : τὸν τόπον Y ||

A 384/$Z^s$ ἄμμι δέ: ἡμῖν δέ. ZYQX

A 385/$Z^s$ εὖ εἰδώϲ: ἀκριβῶϲ ἐπιϲτάμενοϲ. ZYQX

A 385/$Z^s$ ἀγόρευε: ἔλεγεν. Z ≈ A 109𝔇

A 385/$Z^s$ ἑκάτοιο: τοῦ Ἀπόλλωνοϲ (= $T^r$) τοῦ μακρόθεν βάλλοντοϲ, τοξικοῦ. ZQX

A 386/$Z^s$ κελόμην: ἐκέλευον. ZYQXI

A 386/$Z^s$ ἱλάϲκεϲθαι: ἐξιλεοῦϲθαι, ἐξευμενίζεϲθαι. ZYQXI

ἱλεοῦϲθαι Y ||

A 387/$Z^s$ Ἀτρείωνα δέ: τὸν Ἀγαμέμνονα δέ. ZYQX

A 387/$Z^s$ χόλοϲ λάβεν: ὀργὴ κατέλαβεν. ZYQX

A 387/$Z^s$ αἶψα: ταχέωϲ. ZYQX = ApS 17,21

A 388/$Z^s$ ἠπείληϲεν: ἐπηγγείλατο. ZYQXI

A 389/$Z^s$ ἑλίκωπεϲ: μελανόφθαλμοι, ἑλικὸν γὰρ κατὰ διάλεκτον τὸ μέλαν· ἢ οἱ ἑλικοειδῶϲ κινοῦντεϲ τοὺϲ ὦπαϲ, ὅ ἐϲτι τοὺϲ ὀφθαλμούϲ· ἀφ' οὗ εὐειδεῖϲ. ZYQXI

A 390/$Z^s$ δῶρα: νῦν θυϲίαϲ. ZYQX

A 391/$Z^s$ νέον: νεωϲτί. ZYQX

A 391/$Z^s$ κλιϲίηθεν: ἀπὸ τῆϲ ϲκηνῆϲ. ZYQX

κλιϲίηϲ $Y^λ$ ||

A 391/$Z^s$ ἔβαν: ἔβηϲαν (=I), ἐπορεύθηϲαν. ZYQX

A 391/$Z^s$ ἄγοντεϲ: ἀποφέροντεϲ. ZYQX

φέροντεϲ Y ||

A 392/$Z^s$+$A^s$ κούρην Βριϲῆοϲ: τὴν Βριϲέωϲ θυγατέρα Βριϲηΐδα. ¦ ἔοικεν δὲ πατρωνυμικῶϲ τὰ ὀνόματα αὐτῶν ϲχηματίζειν ὁ ποιητὴϲ καὶ οὐ κυρίωϲ· ὡϲ γὰρ ἄλλοι ἀρχαῖοι ἱϲτοροῦϲιν, ἡ μὲν Ἀϲτυνόμη ἐκαλεῖτο (sc. Χρυϲηΐϲ He α 7925, sch. Lyc. 183,50), ἡ δὲ Ἱπποδάμεια ($J^m$, i.e. Βριϲηΐϲ He β 817). ZYQXAIG | ὁ δὲ τρόποϲ ¦ ἀντωνομαϲία (=$A^{ti}T^i$, ~I). A

A 392/$Z^s$ τήν μοι: ἥντινά μοι. ZYQX

A 393/$Z^s$ περίϲχεο: περίϲχου, ¦ φρόντιϲον (=$A^{ti}$). ZYQXIT$^r$

A 393/$Z^s$ παιδὸϲ ἑῆοϲ: ἀντὶ "τοῦ ϲοῦ". οἱ δὲ ἀγαθοῦ, προϲηνοῦϲ, ἢ ἰδίου. ZYQX~I

ἀντὶ τοῦ ϲοῦ : τοῦ ϲοῦ ἀντὶ τοῦ Z || ἢ ἰδίου om Y ||

A 394/$Z^s$ Οὔλυμπον δέ: εἰϲ τὸν Ὄλυμπον. ZYQX

A 394/$Z^s$ λίϲϲεαι (= δ 347, λίϲαι Hom. = $QX^λ$) λιτάνευϲον. ZYQXA$^{ti}$I

A 394/$Z^s$ εἴ ποτε δή τι: ἐὰν ὅλωϲ ποτέ τι. ZY

τι ... τι : ϲοι ... ϲοι Y ~ A 294𝔇 εἰ δή ϲοι ||

A 395/$Z^s$ ἢ ἔπει: ἢ λόγωι. ZYQX

A 395/$Z^s$ ὤνηϲαϲ: ὠφέληϲαϲ. ZYQX

A 395/$Z^s$ κραδίην Διόϲ: τὸν Δία περιφραϲτικῶϲ. ZYQX

A 395/$Z^s$ ἠὲ καὶ ἔργωι: ἢ καὶ αὐτῶι τῶι ἔργωι. ZYQX

A 396/$Z^s$ πολλάκι γάρ ϲεο: ϲοῦ. τὸ δὲ ὅλον· ZY | πολλάκιϲ γάρ ϲου ἤκουϲα ἐν τοῖϲ τοῦ πατρόϲ μου Πηλέωϲ οἴκοιϲ αὐχούϲηϲ (~ Hd-Ar). ¦ ἐν θαλάττηι γὰρ Πηλεὺϲ κατοικεῖν οὐκ ἠδύνατο (=G). ZYQX~I$^s$

A 396/$Z^s$ ἐνὶ μεγάροιϲιν ἄκουϲα: ἐν τοῖϲ οἴκοιϲ (=$A^{ti}$) ἤκουϲα. ZYQX

duo scholia YQX ||

A 397/$Z^s$ εὐχομένηϲ: καυχωμένηϲ. ZYQX

A 397/$Z^s$ ὅτ' ἔφηςθα: ὅτε ἔλεγες. ZYQX$A^{ti}$I. $T^r$ ἡνίκα.

A 397/$Z^s$ κελαινεφέϊ: τῶι τὰς νεφέλας μελαίνοντι, ¦ ὀμβροποιῶι (~ $A^{ti}$). ZYQX

τοῦ ὀμβροποιοῦ Z$A^{ti}$ ||

A 397/$Z^s$ Κρονίωνι: τῶι Κρόνου παιδὶ Διί. ZYQX

A 398/$Z^s$ οἴη: μόνη. ZYQX

A 398/$Z^s$ ἐν ἀθανάτοιςι: ἐν τοῖς θεοῖς. ZYQX

A 398/$Z^s$ ἀεικέα: ἀπεοικότα, χαλεπόν. ZYQX

A 398/$Z^s$ λοιγόν: ὄλεθρον, φθοράν. ZYQX

A 398/$Z^s$ ἀμῦναι: ἀποςοβῆςαι, ¦ ἀποςτρέψαι (=$A^{ti}$). ZYQX

A 399/$Y^s$ ὁππότε μιν: ὁπηνίκα αὐτόν. Y. $A^{ti}$ Ἰώνων = A 201/$A^{ts}$.

A 399/$Z^s$ ξυνδῆςαι: ςυνδῆςαι (=$A^{ti}$). Ἰὰς ἡ διάλεκτος. ZYQX~$I^s$

A 399/$Z^s$ ὁππότε μιν ξυνδῆςαι: Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῶι διοίκηςιν περιςςῶς τῆι παρρηςίαι ἐχρῆτο, πολλὰ αὐθάδη διαπραςςόμενος. Ποςειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων {καὶ Ἀθηνᾶ} ἐβούλοντο αὐτὸν δήςαντες ὑποτάξαι. Θέτις δὲ ἀκούςαςα παρὰ τοῦ πατρὸς Νηρέως, ἦν γὰρ μάντις, τὴν Διὸς ἐπιβουλήν, ἔςπευςε πρὸς αὐτὸν ἐπαγομένη Αἰγαίωνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν. ἦν δὲ θαλάςςιος δαίμων οὗτος καὶ τὸν πατέρα Ποςειδῶνα κατεβράβευεν. ἀκούςας δὲ ὁ Ζεὺς Θέτιδος τὴν μὲν Ἥραν ἐν τοῖς κατ' αὐτοῦ δεςμοῖς ἐκρέμαςεν, Ποςειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίςατο, τῆι δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα ἐταμιεύςατο. ἱςτορεῖ Δίδυμος (p. 179 Schmidt). ZYQXAUI (𝔓Oxy 418)

3 καὶ Ἀθηνᾶ om 𝔓, cf l. 7 et A 400𝔇 || 4 δηλοι τω[ι διι] την επιβουλην 𝔓 || 7 κατ' αὐτὸν Z ||

A 400/$Z^s$ Ἥρη τ' ἠδὲ Ποςειδάων καὶ Παλλὰς Ἀθήνη: ἠδέ· καί. Z = B 220𝔇 | γράφεται 'καὶ Φοῖβος Ἀπόλλων' ZYQXI$J^i$, 𝔓Oxy 418, Ak-Ze ὅτι ... | ''Ὀλύμπιοι' δὲ 'ἄλλοι' (399) οἱ Τιτᾶνες· καὶ γὰρ ἐν ἄλλοις φηςίν· 'μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι / οἵ περ ἐνέρτεροί εἰςι θεοὶ Κρόνον ἀμφὶς ἐόντες.' (O 224s). ZYQX$U^m$I

γράφεται YQX : γράφει Z, γράφουςι τινὲς 𝔓, τινὲς δὲ γράφουςι T || 2 duo scholia YQX ||

A 401/$Z^s$ ὑπελύςαο: ἐξείλω, ἔλυςας. ZYQX$A^{ti}$

A 402/$Z^s$ ὦκα: ταχέως, ςπουδαίως. ¦ 'ἑκατόγχειρον' δὲ ἑκατοντάχειρα, Αἰολικῶς (=I). ZYQX

ἑκατόγχειρα duo scholia YQX ||

A 402/$Z^s$ μακρόν: μέγαν. ZYQX

A 403/$Z^s$ ὃν Βριάρεων καλέουςι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίων': τὸ πλῆρες Αἰγαίωνα. τῶν δὲ διωνύμων τὸ μὲν πρότερον ὄνομα Ὅμηρος εἰς θεοὺς ἀναφέρει, τὸ δὲ δεύτερον εἰς ἀνθρώπους, ὡς καὶ τὸ 'χαλκίδα κικλήςκουςι θεοί, ἄνδρες δὲ κύμινδιν' (Ξ 291) καὶ περὶ τοῦ ποταμοῦ 'ὃν Ξάνθον καλέουςι θεοί, ἄνδρες δὲ Cκάμανδρον' (Y 74). ZYQXA$U^m$IG

βριάρεω $Y^λ$ || 3 ἄνδρες δέ ⟨τε⟩ ZQXA sicut A 403 || 4 ἄνδρες δέ ⟨τε⟩ ZYQXA sicut A 403 ||

A 404/$Z^s$ ὃ γὰρ αὖτε: οὗτος γὰρ δή. ZYQX

ὃ Y$QX^λ$ : ὁ $Z^λ$ ||

A 404/$Z^s$ βίηι : βίαι, δυνάμει. ZYQX

βίην $Z^λ$ $Ar^t$ = O 139 ||

A 404/$Z^s$ οὗ πατρός: τοῦ ἰδίου πατρός τοῦ Οὐρανοῦ· καὶ τοὺς ἑκατόγχειρας γὰρ ὁ Ἡςίοδος Οὐρανοῦ καὶ Γῆς φηςίν (Theog. 147ss). ZYQ

1 τοῦ² om Z || τοῦ ἑκατόγχειρος Z || γὰρ ὁ Z : γράφει (ὁ) Y(Q) || 2 φηςίν Z : φῦναι Y, γένος Q ||

A 404/$Z^s$ ἀμείνων: ἰςχυρότερος, βελτίων. ZYQX

A 405/$Z^s$ ὅς ῥα: ὅςτις δή. ZYQX

A 405/$Z^s$ Κρονίωνι: Κρόνου παιδὶ Διί. ZYQX

A 405/$Z^s$ κύδεϊ γαίων: τῆι αὐτοῦ δόξηι γαυριῶν καὶ ςεμνυνόμενος. ZYQX

A 406/$Z^s$ ὑπέδδειςαν: ἐφοβήθηςαν. ZYQX

A 406/Z$^{s}$ οὐδ᾽ ἔτ᾽ ἔδηcαν: τὸ πλῆρεc οὐκέτι ἔδηcαν. ZYQX
οὐδέ τ᾽ / οὐδ᾽ ἔτ᾽ = vv.ll. Hom. ||

A 407/Z$^{s}$ τῶν νῦν μιν: τούτων ἐπὶ τοῦ παρόντοc αὐτόν. ZYQX

A 407/Z$^{s}$ μνήcαcα: ὑπομνήcαcα. ZYQX

A 407/Z$^{s}$ παρέζεο: παρακαθέζου. ZYQX

A 407/Z$^{s}$ καὶ λαβὲ γούνων: τῶν γονάτων κράτηcον. ZYQXI

A 408/Z$^{s}$ αἴ κέν πωc: ἐάν πωc. ZYQXA$^{ti}$

A 408/Z$^{s}$ ἐθέληιcιν: βουληθῆι, θελήcει. ZYQX

A 408/Z$^{s}$ ἐπὶ Τρώεccιν ἀρῆξαι: ἐπιβοηθῆcαι τοῖc Τρωcίν. ZYQX

A 409/Z$^{s}$ τοὺc δέ: τοὺc δὲ Ἕλληναc. ZYQXA$^{ti}$

A 409/Z$^{s}$ κατὰ πρύμναc: τὰc ναῦc ἀπὸ μέρουc (=A$^{ti}$) φηcίν. πρύμνα γὰρ μέροc τῆc νεὼc τὸ ἔcχατον. ZYQXI
πρύμνα γὰρ τὸ τῆc νηὸc ἔcχατον Y ||

A 409/Z$^{s}$ καὶ ἀμφ᾽ ἅλα: καὶ περὶ τὴν θάλαccαν. ZYQX
καὶ$^{2}$ ⟨τὴν⟩ Z ||

A 409/Z$^{s}$ ἔλcαι: cυνελάcαι (=A$^{ti}$), cυγκλεῖcαι. ZYQXIT$^{r}$

A 410/Z$^{s}$ κτεινομένουc: ἀναιρουμένουc, φονευομένουc. ZYQX

A 410/Z$^{s}$ ἵνα πάντεc ἐπαύρωνται ⌞βαcιλῆοc YQX⌟: ἵνα ἀπολαύcωcι πάντεc τῆc ἀβουλίαc τοῦ βαcιλέωc, τουτέcτιν ἵνα ἀπόλωνται δι᾽ αὐτόν. ZYQXA$^{ti}$I$^{i}$ Epim.
1 πάντεc ἀπολαύcωcι A$^{t}$ || 2 δι᾽ αὐτοῦ A$^{t}$ Epim. B$^{2}$ ||

A 411/Z$^{s}$ γνῶι: γνώηι, μάθηι. ZYQX

A 412/Z$^{s}$ ἣν ἄτην: τὴν ἰδίαν ἀβουλίαν καὶ βλάβην. ZYQXA$^{ti}$

A 412/Z$^{s}$ ὅτ᾽ ἄριcτον: ὅτι τὸν ἄριcτον, ἀντὶ τοῦ ἐμὲ τὸν Ἀχιλλέα. ZYQX ~ H 75𝔓+$^{T}$+Ak ὅτι ...

A 412/Z$^{s}$ οὐδὲν ἔτιcεν: κατ᾽ οὐδὲν ἐτίμηcεν. ZYQX

A 413/Y$^{s}$ ἠμείβετο: ἀπεκρίνατο. YQX

A 413/Z$^{s}$ κατὰ δάκρυ χέουcα: δακρύουcα, κλαίουcα. ZYQX

A 414/Z$^{s}$ τί νύ cε: διὰ τί δή cε ἀνέτρεφον. ZYQX

A 414/Z$^{s}$ αἰνὰ τεκοῦcα: ἐπὶ κακῶι γεννήcαcα. ZQX. T$^{r}$ αἰνῶc.

A 415/Z$^{s}$ αἴθ᾽ ὄφελεc: εἴθ᾽ ὤφειλεc· ἔcτι δὲ ἐπίρρημα εὐκτικόν. ZYQX
ὤφιλεc Z (Γ 40𝔇 ὤφειλεc) : ὤφελεc YQX ||

A 415/Z$^{s}$ ἀδάκρυτοc: ἄνευ δακρύων, ¦ ἄλυποc (=A$^{ti}$) ZYQX

A 415/Z$^{s}$ ἀπήμων: ἀβλαβήc. ZYQXA$^{ti}$

A 416/Z$^{s}$ ἐπεί νύ τοι: ἐπειδή coι. ZYQX

A 416/Z$^{s}$ αἶcα: εἱμαρμένη, ¦ μοῖρα (=A$^{ti}$). ZYQX

A 416/Z$^{s}$ μίνυνθα: ἐπ᾽ ὀλίγον. ZYQXA$^{ti}$I ~ ApS 112,34

A 416/Z$^{s}$ οὔ τι μάλα δήν: καὶ οὐκ ἐπὶ πολὺν χρόνον. ZYA$^{ti}$

A 417/Z$^{s}$ ἅμα: ὁμοῦ. ZYQX

A 417/Z$^{s}$ ὠκύμοροc: ταχυθάνατοc (=A$^{ti}$)· 'ὀϊζυρὸc' δὲ ἐπίπονοc, ¦ ἄθλιοc, ταλαίπωροc (=A$^{ti}$). ZYQX~I$^{s}$
lemma 'ὀϊζυρὸc' pro δὲ YQX || ταλαίπωροc om Z ||

A 417/Z$^{s}$ περὶ πάντων: ἀντὶ τοῦ ὑπὲρ πάνταc ἀνθρώπουc. ZYQX

A 418/Z$^{s}$ ἔπλεο: ἐγένου. λέγεται γὰρ τὴν Θέτιν παρὰ Διὸc μαθεῖν τὰ περὶ Ἀχιλλέωc, ὅτι εἰ μὲν μείνηι ἐν τῆι Φθίαι μὴ cυμπλεύcαc τοῖc Ἕλληcι εἰc τὴν Ἴλιον, πολλὴ μὲν ἔcται αὐτῶι ἡ ζωή, ἄδοξοc δέ· εἰ δὲ cυνανέλθοι αὐτοῖc, ἔcται ὀλιγοχρόνιοc μέν, ἀλλὰ ἀοίδιμοc καὶ εὐκλεήc. ὅθεν ὡc προειδυῖα ἡ Θέτιc τοῦτο, ἦν αὐτὸν παραθεμένη εἰc τὸν Λυκομήδουc παρθενῶνα ὡc κόρην ἐν τῆι Cκύρωι· ἔcτι δὲ μία τῶν Κυκλάδων. ZYQXAU*G*
2 μείνει A ||

A 418/$Z^s$ τῶ ϲε: διὸ δή ϲε. ZYQX$A^{ti}$

τῶ $YQ^{\lambda}$ : τώ $Z^{\lambda}$, τῶι $X^{\lambda}$ ||

A 418/$Z^s$ κακῆι αἴϲηι: κακῆι μοίραι. ZYQX

A 418/$Z^s$ τέκον: ἔτεκον, ἐγέννηϲα. ZYQX

A 418/$Y^s$ ἐν μεγάροιϲιν: ἐν τοῖϲ οἴκοιϲ. YQX

A 419/$Z^s$ ἐρέουϲα: εἰποῦϲα, ἀπαγγελοῦϲα. ZYQX

A 419/$Z^s$ τερπικεραύνωι: τερπομένωι κεραυνοῖϲ, ἢ καταγωνιζομένωι τοὺϲ ἐναντίουϲ καὶ τρέποντι κεραυνοῖϲ. ZYQX(E)I

A 420/$Z^s$ εἶμι: ἄπειμι, πορεύϲομαι. προπεριϲπωμένωϲ δὲ ἀναγνωϲτέον· εἰ δὲ ὀξυτόνωϲ, δηλοῖ τὸ ὑπάρχω ἡ λέξιϲ. ZYQX$U^m$* ~ Hd

A 420/$Z^s$+$U^s$ ἀγάννιφον: τὸν λίαν νιφόμενον τὰ ὑπὸ τοῖϲ νέφεϲι μέρη· τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου ὡϲ ὑπερνεφῆ οὔτε νίφεται οὔτε κατομβρεῖται κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα '"Ολυμπόν θ' ὅθι φαϲὶ θεῶν ἕδοϲ ἀϲφαλὲϲ αἰεὶ ἔμμεναι, οὔτ' ἀνέμοιϲι τιναϲϲόμενον οὔτε ποτ' ὄμβρωι δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπταται ἀννέφελοϲ, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη' (~ ζ 42-5). ZYQX(TA) UG | ἀγάννιφον οὖν ἤτοι τὸν πάνυ κατανιφόμενον, ἢ τὸν οὔτε ὅλωϲ. ZYQXAUG | οὕτω τινὰ τῶν ὀρῶν ἦν ὑπερνεφῆ, ὥϲτε τινὲϲ τῶν ἱερέων ἀνήρχοντο εὐχῆϲ χάριν εἰϲ αὐτὰ ἅπαξ τοῦ ἐνιαυτοῦ καὶ ἐποίουν εἰϲ αὐτὰϲ χαρακτῆραϲ, οὕϲτιναϲ εἰϲ τὸ ἐπιὸν εὕριϲκον ἀμειώτουϲ. ¦ 'ἀγάννιφον' τινὲϲ ἐπὶ τοῦ οὐρανοῦ "τὸν ἄγαν νίφοντα" ὡϲ βριήπυον (~ N 521) καὶ γαιήοχον (Ψ 584)· τὰ ὄρη γὰρ νιφόεντα καλεῖ. ὡϲ Τηλεφοϲ (= $T^sG$). UI$M^s$

3 ὄλυμπον τ' ὅθι Z(A), Οὔλυμπόνδ' Hom. || 4 τινάϲϲεται Hom. || ἐπιπιδνᾶται Z || 5 ἀνέφελοϲ YA || 7 ὥϲτε Erbse : ὅτι U ||

A 420/$Z^s$ αἴ κε πίθηται: ἐὰν πειϲθῆι. ZYQX

A 421/$Z^s$ παρήμενοϲ: παρ' αὐταῖϲ καθήμενοϲ. Z ~ A 488𝔇 "παρακαθήμενοϲ"

A 421/$Z^s$ ὠκυπόροιϲι: ταχέωϲ πλεούϲαιϲ. ZYQX

A 422/$Z^s$ μήνιε: ὀργίζου. ZYQXI

A 422/$Z^s$ πάμπαν: παντελῶϲ παύου. ZYQX

A 423/$Z^s$ ἐϲ Ὠκεανόν: παρὰ τὸν Ὠκεανόν. ὁ δὲ Ὠκεανὸϲ ποταμόϲ ἐϲτι καθ' Ὅμηρον ἔξωθεν περιέχων κυκλοτέρωϲ ὅλον τὸν κόϲμον. ZYQXUI

A 423/$Z^s$ ἀμύμοναϲ: ἀμωμήτουϲ, ἀγαθούϲ, ἢ ἀψόγουϲ. ZYQX

ἀγαθοὺϲ om Y ||

A 423/$Z^s$+$U^s$ Αἰθιοπῆαϲ: Αἰθίοπαϲ. ZYQXI | διϲϲοί εἰϲιν οἱ Αἰθίοπεϲ, ὑπὸ Νείλου ὁριζόμενοι, ὡϲ ἡ Ἰθάκη καὶ αἱ λοιπαὶ νῆϲοι. U = IA

A 424/$Z^s$ χθιζόϲ: διὰ τῆϲ χθέϲ. ZYQX$A^{ti}$I

A 424/$Z^s$ μετὰ δαῖτα: ἐπὶ εὐωχίαν. ZYQXI

μετὰ δαῖτα $YQX^{\lambda}$ = Hom : κατὰ δαῖτα $Z^{\lambda}$ (= β 322) $A^t$/Ar ||

A 424/$Z^s$ ἕπονται: ἐπακολουθοῦϲιν. ZY

A 425/$Z^s$ δωδεκάτηι: προϲυπακουϲτέον ¦ ἡμέραι (=$T^r$). ZYQX

A 425/$Z^s$ αὖτιϲ: πάλιν. 'ἐλεύϲεται' δὲ παραγενήϲεται, ἔλθηι. ZYQX

lemma 'ἐλεύϲεται' pro δὲ YQX ||

A 425/$Z^s$ Οὔλυμπον δέ: εἰϲ τὸν Ὄλυμπον. ZYQX

A 426/$Z^s$ Διὸϲ ποτί: πρὸϲ τὸ τοῦ Διόϲ. ZYQX$A^{ti}$

A 426/$Z^s$ χαλκοβατέϲ: ἰϲχυρῶϲ βεβηκόϲ, ϲτερεόν. ZYQX

A 426/$Z^s$ δῶ: δῶμα, οἰκίαν. τὸ δὲ πάθοϲ ¦ ἀποκοπή ($T^r$). ZYQXI (cf Aristot. Poet. 1458a4 "ἀφηιρημένον", 1458b2 "ἀποκοπαί")

A 427/$Z^s$ γουνάϲομαι: γονυπετήϲω (=I), ¦ λιτανεύϲω (=$A^{ti}$). ZYQX

A 427/$Z^s$ πείϲεϲθαι: πειϲθῆναι· ὡϲ ἀμφίβολον δὲ αὐτὸ φηϲὶν διότι ἤιδη τὸ ἀντιπαθὲϲ τῆϲ Ἥραϲ. ZYQXIG*

A 428/$Z^s$ ὣϲ ἄρα: οὕτωϲ δή. ZYQX

A 428/Z$^{s}$ φωνήcαcα: εἰποῦcα. ZYQX

A 428/Z$^{s}$ ἀπεβήcατο: ἀπέβη (=I), ἀπῆλθεν. ZYQX

A 428/Z$^{s}$ ἔλιπεν: κατέλιπεν. 'αὐτοῦ' δὲ ἀντὶ τοῦ αὐτόθι, ἐπὶ τὸν τόπον. ZYQX

lemma 'αὐτοῦ' pro δὲ YQX || τοῦ τόπου Y ||

A 429/Z$^{s}$ χωόμενον: λυπούμενον, ὀργιζόμενον ⌜κατὰ τὴν ψυχήν Y⌝. ZYQX

A 429/Z$^{s}$ εὐζώνοιο: εὐζώcτου, καλῆc καὶ εὐcτόλου, ἀφ' οὗ εὐειδοῦc ἀπὸ μέρουc. ZYQXI

1 εὐcτόλου (≈ A 17𝔓, E 424𝔇) : εὐcτολίcτου ZY ||

A 430/Z$^{s}$ τήν ῥα: ἥντινα δή. ZYQX

A 430/Z$^{s}$ βίηι: βίαι, δυνάμει· ἢ μετὰ βίαc. ZYQX

A 430/Z$^{s}$ ἀέκοντοc: ἄκοντοc καὶ μὴ βουλομένου. ZYQX

A 430/Z$^{s}$ ἀπηύρων: ἀφείλαντο. ZYQXA$^{ti}$ Epim.

ἀφείλοντο YQX Epim. ||

A 430/Y$^{s}$ ἐc Χρύcην: εἰc τὴν Χρύcαν. YQX

A 430/Z$^{s}$ αὐτὰρ Ὀδυccεύc: ὁ δὲ Ὀδυccεὺc ἐν τοcούτωι. ZYQX ~ Δ 221𝔇 τόφρα$^{\lambda}$

A 431/Z$^{s}$ ἵκανε: παρεγένετο, ZYQX | ἔφθαcεν. ZQX

A 431/Y$^{s}$ ἱερήν: ἱεράν, μεγάλην. YQX

A 432/Z$^{s}$ οἱ δ' ὅτε: οὗτοι δὲ ὁπότε. ZYQX

A 432/Z$^{s}$ λιμένοc: τοῦ αἰγιαλοῦ· ¦ 'πολυβενθέοc' δὲ πολὺ βάθοc ἔχοντοc (=I), βαθυτάτου. ZYQX

lemma 'πολυβενθέοc' pro δὲ YQX ||

A 432/Z$^{s}$ ἐντὸc ἵκοντο: ἔcωθεν παρεγένοντο. ZY

A 433/Z$^{s}$ ἱcτία: τῆc νηὸc ἡ ὀθόνη, ὅ ἐcτι ¦ τὸ ἄρμενον (=A$^{ti}$), ἱcτίον λέγεται· ἱcτὸc (434) δὲ τὸ μέγιcτον ξύλον, ἡ κατάρτιοc (~ A 434$^{ti}$ 480𝔇) λεγομένη ὑπὸ τῶν ναυτικῶν. ZYQXI. T$^{r}$ τὰc ὀθόναc.

A 433/Z$^{s}$ cτείλαντο: cυνέcτειλαν, ZYQX | καθεῖλον. ZQX

A 433/Z$^{s}$ θέcαν δέ: ἔθηκαν δέ. ZYQX

A 434/Z$^{s}$ ἱcτοδόκηι: τῆι ὑποδεχομένηι τὸν ἱcτὸν ἱcτοθήκηι· λέγει δὲ τῶι κατὰ τὴν πρύμναν ἀνέχοντι ξύλωι, ZYQXA | καθ' οὗ κλίνεται ὁ ἱcτόc. ZYQAI. A$^{ti}$ ἡ κατάρτη.

1-2 τὸ ... ξύλον Y, τὸ ... ἐξέχον ξύλον A ||

A 434/Z$^{s}$+Q$^{s}$ πέλαcαν: προcεπέλαcαν, προcήγαγον. ZYQX | μετωνυμία· τουτέcτι πελαcθῆναι ἐποίηcαν. QXI, ~T$^{i}$, ξ 350𝔇 358𝔇

A 434/Z$^{s}$ προτόνοιcι: τοῖc προτεταμένοιc κάλοιc (=A$^{ti}$), οἵτινεc τὸν ἱcτὸν περιτείνουcιν ἵνα ἦι ὀρθόc. ZYQXI

1 προτεταγμένοιc Z ||

A 434/Z$^{s}$ ὑφέντεc: ἐνδόcαντεc, ¦ χαλάcαντεc (=A$^{ti}$). ZYQXI

ἐνδόντεc Y, ἐνδώcαντεc X ||

A 435/Z$^{s}$ καρπαλίμωc: ταχέωc. ZYQX

A 435/Z$^{s}$ εἰc ὅρμον: εἰc τὸν ¦ λιμένα (= T$^{r}$), ἀπὸ τοῦ ὁρμεῖν καὶ ἵcταcθαι ἐν αὐτῶι τὰc ναῦc. ZYQXI

ὅρμην Z$^{\lambda}$ ||

A 435/Z$^{s}$ προέρυccαν: προcείλκυcαν, προcήγαγον. ZYQX

προέρυccαν QX$^{\lambda}$ : προέρυcαν ZY$^{\lambda}$, προέρεccαν politicae ||

A 435/Z$^{s}$ ἐρετμοῖc: ἐρέccοντεc ¦ ταῖc κώπαιc (=A$^{ti}$). ZY

↑ A 435/Q$^{s}$ ἐρετμοῖc: εἰρεcίαιc, ¦ κωπηλαcίαιc (≈ B 719𝔇). QX

A 436/Z$^{s}$+U$^{s}$ εὐνάc: τὰc ἀγκύραc. ZQIT$^{r}$ | νῦν λέγει ¦ τὰ cίδηρα (=A$^{ti}$) παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλώμενα εἰc τὸ ὕδωρ καὶ ποιεῖν ἵcταcθαι. τρία δὲ cημαίνει ἡ λέξιc παρὰ τῶι ποιητῆι· τὴν κοίτην (X 190𝔇), ὡc ὅταν λέγηι 'εὐνῆι ἐνὶ μαλακῆι' (I 618), τὴν ἄγκυραν (ι 137𝔇), ὡc νῦν 'ἐκ δὲ εὐνὰc ἔβαλον', τὴν διατριβήν, ὡc τὸ 'ὅθι

φαcὶ Τυφωέος ἔμμεναι εὐνάς' (B 783𝔇). ZYQX(A)U*IG*, ~ Epim. ApS 79,3 | πολλὴν ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή. τὸ δὲ cχῆμα ἐπανάληψις. UIG$T^s$

3 εὐνῆι om A || ἐνὶ om Z || 4 ἐβάλοντο Z, ἔβαλλον A ||

A 436/$Z^s$ ἔβαλον: ἐξέβαλον. ZQX

A 436/$Z^s$ πρυμνήσια: τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῆι γῆι. ZYQX

A 437/$Z^s$ ἐκ δὲ καὶ αὐτοὶ βαῖνον: ἐξέβαινον δὲ καὶ αὐτοί. ZYQX

A 437/$Z^s$ ἐπὶ ῥηγμῖνι: ἐπὶ τῶι αἰγιαλῶι· οὕτω δὲ εἴρηται ἀπὸ τοῦ περιρρήσσεσθαι αὐτῶι τὰ κύματα. ZYQX ~ G Epim.

περιρρεῖσθαι Y, παραρήσσεσθαι QX ||

A 439/$Z^s$ ἐκ δὲ Χρυσηὶς νηὸς βῆ: ἐξέβη δὲ καὶ ἡ Χρυσηὶς τῆς νηός. ZYQX

B 42/Z$^{s}$ ἔνδυνε: ἐνεδύςατο. ZYQX

B 43/Z$^{s}$+Q$^{s}$ νηγάτεον: νεωςτὶ καταςκευαςμένον (=U$^{i}$I$^{i}$A$^{ti}$), ἢ νενηςμένον. ZYQXI | γίνεται δὲ παρὰ τὸ γίνω γατός νεήγατος ὑπερθέςει τοῦ $\overline{ε}$. νηγάτεον ἢ ἀγένητον ἢ λεπτόν, ἢ νεήγατον νεωςτὶ γεγονός. δηλοῖ δὲ ὁ χιτὼν παρ' αὐτῶι καὶ τὸν ςιδηροῦν (~ N 440 χάλκεον). QI, ~ G*TA

B 43/Z$^{s}$ περὶ δ' ἐβάλλετο: περιεβάλλετο δέ. ZYQXI$^{i}$

B 43/Z$^{s}$ φᾶρος: ἱμάτιον. ZYQXA$^{ti}$I$^{i}$

B 44/Z$^{s}$ λιπαροῖςιν: λευκοῖς καὶ εὐτραφέςιν (=T$^{r}$), ἢ προαλειφομένοις ἐν τῶι ὑποδεῖςθαι. ZYQX~I

B 44/Z$^{s}$ ἐδήςατο: ὑπερβατόν, ἵν' ἦι ¦ ὑπεδήςατο (=I$^{i}$). 'πέδιλα' δὲ τὰ ὑποδήματα, ZYQXI | παρὰ τὸ περιειλεῖςθαι αὐτὰ τοῖς ποςί, ZYQXGA | ὅ ἐςτι περιτίθεςθαι. ZQXAG

1 duo scholia τὰ YQX ||

B 45/Z$^{s}$ ἀμφὶ δ' ἄρ ὤμοιςιν βάλετο: περιέθετο (=I$^{i}$) δὲ τοῖς ὤμοις. ZYQX

B 45/Z$^{s}$ ξίφος: τὴν καλουμένην ςπάθην, ἥτις εἴρηται παρὰ τὸ ςπᾶςθαι αὐτὴν τῆς θήκης. ZYQX~IG. A$^{ti}$T$^{r}$ ςπάθην.

B 45/Z$^{s}$ ἀργυρόηλον: ἀργυροῖς ἥλοις διαπεπαρμένον. ZYQX~I$^{s}$I$^{i}$

B 46/Z$^{s}$ εἵλετο δέ: ἔλαβεν δέ. ZYQXI$^{i}$

B 46/Z$^{s}$ ςκῆπτρον: τὴν βαςιλικὴν ῥάβδον· 'πατρώϊον' δὲ προγονικόν. ZYQX

lemma 'πατρώϊον δὲ' :duo acholia QYX ||

B 46/Z$^{s}$ ἄφθιτον: ἀδιάφθαρτον (~I$^{i}$), αἰώνιον· ZYQXI | ὅτι οὐκ ἐδόθη ἐκ τοῦ γένους ἑτέρωι. ZYQA$^{ti}$I

B 47/Z$^{s}$ ςὺν τῶι ἔβη: ςὺν τούτωι ἐπορεύθη. ZYQXI$^{i}$

B 47/Z$^{s}$ χαλκοχιτώνων: ςιδηροθωράκων. ZYQXI$^{i}$

B 48/Z$^{s}$ Ἠὼς μέν ῥα: ἡ ἡμέρα (=I$^{i}$) μὲν δή. ZYQXI

B 48/Z$^{s}$ προςεβήςατο μακρὸν Ὄλυμπον: προςῆλθεν τῶι μεγίςτωι Ὀλύμπωι, ZYQX | τουτέςτιν ¦ ἀνέτειλεν (=A$^{ti}$). ZQXI

B 48/$Y^{s}$ μακρόν: μέγιστον. YQX

B 49/$Z^{s}$ Ζηνί: τῶι Διί. ZYQX$I^{i}$

B 49/$Z^{s}$ φόως: φῶς (= $I^{i}$T). 'ἐρέουσα' δὲ ἀπαγγέλλουσα (=$I^{i}$), δείξουσα. ZYQX

φάος YQX$^{\lambda}$ = E 120𝔇 || lemma 'ἐρέουσα' pro δὲ YQX || ἀπαγγελοῦσα Y, ἀπαγγείλασα X ||

B 49/$Z^{s}$ ἀθανάτοισι: τοῖς θεοῖς. ZYQX

B 50/$Z^{s}$ αὐτὰρ ὅ: οὗτος δὲ ὁ Ἀγαμέμνων. ZYQX. $A^{ti}$ ὁ δὲ Ἀγαμέμνων.

B 50/$Z^{s}$ κηρύκεσσι: τοῖς κήρυξι. ZYQX

B 50/$Z^{s}$ λιγυφθόγγοισι: ἡδυφώνοις, ¦ ὀξυφώνοις (= $I^{i}T^{i}$). ZYQX

B 50/$Z^{s}$ κέλευσε: ἐκέλευσε. ZYQX

B 51/$Z^{s}$ κηρύσσειν: βοᾶν, συγκαλεῖν εἰς τὸν πόλεμον (B 433) (=X), νῦν δὲ εἰς τὸ συνέδριον. ZYQ. $A^{ti}$ βοᾶν, συγκαλεῖν εἰς τὸ συνέδριον.

B 52/$Z^{s}$ ἠγείροντο: συνηθροίζοντο. ZYQX$I^{i}$

B 52/$Z^{s}$ μάλ' ὦκα: πάνυ σπουδαίως. ZYQX$A^{ti}$

B 53/$Z^{s}$ βουλὴν δέ: ἐνταῦθα ¦ τὸ προβούλευμα (=$A^{ti}I^{i}$) λέγει. ZYQX cf A 5𝔇 "γνώμη".

B 53/$Z^{s}$ μεγαθύμων: μεγαλοψύχων (=$I^{i}$), γενναίων. ZYQX

B 53/$Z^{s}$ ἷζε: ἐκάθιζε (=$A^{ti}I^{i}$), καθίδρυε. ZYQXI

ἐκάθισε καθίδρυσεν QX ||

B 53/$Z^{s}$ γερόντων: ἐντίμων, πρεσβυτῶν. ZYQX

πρεσβυτέρων YQX ||

B 54/$Z^{s}$ Νεστορέηι παρὰ νηΐ: παρὰ τῆι τοῦ Νέστορος νηΐ. ZYQX$I^{i}$

B 54/$Z^{s}$ Πυλοιγενέος: τοῦ ἐν τῆι Πύλωι γεγενημένου. ZYQX$I^{i}$

γεγεννημένου Z ||

B 55/$Z^{s}$ πυκινήν: συνετήν (=$I^{i}$), σώφρονα. ZYQX$A^{ti}$

B 55/$Z^{s}$ ἠρτύνετο: παρεσκεύασεν (~$I^{i}$), ¦ ἐποίησεν (=$A^{ti}$). ZYQX

B 56/$Z^{s}$ κλῦτε: ἀκούσατε. ZYQX$A^{ti}I^{i}$

B 56/$Z^{s}$ ἐνύπνιον: "κατὰ τοὺς ὕπνους" (I, Ak ὅτι ..., ~$I^{i}$). 'θεῖος' δὲ ἤτοι ὁ θαυμαστὸς (=$I^{i}$) ἢ θεόπεμπτος. ZYQX

lemma 'θεῖος' pro δὲ YQX || ὁ om YQX ||

B 57/$Z^{s}$+$Q^{s}$ ἀμβροσίην διὰ νύκτα: διὰ τῆς θείας νυκτός. ZYQ~U$I^{i}$ | γίνεται δὲ ἀπὸ τοῦ βροτὸς βροτίη καὶ τροπῆι τοῦ $\overline{\tau}$ εἰς $\overline{\sigma}$ βροσίη, καὶ ἀμβροσίη, ἐν ἧι βροτοὶ οὐ πορεύονται. QU=$I^{m}$ ~ K $41^{t}$, Ξ 78/Ak, Epim. α 7

B 57/$Z^{s}$ μάλιστα δέ: ὑπερβαλλόντως, ἐξαιρέτως. ZYQX

B 58/$Z^{s}$ εἶδος: τὸν τῆς ὄψεως χαρακτῆρα (=I). 'μέγεθος' δὲ προσυπακουστέον τὸ τοῦ σώματος. ZYQX cf $T^{r}$

1 lemma 'μέγεθος' pro δὲ YQX || τὸ om Y ||

B 58/$Z^{s}$ φυήν: φύσιν (=$I^{i}$), τρόπον. ZYQX$A^{ti}$

B 58/$Z^{s}$ ἄγχιστα: ἔγγιστα. ZYQX$A^{ti}$

B 58/$Z^{s}$ ἐώικει: ὡμοίωτο. ZYQX$I^{i}$

B 70/$Z^{s}$ ὣς ὁ μέν: οὕτως (=$I^{i}$) μὲν δὴ οὗτος. ZYQX

ὣς : ὃς Z$^{\lambda}$ || .. οὕτως : ουτος Z ||

B 71/$Z^{s}$ ᾤχετο: ἀπήιει Z, ¦ ἀπήρχετο (=$A^{ti}$). ZQX

B 71/$Z^{s}$ ἀποπτάμενος: ἀποπτάς, ¦ ταχέως ἀπελθών (=$A^{ti}$). ZYQX

B 71/$Z^{s}$ γλυκύς: γνήσιος, ἡδύς. ZYQX

B 71/$Z^{s}$ ἀνῆκεν: κατέλιπεν (=$A^{ti}$), ἀφῆκεν. ZYQX

B 72/$Z^{s}$ αἴ κέν πως: ὅπως (=$I^{i}$) ἄν. ZQX | ἐάν πως. Y = A 66𝔇

B 72/$Z^{s}$ θωρήξομεν: καθοπλίσωμεν. Z$I^{i}$L

B 73/$Z^{s}$ ἐπέεσσι (= Y 367, ἔπεσιν Hom.): λόγοις. Z = B 342𝔇

B 73/Z$^s$ πειρήϲομαι: ἀπόπειραν λήψομαι (=X). ἀπόπειραν δὲ λαμβάνει τοῦ πλήθουϲ ὁ βαϲιλεὺϲ Ἀγαμέμνων κατά τι παλαιὸν ἔθοϲ βουλόμενοϲ μαθεῖν πότερον γνώμηι οἰκείαι πολεμοῦϲιν ἢ ἀνάγκηι. ZYQATUIG*

1 πεῖραν X = M 301𝔇 || 1-2 τοῦ πλήθουϲ λαμβάνει ὁ Ἀγαμέμνων U || 2 πρότερον ZA ||

B 73/Z$^s$ ἣι θέμιϲ ἐϲτίν: ὡϲ νενόμιϲται καὶ ¦ ὡϲ προϲῆκόν ἐϲτιν (~I$^i$). ZYQXA$^{ti}$I

ἡ Z$^λ$, ἢ Y$^λ$, ἣ QX$^λ$, ἣ / ἧι vv.ll. Hom. || καὶ om QXA$^t$ || ὡϲ$^2$ om Y ||

B 74/Z$^s$ πολυκλήϊϲι: πολυκαθέδροιϲ (=I$^i$), ἐξ οὗ πολυκώποιϲ (=A$^{ti}$)· ¦ κληῖδεϲ γὰρ καλοῦνται αἱ τῶν ἐρεϲϲόντων καθέδραι (~I$^m$). ZYQXI

B 74/U$^s$ ⌞φεύγειν⌟ διὰ τί ἀϲτρατηγητικῶϲ φεύγειν τοὺϲ ὄχλουϲ προϲτάϲϲει ὁ Ἀγαμέμνων; ῥητέον ὅτι τῆι μεταγωγῆι τῶν πραγμάτων νεωτέραϲ τὰϲ ψυχὰϲ ποιῆϲαι ἠβουλήθη, ὅπωϲ ἐπιθυμίαι τῶν πατρίδων τέμωνται τὸν χρόνον τοῦ πολέμου. UG

1 ἀϲτρατηγικῶϲ G || 2 ἐβουλήθη G || 3 ἐπιτέμωνται G ||

B 75/Z$^s$ ἄλλοθεν ἄλλοϲ: ἄλλοϲ ¦ ἀλλαχόθεν (=I$^i$). ZYQX

B 75/Z$^s$ ἐρητύειν: κατέχειν, ¦ κωλύειν (=I$^i$). ZYQX

B 77/Z$^s$ ἦν: ὑπῆρχεν. ZYQX

B 77/Z$^s$ ἠμαθόεντοϲ: ψαμμώδουϲ (=T$^r$I$^i$), τραχείαϲ (=A$^{ti}$I$^i$). ἄμαθοϲ γὰρ ἡ ψάμμοϲ. ZYQX

B 79/Z$^s$ ἡγήτορεϲ: ἡγεμόνεϲ. ZYQX

B 79/Z$^s$ ἠδὲ μέδοντεϲ: καὶ πρόβουλοι. ZYQXA$^{ti}$

πρόβολοι Z ||

B 80/Z$^s$+Q$^s$ ἔνιϲπεν: εἶπεν (=I$^i$), ZYQXI | ἔλεξεν. QX ≃ ε 98𝔇

B 80/U$^s$ ζητεῖται διὰ τί κόλακα τὸν Νέϲτορα παρειϲάγει Ἀγα(μέμνονοϲ) λέγοντα 'εἰ μέν τιϲ τὸν ὄνειρον Ἀχαιῶν ἄλλοϲ'. ῥητέον οὖν ὅτι φιλοϲόφου ἐνθυμήματι χρῆται πιϲτεύϲαϲ τῶι ὀνείρωι, ὁποῖον τι Μένανδροϲ ἐπεφώνει εἰπών· 'ἃ γὰρ μεθ' ἡμέραν τιϲ ⟨ὑπερ⟩εϲπούδαϲε, ταῦτ' εἶδεν νύκτωρ' (fr. 660 K.-A.). εἰδὼϲ οὖν ἐνθυμούμενον τὰ τοῦ πολέμου τὸν Ἀγαμένονα, εἰκότωϲ εἴρηκεν ἀληθῆ τὸν ὄνειρον εἶναι. UIG, cf Porph. 25,24 (U post 73)

3 ἐπεφώνηϲεν G || 4 ⟨ὑπερ⟩εϲπούδαϲε G ||

B 81/Z$^s$ ψεῦδόϲ κεν: ψεῦδοϲ ἄν. ZYQ

B 81/Z$^s$ φαῖμεν: ἐλογιϲάμεθα (~U$^i$I$^i$), ὑπελάβομεν. ZYQA$^{ti}$

ἐλογιϲάμεθα : λογιζοίμεθα καὶ QU ||

B 81/Z$^s$ νοϲφιζοίμεθα: χωριζοίμεθα. ZYQA$^{ti}$I$^i$

B 82/Z$^s$ ἴδεν: ἐθεάϲατο. ZYQ

B 82/Z$^s$ μέγ' ἄριϲτοϲ: μεγάλωϲ ἄριϲτοϲ. ZYQ

B 82/Z$^s$ εὔχεται: αὐχεῖ, ¦ καυχᾶται (=I$^i$). ZYQ

B 84/Z$^s$ βουλῆϲ ἐξ ἦρχε: προηγεῖτο (=I$^i$) τῆϲ ἐκ τοῦ προβουλίου ἐξόδου. ZYQA$^{ti}$~T$^r$

B 84/Z$^s$ νέεϲθαι: πορεύεϲθαι. ZYQI$^i$ = ApS 115,4

B 85/Z$^s$ ἐπανέϲτηϲαν: ὀρθοὶ ἔϲτηϲαν. ZYQA$^{ti}$I$^i$

B 85/Z$^s$ πείθοντό τε: καὶ ἐπείθοντο. ZYQ

B 85/Y$^s$ ποιμένι: βαϲιλεῖ. YQI$^i$

B 86/Z$^s$ ϲκηπτοῦχοι βαϲιλῆεϲ: ϲκηπτροφόροι (=I$^i$) βαϲιλεῖϲ. ZYQX

B 86/Z$^s$ ἐπεϲϲεύοντο: ἐπηκολούθουν. ZYQX

B 87/Z$^s$ ἠΰτε: καθάπερ (=I$^i$), ὃν τρόπον. ZYQX

B 87/Z$^s$ ἔθνεα: ἔθνη, ¦ πλήθη (=I$^i$). ZYQX

B 87/Z$^s$ εἶϲι: ἄπειϲιν, ¦ πορεύονται (=A$^{ti}$). ZYQX

B 87/Z$^s$ μελιϲϲάων: μελιϲϲῶν. καὶ ἔϲτιν τὸ ϲχῆμα ἐπέκταϲιϲ, ZYQX | ἴδιον δὲ Ἰώνων. ZYQ ~ B 117𝔇 πολλάων

B 87/$Z^{s}$+$Y^{s}$ ἀδινάων: τῶν ἅδην καὶ ἀθρόωϲ πετομένων. ZYQX$A^{ti}T^{r}$~$I^{i}$ | παρὰ τὸ ἅδην, διὸ δαϲύνεται. YQXT~$I^{i}$

1 αδειναων $Z^{\lambda}$, ἀδινάων $Y^{\lambda}$ / ἁδινάων $QX^{\lambda}$ = vv.ll. Hom. || ἅδην καὶ om $A^{t}$ ||

B 87/$U^{s}$ ⌊ἠΰτε ἔθνεα .. μελιϲϲάων⌋ πρώτη δὲ αὕτη παραβολὴ τῶι ποιητῆι. ϲυγγενὲϲ δὲ ποιητικῆϲ τὸ ζῶιον διὰ τὸν μόχθον καὶ τὸ γλυκὺ καὶ τὴν ϲύνθεϲιν τοῦ κηρίου. ἡ μὲν οὖν φαλαγγηδὸν γενομένη πρόϲοδοϲ εὖ ἔχει· ὡπλιϲμέναι τε κέν-τροιϲ εἰϲίν, ὑπήκοοι τε καὶ αὐταί εἰϲι καὶ ἐπὶ ἔργον ἐξίαϲιν, οὐχ ὡϲ αἱ γέρανοι (Γ 3-7), φιλάλληλοί τε εἰϲὶ μεταβαίνουϲαί τε πολλὰϲ ἀρχὰϲ πτήϲεωϲ ποιοῦνται. U = $I^{s}T^{s}A^{s}$

B 88/$Z^{s}$ πέτρηϲ ἐκ γλαφυρῆϲ: ἔκ τινοϲ ¦ κοίληϲ (=$A^{ti}I^{i}$) πέτραϲ. ZYQX

τινοϲ Z : τῆϲ YQX ||

B 88/$Z^{s}$ αἰεὶ νέον ἐρχομενάων: διὰ παντὸϲ νέαι τῆι πτήϲει χρωμένων, ὡϲ νομίζειν νεωϲτὶ ἀρχὴν πεποιηκέναι, ZYQX$I^{i}$ | τουτέϲτιν διὰ παντὸϲ ἱπταμένων. Z$I^{i}$

B 89/$Z^{s}$ βοτρυδὸν δὲ πέτονται: ϲυνεϲτραμμέναι καὶ ϲυνηγμέναι ὡϲ ἐν βότρυοϲ ϲχήματι. ZYQX$I^{i}$ (cf $T^{s}$+$A^{ts}$ πυκναὶ καὶ ἐξηρτημέναι ἀλλήλων ὡϲ ῥᾶγεϲ)

B 89/$Z^{s}$ ἐπ' ἄνθεϲιν εἰαρινοῖϲι: ἐπὶ τοῖϲ ἄνθεϲι τοῖϲ κατὰ τὸ ἔαρ γιγνομένοιϲ. ZYQX

B 90/$Z^{s}$+$Y^{s}$ αἳ μέν τε ἔνθα: καὶ αἱ μὲν τῶν μελιϲϲῶν ἐνταῦθα πέτονται, αἱ δὲ ἐκεῖϲε ZYQ~$I^{i}$ | ἀθρόωϲ καὶ ¦ (ἅλιϲ) αὐτάρκωϲ (=$I^{i}$). YQ = Φ 235𝔇 + E 349𝔇

1 ἐκεῖ Y || 2 ἀθρόωϲ καὶ αὐτάρκωϲ Y : καὶ ἀθρόωϲ Q ||

↑ B 90/$Z^{s}$ ἅλιϲ: δαψιλῶϲ, πολλαὶ ἅμα. ZYQX$A^{ti}$

↑ B 90/$Z^{s}$ πεποτήαται: πέτονται. ZYQX$I^{i}$

B 91/$Z^{s}$ νεῶν ἄπο: ἀπὸ τῶν νηῶν καὶ τῶν ϲκηνῶν. ZYQX$I^{i}$

↑ B 91/$Y^{s}$ νεῶν ἄπο: ἀπὸ τῶν πλοίων. YQX post 54 Πυλοιγενέοϲ

1 ἀπὸ Y : ἄποθεν QX ||

B 92/$Z^{s}$ ἠϊόνοϲ: αἰγιαλοῦ. ZYQX$I^{s}I^{i}$

B 92/$Z^{s}$ προπάροιθεν: ἔμπροϲθεν. ZYQX$I^{i}$

B 92/$Z^{s}$ βαθείηϲ: ἤτοι κοίληϲ ἢ μακρᾶϲ. Z$A^{ti}$

B 92/$Z^{s}$ ἐϲτιχόωντο: ἐν τάξει παρεγίνοντο. ZYQX~$I^{i}$

B 93/$Z^{s}$ ἰλαδόν: τουτέϲτιν κατὰ ἴλαϲ καὶ ¦ ϲυϲτροφάϲ (=$I^{i}$). ZYQX

ἰλαδὸν / εἰλαδὸν $ZY^{\lambda}$ = vv.ll. Hom., ἰλαδὸν $QX^{\lambda}$ || ἴλαϲ X : ϊλὰϲ Z, εἴλαϲ Y, ἴλαϲ Q ||

B 93/$Z^{s}$ μετὰ δέ ϲφιϲιν: ἐν αὐτοῖϲ δέ. ZYQX$A^{ti}$

B 93/$Z^{s}$ ὄϲϲα: θεία ¦ φήμη (=$I^{i}$) καὶ κληδών. ZYQX ~ $A^{td}$ ὅτι ...

B 93/$Z^{s}$ δεδήει: ἐξῆπτο, διεγήγερτο. ZYQX

B 94/$Z^{s}$ ὀτρύνουϲα: παρακελευομένη (=$A^{ti}$), παρορμῶϲα. ZYQX

B 94/$Z^{s}$ ἰέναι: παραγίνεϲθαι. ZYQX

παραγενέϲθαι YQX ||

B 94/$Z^{s}$ ἀγέροντο: ἠθροίζοντο. ZYQX$A^{ti}$~$I^{i}$

ϲυνηθροίζοντο YQX ||

B 95/$Z^{s}$ τετρήχει: ἐτετράχυτο ὑπὸ θορύβου (~$I^{i}$), ¦ θορυβώδηϲ ἦν (=$A^{ti}$). ZYQX

ἐτετράχυντο ZY ||

B 95/$Z^{s}$ ὑπὸ δὲ ϲτεναχίζετο γαῖα: ὑπέϲτενεν δὲ ἡ γῆ (~$I^{i}$) καὶ ἦχον ἀπετέλει. ZYQX

B 96/$Z^{s}$ ἱζόντων: καθιζόντων. ZQX$I^{i}$

B 96/$Z^{s}$ ὅμαδοϲ δ' ἦν: θόρυβοϲ (=$I^{i}$) δὲ ἦν. ZYQX

B 96/$Z^{s}$ ἐννέα δέ ϲφεαϲ: ἐννέα δὲ αὐτούϲ. ZYQ$I^{s}$+$I^{i}$

B 97/$Z^{s}$ βοόωντεϲ: βοῶντεϲ. ZYQX

B 97/$Z^{s}$ ἐρήτυον: κατεῖχον. ZYQX$A^{ti}$

B 97/$Z^{s}$ ἀϋτῆϲ: βοῆϲ. ZYQX

B 98/$Z^{s}$ ϲχοίατο: ἀπόϲχοιντο, παύϲαιντο. ZYQX$A^{ti}$

ἀπόϲχυντο παύϲαντο Z ||

B 98/$Z^s$ διοτρεφέων: τῶν Διὸς γνώμηι τεθραμμένων. ZYQX

B 98/$Z^s$ βασιλήων: βασιλέων. ZYQX

B 99/$Z^s$ ϲπουδῆι: μόλιϲ (=$I^i$), δυϲχερῶϲ. ZYQX. $A^{ti}$ μόγιϲ, ~ Ak ὅτι ..., ApS 144,10

B 99/$Z^s$ ἐρήτυθεν: κατεῖχον ἕκαϲτοϲ τὰϲ ἑαυτοῦ καθέδραϲ. ZYQX$A^{ti}T^r$~$I^i$

B 100/$Z^s$ κλαγγῆϲ: κραυγῆϲ, ¦ βοῆϲ (=$I^i$). ZYQX

B 100/$Z^s$+$Q^s$ ἀνὰ δ' .. ἔϲτη ⌞ϲκῆπτρον ἔχων: ἀνέϲτη δέ. ZYQX | ἀνέχων τὸ ϲκῆπτρον ἔϲτη. QXT~$I^i$

B 100/$Z^s$ κρείων: βαϲιλεύϲ. ZYQX$A^{ti}$

B 101/$Z^s$+$Q^s$ κάμε: ἔκαμεν, κατεϲκεύαϲεν. ZYQ | καμὼν ἔτευξεν· ἀναϲτροφὴ (~$I^i$G) δὲ ὁ τρόποϲ. QT. $A^{ti}$ ἀντιϲτροφή = $T^sG^s$.

B 101/$Z^s$ τεύχων: καταϲκευάζων. ZY

B 102/$U^s$ Ἥφαιϲτοϲ μὲν δῶκε Διὶ Κρονίωνι: τοῦτο καὶ τὰ ἑξῆϲ ἄχρι τοῦ 'αὐτὰρ ὃ αὖτε Θυέϲτ' Ἀγαμέμνονι λεῖπε φορῆναι' (107) καλεῖται κλῖμαξ (~G). τὸ λῆγον γὰρ τῆϲ διανοίαϲ ἀρχὴ γίνεται τῶν ἑξῆϲ. δίδωϲι δὲ Ἥφαιϲτοϲ τῶι μὲν Διὶ τὸ ϲκῆπτρον ὡϲ βαϲιλικόν, τῶι Ἑρμῆι δὲ πάλιν ὁ Ζεὺϲ δίδωϲιν ὡϲ κήρυκι. UI, ~ $A^s$+$A^t$

B 102/$Z^s$ Κρονίωνι: Κρόνου παιδὶ Διί. ZYQ

B 103/$Z^s$ διακτόρωι: διακόνωι. Z | διάγοντι (=$I^i$) τὰϲ ἀγγελίαϲ τῶν θεῶν (=X). ἢ διατόρωι καὶ ϲαφεῖ κατὰ τὸ λέγειν. ἢ τῶι διαγγέλλοντι καὶ ϲημαίνοντι τὰϲ ἐργαϲίαϲ. ZYQUI

B 103/$Z^s$ Ἀργειφόντηι: ἀργῶι καὶ καθαρῶι φόνου (~$T^s$)· εἰρηνικὸϲ γὰρ ὁ θεόϲ. ἢ ὥϲ τινεϲ κατ' ἐπώνυμον, ὅ ἐϲτιν ἐξ αἰτίαϲ τοιαύτηϲ· Ἰοῦϲ τῆϲ Ἰνάχου θυγατρὸϲ τοῦ Ἀργείων βαϲιλέωϲ Ζεὺϲ ἐραϲθεὶϲ καὶ γνοὺϲ αὐτὴν μετέβαλεν εἰϲ βοῦν διὰ τὸν Ἥραϲ ζῆλον. Ἥρα δὲ αἰτηϲαμένη αὐτὴν παρὰ Διὸϲ καὶ λαβοῦϲα ἐπέϲτηϲεν αὐτῆι φύλακα Ἄργον τὸν πανόπτην καλούμενον, ἐπειδὴ κατὰ παντὸϲ τοῦ ϲώματοϲ εἶχεν ὀφθαλμούϲ. κελευϲθεὶϲ δὲ Ἑρμῆϲ ὑπὸ τοῦ Διὸϲ κλέψαι τὴν βοῦν, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο τὸν Ἄργον λίθωι βαλὼν ἀπέκτεινεν καὶ ἐντεῦθεν Ἀργειφόντηϲ ἐκλήθη. τῆι δὲ Ἰοῖ ἡ Ἥρα ὡϲανεὶ βοῒ οἶϲτρον ἐμβάλλει· ἡ δὲ ἐκ τῆϲ ὀδύνηϲ πρῶτον ἦλθεν ἐπὶ τὸν ἀπ' ἐκείνηϲ Ἰόνιον κόλπον κληθέντα. ἔπειτα διὰ τοῦ καλουμένου πρότερον Θραικίου πόρου νῦν δὲ ἀπ' ἐκείνηϲ Βοϲπόρου ἐλθοῦϲα, καὶ ἄλλουϲ δὲ διαφόρουϲ τόπουϲ πλανηθεῖϲα ἦλθεν εἰϲ Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦϲα τίκτει παρὰ τῶι Νείλωι ποταμῶι παῖδα Ἔπαφον. ἡ δὲ ἱϲτορία πλατύτερον κεῖται παρὰ Ἀπολλοδώρωι ἐν B (bibl. 2,1,3). ZYQXAUI

1 εἰρηνικὸϲ ... θεόϲ om A || 12 παῖδα om A || 13 δευτέρωι AUI ||

B 104/$Z^s$ Ἑρμείαϲ δὲ ἄναξ δῶκε Πέλοπι πληξίππωι: ἵππουϲ πλήϲϲοντι (=$I^i$), ἱππικῶι. Ἱπποδάμεια ἡ Οἰνομάου θυγάτηρ ἐραϲθεῖϲα Πέλοποϲ Μύρτιλον τὸν Ἑρμοῦ μὲν υἱόν, ἡνίοχον δὲ τοῦ ἑαυτῆϲ πατρόϲ, ἔπειϲε τῆι κατὰ τοῦ πατρὸϲ νίκηι ϲυνεργῆϲαι καὶ τοὺϲ ἵππουϲ τῆϲ εἰϲ τὸ τρέχειν ὁρμῆϲ καταϲχεῖν, βουλομένη τὸν Πέλοπα καὶ τοὺϲ ἵππουϲ λαβεῖν καὶ τὸν ἑαυτῆϲ γάμον. ἔκειτο γὰρ τῶι νικήϲαντι ἔπαθλον ὁ ταύτηϲ γάμοϲ, νικηθέντι δὲ θάνατοϲ. ἀγωνιζομένων δὲ αὐτῶν ὁ Οἰνόμαοϲ ἐκπίπτει τοῦ ἅρματοϲ· οὐ γὰρ αἱ χοινικίδεϲ τοὺϲ ἐμβόλουϲ κατέϲχον, τοῦτο πανουργήϲαντοϲ τοῦ Μυρτίλου. γνοὺϲ δὲ τὴν ἐπιβουλὴν ὁ Οἰνόμαοϲ ἀρὰϲ ἔθετο κατὰ Μυρτίλου ὅπωϲ ἀπόληται ὑπὸ Πέλοποϲ, ὃ καὶ ἐγένετο. διαβαινόντων γὰρ αὐτῶν διὰ τοῦ Αἰγαίου πόντου καὶ διψηϲάϲηϲ τῆϲ Ἱπποδαμείαϲ καταβὰϲ ἐκ τοῦ ἅρματοϲ ὁ Πέλοψ ἐζήτει ὕδωρ κατὰ τῆϲ ἐρήμου. κατ' ἐκεῖνο δὲ καιροῦ Ἱπποδάμεια ἐραϲθεῖϲα Μυρτίλου ἐδέετο μὴ ὑπεριδεῖν· ἀντειπόντοϲ δὲ αὐτοῦ καὶ τοῦ Πέλοποϲ παραγενομένου, φθάνει ἡ Ἱπποδάμεια κατηγορήϲαϲα τοῦ Μυρτίλου ὡϲ βιαϲαμένου αὐτὴν καὶ Μύρτιλον Πέλοψ ἀπὸ τοῦ ἅρματοϲ ὠθεῖ εἰϲ τὸ πέλαγοϲ, αὐτὸϲ δ' αὐτὴν ἡνιόχει. ὅθεν τὸ μὲν πέλαγοϲ Μυρτῶον ἀπὸ Μυρτίλου, ὁ Πέλοψ δὲ πλήξιπποϲ ἔκτοτε ἐκλήθη διὰ τὴν τῶν ἵππων αὐτουργίαν. ZYQXAUI

1 ἱππικῶι Z : πολεμικῶι YQX || 2 μυρτίλλου A || 3 ἑαυτοῦ A || 5 ‹τὸ› ἔπαθλον Z || 6 δὲ[1] om $Z^1$ || 10 αἰγείου A || πόντου : πελάγουϲ UI || 14 αὐτῆι YQXAU || 17 ἔκτοτε ἐκλήθη om A ||

B 105/Z$^{s}$ αὐτὰρ ὁ αὖτε Πέλοψ: ὁ δὲ Πέλοψ ¦ πάλιν (=I$^{i}$) ἔδωκεν αὐτὸ τῶι Ἀτρεῖ. Πέλοψ ἐκ προτέραϲ γυναικὸϲ ἔχων παῖδα Χρύϲιππον ἔγημεν Ἱπποδάμειαν τὴν Οἰνομάου ἐξ ἧϲ ἱκανοὺϲ ἐπαιδοποίηϲεν. ἀγαπωμένου δὲ ὑπ' αὐτοῦ ϲφόδρα τοῦ Χρυϲίππου, ἐπιφθονήϲαντεϲ ἥ τε μητρυιὰ καὶ οἱ παῖδεϲ μήπωϲ καὶ τὰ ϲκῆπτρα αὐτῶι καταλείψηι, θάνατον ἐπεβούλευϲαν, Ἀτρέα καὶ Θυέϲτην τοὺϲ πρεϲβυτάτουϲ τῶν παίδων εἰϲ τοῦτο προϲτηϲάμενοι. ἀναιρεθέντοϲ οὖν τοῦ Χρυϲίππου Πέλοψ ἐπιγνοὺϲ ἐφυγάδευϲε τοὺϲ αὐτόχειραϲ αὐτοῦ γενομένουϲ παῖδαϲ, ἐπαραϲάμενοϲ αὐτοῖϲ καὶ τῶι γένει αὐτῶν ἀναιρεθῆναι. οἱ μὲν οὖν ἄλλοι ἀλλαχῆι ἐκπίπτουϲι τῆϲ Πίϲηϲ· τελευτήϲαντοϲ δὲ τοῦ Πέλοποϲ Ἀτρεὺϲ κατὰ τὸ πρεϲβυτερεῖον ϲὺν ϲτρατῶι πολλῶι ἐλθὼν ἐκράτηϲεν τῶν τόπων. ἱϲτορεῖ Ἑλλάνικοϲ (FGrHist 4F157 = Fowler, cf sch. Eur. Or. 4). ZYQXAUI

3 ἀγαπωμένη A || 7 αὐτοῦ : αὐτῶν Z || 9 πείϲηϲ ZA : πίϲϲηϲ QXUI, χώραϲ Y || πρεϲβυτερεῖον (Z)Y, πρεϲβυτέριον QX(A)UI || 10 τὸν τόπον Z, τοῦ τόπου UI || ἡ ἱϲτορία παρὰ ἑλλανίκω I ||

B 106/Z$^{s}$ πολύαρνι: πολυθρέμμονι (=I$^{i}$), πλουϲίωι (=A$^{ti}$). Ἀτρεὺϲ ὁ Πέλοποϲ βαϲιλεύων τῆϲ Πελοποννήϲου ηὔξατό ποτε ὅ τι ἂν κάλλιϲτον ἐν τοῖϲ ποιμνίοιϲ αὐτοῦ γεννηθῆι τοῦτο Ἀρτέμιδι θῦϲαι. γεννηθείϲηϲ δὲ αὐτῶι χρυϲῆϲ ἀρνὸϲ τῆϲ εὐχῆϲ μετεμέληϲεν καὶ καθείρξαντα εἰϲ λάρνακα φυλάττειν, μέγα δέ τι φρονοῦντα ἐπὶ τῶι κτήματι κομπάζειν κατὰ τὴν ἀγοράν. ἀνιώμενον δὲ ἐπὶ τούτωι Θυέϲτην ὑπελθόντα ὡϲ ἐρῶντα πεῖϲαι τὴν Ἀερόπην ἐκδοῦναι αὐτῶι τὸ κτῆμα. λαβόντα δὲ ἀντειπεῖν τῶι ἀδελφῶι ὡϲ οὐ δεόντωϲ περὶ τοῦ τοιούτου κομπάζει, αὐτὸϲ δὲ ἔλεγεν ἐν τῶι πλήθει δεῖν τὴν βαϲίλειαν ἔχειν τὸν τὴν χρυϲῆν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντοϲ καὶ Ἀτρέωϲ Ζεὺϲ Ἑρμῆν πέμπει πρὸϲ Ἀτρέα ϲυνθέϲθαι λέγων περὶ τῆϲ βαϲιλείαϲ καὶ δηλοῖ περὶ τῆϲ ἀνατολῆϲ διότι μέλλει ποιεῖϲθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιοϲ. ϲυνθεμένου δὲ περὶ τούτων ὁ ἥλιοϲ τὴν δύϲιν εἰϲ ἀνατολὰϲ ἐποιήϲατο, ὅθεν ἐκμαρτυρήϲαντοϲ τοῦ δαιμονίου τὴν Θυέϲτου πλεονεξίαν τὴν βαϲιλείαν Ἀτρεὺϲ παρέλαβεν καὶ Θυέϲτην ἐφυγάδευϲεν. ZYQAUI, ~ sch. E. Or. 811, Apd. epit. 2,10-12

4 μετεμελήθη A || καὶ καθείρξαντα : καθείρξαντα δὲ A || 5 τούτωι : τοῦτον A || 7 κομπάζειν Z || 9 καὶ ἀτρέωϲ : τοῦ ἀτρέωϲ A ||

B 107/Z$^{s}$ αὐτὰρ ὃ αὖτε Θυέϲτ' Ἀγαμέμνονι: ἀντὶ τοῦ Θυέϲτηϲ (=A$^{ti}$, Ak ὅτι ...) δὲ κατέλειψεν θνήϲκων Ἀγαμέμνονι τὸ ϲκῆπτρον. ¦ Ἀτρεὺϲ βαϲιλεύων τῆϲ Πελοποννήϲου ἔχων δὲ ἐκ Κρεούϲηϲ τῆϲ Τελέϲτοροϲ, ἢ ὥϲ τινεϲ, Ἀερόπηϲ τῆϲ Κατρέωϲ Ἀγαμέμνονα καὶ Μενέλαον, μέλλων τελευτᾶν τὸν βίον ϲπειϲάμενοϲ πρὸϲ τὸν ἀδελφὸν {τὴν ἔχθραν} παραδίδωϲιν αὐτῶι τὴν βαϲιλείαν, ἵνα Ἀγαμέμνονι ἀνδρωθέντι ἀποδῶι· ὁ δὲ πιϲτῶϲ ποιήϲαϲ ἀποδίδωϲιν (=UG). ZYQXI cf B 249𝔇

2 κατέλιπε YQXI || 5 τὴν ἔχθραν delevi ||

↑ B 107/U$^{s}$ αὐτὰρ ὃ αὖτε Θυέϲτ' Ἀγαμέμνονι: ἀντὶ τοῦ Θυέϲτηϲ ἢ ἀντὶ τοῦ Θυέϲτα, ἵν' ἦ Θυέϲτα ἡ εὐθεῖα. μεταπλαϲμὸϲ δὲ τοῦτο καλεῖται ὡϲ τὸ 'μητίετα Ζεύϲ' (A 508, cf A 195)), χρῶνται δὲ αὐτῶι κατ' ἐξουϲίαν οἱ ποιηταί. καίτοι τὸ ᾱ οὐκ ἔϲτι καταληκτικὸν ἀρϲενικοῦ ὀνόματοϲ. ἢ νοήϲομεν ὅτι κλητικὴν ἀντὶ εὐθείαϲ εἶπε· πολλάκιϲ γὰρ καὶ τοῦτο ποιεῖ. UIG

B 107/Z$^{s}$ φορῆναι: φορεῖν, ¦ βαϲτάζειν (=I$^{i}$). ZYQX

B 108/Z$^{s}$ πολλῆιϲιν: πολλαῖϲ. ZYQXI$^{i}$

B 108/Z$^{s}$ νήϲοιϲι: νήϲοιϲ (=I$^{i}$)· νῆϲοϲ δέ ἐϲτιν γῆ περιεϲτοιχιϲμένη ὑπὸ θαλάϲϲηϲ πανταχόθεν ἔχουϲα ἐν ἑαυτῆι πόλειϲ πολλὰϲ ἢ καὶ ὀλίγαϲ, μίαν μόνον ἔξοδον ἔχουϲα ἐπὶ τὴν ξηρὰν εἰ τύχοι (=I). ἴϲωϲ δὲ εἴρηται ἀπὸ τοῦ ὀρνέου τῆϲ νήϲϲηϲ ἥτιϲ καὶ αὐτὴ διὰ παντὸϲ τοῖϲ κύμαϲι τῶν ὑδάτων νήχεται. ZYQXUG*

2 ἐν αὐτῆι YQX || 2-3 μίαν ... τύχοι interpretationem vocis χερϲόνηϲοϲ om YQXU ||

B 108/Z$^{s}$ Ἄργεϊ παντί: παντὸϲ Ἄργουϲ, ὅληϲ τῆϲ Πελοποννήϲου. ZYQX

B 109/Z$^{s}$ τῶι ὅ γ': τούτωι τῶι ϲκήπτρωι οὗτοϲ (~I$^{i}$), τουτέϲτιν ¦ ὁ Ἀγαμέμνων (=A$^{ti}$). ZYQX

B 109/Z$^{s}$ ἐρειϲάμενοϲ: ἐπερειϲθείϲ. ZYQX

B 109/Z[s] ἔπεα: λόγους. ZYQXI[i]

B 109/Z[s] μετηύδα: ἐν αὐτοῖς ¦ εἶπεν (=I[i]). ZYQX

B 110/Z[s] ὦ φίλοι: ὦ προσφιλέστατοι. ZYQX

B 110/Z[s] θεράποντες Ἄρηος: ὑπηρέται τοῦ Ἄρεος, ZYQX | πολεμικοί. ZQXA[ti]

ἄρεος[2] : αρηος Z || πολεμικοῦ Z ||

B 111/Z[s] μέγα: μεγάλως. ZYQX. A[ti] ἀντὶ τοῦ μεγάλως, ~ ApS 110,11.

B 111/Z[s] ἄτηι: βλάβηι. ZYQXI[i]

B 111/Z[s] ἐνέδησε: ἐνέβαλεν. ZYQXA[ti]I[i]

B 111/Z[s] βαρείηι: μεγάληι, ἰσχυρᾶι. ZYQXI[i]

B 112/Z[s] σχέτλιος: ὁ τοῦ σχετλιάζειν καὶ δυσφημεῖν τοῖς ἀνθρώποις αἴτιος (=A[ti]), λύπας αὐτοῖς διδούς (=T[r]). ὁ γὰρ σχετλιασμὸς ἐπίρρημά ἐστι λύπης δηλωτικόν (~ B 157𝔇). ZYQX=I[m]

1 σχετλιάζειν καὶ om A[t] || 1-2 αἴτιος γινόμενος· ὁ γὰρ σχετλιασμὸς λύπης ἐστὶν δηλωτικός Y || 2 B 157𝔇 ὢ πόποι· "ἐπίρρημα σχετλιαστικόν" || 2 ἐστι om QX ||

B 112/Z[s] πρίν: πρότερον, ὅτε ἐν τῆι Αὐλίδι, ὡς ἑξῆς ἐρεῖ (B 322ss). ZYQX. A[ti] ἐν Αὐλίδι.

ὅτε om Y || ἑξῆς ἐρεῖ YQX : εξέρει Z ||

B 112/U[m] ⸤πρὶν μέν μοι ὑπέσχετο⸥ ἐνταῦθα φανερῶς κωλύει τὸν ἀπόπλουν. οὐ γὰρ δυνατὸν ψεύσασθαι μετὰ τὴν κατάνευσιν οὗπερ οὐδὲν ἔπος ἀπατηλόν· 'ὅτι κεν κεφαλῆι κατανεύσηι' (A 527). U[m] , ~ Eust., cf T[s]

B 113/Z[s] ἐκπέρσαντα: ἐκπορθήσαντα. ZYQX~I[i]

B 113/Z[s] εὐτείχεον: καλῶς τετειχισμένην (=I[i]) ¦ ὑπὸ Ἀπόλλωνος καὶ Ποσειδῶνος (=I[m]*A[ti]). ZYQX

B 113/Z[s] ἀπονέεσθαι: ἀπαλλάττεσθαι (=J[i]), ἀναχωρεῖν. ZYQX

B 114/Z[s] ἀπάτην: πλάνην. ZYQX

B 114/Z[s] βουλεύσατο: ἐβουλεύσατο, ἐσκέψατο. ZYQX

B 115/Z[s] δυσκλέα: ἄδοξον εἰς τὴν Πελοπόννησον (=A[ti]) ἀπελθεῖν. ZYQX~I[i]

B 115/Z[s] ἱκέσθαι: παραγενέσθαι. ZYQX

B 115/Z[s] ἐπεὶ πολὺν ὤλεσα λαόν: διότι πολὺν ἐν τῶι πολέμωι ἀπώλεσα ὄχλον. ZYQX

B 116/Z[s] οὕτω που: οὕτω δή. ZYQXA[ti]

B 116/Z[s] μέλλει: ἔοικεν (= T[i]), ἀρέσκει. ZYQXA[ti]

B 116/Z[s] ὑπερμενέϊ: τῶι ὑπερέχοντι (=I[i]) τῆι δυνάμει πάντων (=X) καὶ θεῶν καὶ ἀνθρώπων. ZYQ

B 116/Z[s] φίλον: προσφιλές (=A[ti]I[i]), ἡδύ. ZYQX

B 117/Z[s] πολλάων: πολλῶν (=I[i]). ἔστι δὲ ὁ τρόπος ἐπέκτασις καὶ ἴδιος Ἰώνων. ZYQXI. A[ts] τὸ 'πολλάων' ἐπέκτασις, καὶ ἴδιον Ἰώνων, cf B 87𝔇.

1 καὶ om YQX ||

B 117/Z[s] πολίων: πόλεων. ZYQXI[i]

πολέων Y[λ] ||

B 117/Z[s] κατέλυσε: ἔστρεψεν. Z ≃ M 258𝔇 ἔρειπον· ἔστρεψαν

B 117/Z[s] κάρηνα: ἀκροπόλεις, ἐξ οὗ βασίλεια. ZYQXA[ti]

⟨τὰ⟩ βασίλεια A[t] ||

B 118/Z[s] ἠδ' ἔτι: καὶ ἔτι. ZYQX

B 118/Z[s] κράτος: ἰσχύς, δύναμις. ZYQX

B 119/Z[s] αἰσχρὸν γὰρ τόδε γ' ἐστίν: ἀηδὲς γὰρ τοῦτό ἐστιν. ZYQX

B 119/Z[s] ἐσσομένοισι: μεταγενεστέροις. ZYQXA[ti]

ἐσσομένοις Z[λ] || καὶ τοῖς μεταγενεστέροις A[ti] ||

B 119/Z[s] πυθέσθαι: ἀκοῦσαι, μαθεῖν. ZYQA[ti] ~ A[ts] ὅτι ...

B 120/$Z^s$ μάψ: μάτην. ZYQX$A^{ti}I^i$

B 120/$Z^s$ τοιόνδε: τοιοῦτον (=$I^i$) ¦ τῆι ἀρετῆι (=$A^{ti}$). ZYQX

B 120/$Z^s$ τοcόνδε: καὶ τοcοῦτον (=$I^i$) ¦ τῶι πλήθει (=$A^{ti}$). ZYQX

B 121/$Z^s$ ἄπρηκτον: ἄπρακτον, ἀτέλεcτον. ZYQX$A^{ti}I^i$

B 121/$Z^s$ πολεμίζειν: πολεμεῖν. ZYQX | τὸ δὲ 'ἄπρηκτον πόλεμον πολεμίζειν' ZY | τὸ τοιοῦτο cχῆμα παρονομαcία καλεῖται. ZYQ$I^m$. $A^{ti}$ τὸ cχῆμα παρονομαcία.

1 τὸ δὲ ... πολεμίζειν om Q ||

B 122/$Z^s$ παυροτέροιcι: ὀλιγωτέροιc (=X$A^{ti}I^i$). οἱ μὲν γὰρ Τρῶεc οἱ χωρὶc τῶν ἐπικούρων ἦcαν ἀριθμῶι μυριάδεc πέντε, τὸ δὲ τῶν Ἑλλήνων πλῆθοc τινὲc μὲν φαcὶ μυριάδαc δώδεκα, ἄλλοι δὲ ιδ'. ZYAG*$T^r$, cf B $128^T$

1 γὰρ om A || οἱ om A || 2 μὲν om A ||

B 122/$Z^s$ πέφανται: ἐφάνη. ZYQX$A^{ti}I^i$

B 123/$Z^s$ εἴ περ γάρ: ἐάν περ γάρ. ZYQX

B 123/$Z^s$ θέλοιμεν: βουληθῶμεν. ZYQX$I^i$

B 124/$Z^s$ ὅρκια πιcτά: πιcτοὺc ὅρκουc. ZYQX$I^i$

B 124/$Z^s$ ταμόντεc: δι' ἐντόμων ποιηcάμενοι. ZYQX$T^r$

B 124/$Z^s$ ἀριθμηθήμεναι: ἀριθμηθῆναι ¦ ἀμφότεροι οἱ Τρῶεc καὶ οἱ Ἕλληνεc (=$I^i$) ⌜ὅ ἐcτι φιληθῆναι Y ~ He α 7220, cf H 302𝔇 ἀρθμήcαντε "φιλιάcαντεc"⌝. ZYQX

B 125/$Z^s$ λέξαcθαι: ἐπιλέξαcθαι (= $I^i$T), ἢ καταριθμηθῆναι. ZYQX, = Ak ὅτι ... ἐπιλεξαcθαι ἢ ἐπιλεξαcθαι, ὅ ἐcτι λεχθεῖεν καταριθμηθῆναι Z ||

B 125/$Z^s$ ἐφέcτιοι: ἔποικοι, ὅ ἐcτιν | αὐτόχθονεc, πολῖται (=$A^i$). ZYQX ~ Epim. ε 35

B 125/$Z^s$ ὅccοι: ὁπόcοι. ZYQX$I^i$

B 125/$Z^s$ ἔαcιν: εἰcίν, ¦ ὑπάρχουcιν (=$I^i$). ZYQX

B 126/$Z^s$ διακοcμηθεῖμεν: διαταχθείημεν. 'δεκάδαc' δὲ ἀντὶ τοῦ δεκανίαc. ZYQX

lemma 'δεκάδαc' pro δὲ L ||

B 127/$Z^s$ ἑλοίμεθα: λάβωμεν. ZQX~$I^i$

B 127/$Z^s$ οἰνοχοεύειν: οἰνοχοεῖν, ¦ κιρνᾶν (~$I^i$). ZYQX

B 128/$Z^s$ πολλαί κεν: πολλαὶ ἄν. ZYQX

B 128/$Z^s$ δευοίατο: ἐνδεεῖc γένοιντο. Z$I^i$(YQX ἐγένοντο)

B 128/$Z^s$ οἰνοχόοιο: οἰνοχόου, τοῦ παρ' ἡμῖν λεγομένου πινκέρνου. ZYQX

πιγκέρνου QX, ἐπικέρνου Y ||

B 129/$Z^s$ τόccον: τοcοῦτον. ZYQX$I^i$

B 129/$Z^s$ φημί: ὑπολαμβάνω (B 350𝔇). ZYQX$A^{ti}U^iI^i$ | ἢ λέγω (B 248𝔇). Z

B 129/$Z^s$ πλέαc: πλείοναc. ZYQX$I^i$

B 129/$Z^s$ ἔμμεναι: εἶναι. ZYQX$I^i$

B 130/$Z^s$ οἳ ναίουcιν: οἵτινεc (=$I^i$) κατοικοῦcιν ¦ κατ' αὐτὴν τὴν Ἴλιον (=$A^{ti}$). ZYQX

κατ' αὐτὴν Z : κατὰ τὴν Y, εἰc τὴν QX || ἥλιον Z ||

B 130/$Z^s$ ἐπίκουροι: οἱ ἀπὸ ξένηc χώραc (=G) cύμμαχοι τῶν πολεμουμένων ZYQ | καὶ βοηθοί. ZQ

B 131/$Z^s$ πολλέων ἐκ πολίων: ἐκ πολλῶν πόλεων. ZYQX

πολλέων$^λ$ : πόλεων $Z^λ$ ||

B 131/$Z^s$ ἐγχέcπαλοι: πάλλοντεc καὶ κινοῦντεc τὰ δόρατα (=$A^{ti}$), ¦ πολεμικοί (=$I^i$). ZYQX$T^r$ | ἔcειον δὲ αὐτὰ πρὸ τῆc ἀφέcεωc, μήποτε ἄρα εἶεν κλαcθέντα. ZYQA$T^r$IG

B 132/$Z^s$ μέγα: μεγάλωc (=$I^i$), cυγκοπὴ ὁ τρόποc. ZYQXI | 'πλάζουcι' δὲ πλανῶcι καὶ ¦ ἀπείργουcιν τῆc πολλῆc προθυμίαc (=G). ZYQX$A^{td}$. $U^i$ κωλύουcι.

1 lemma 'πλάζουcι' pro δὲ YQX ||

B 132/$Z^s$ οὐκ εἰῶcι: οὐ cυγχωροῦcι βουλόμενον, (=$I^i$) ¦ ὅ ἐcτιν δυνάμενον (~T). ¦ ἡ δὲ διάλεκτοc τοῦ 'οὐκ εἰῶcι' Ἰάc (=G). ZQXI

1-2 nihil nisi ἰὰc ἡ διάλεκτοc QX || 2 εἰῶcι QX = Hom. : ἐῶc Z ||

B 133/$Z^s$ εὖ ναιόμενον: καλῶς οἰκούμενον. ZYQX

B 133/$Z^s$ πτολίεθρον: πόλισμα, πόλιν. ZYQX

B 134/$Z^s$ βεβάασι: παραβεβήκασιν, ¦ παρεληλύθασιν (=$A^{ti}$). ZYQX

B 135/$Z^s$ δοῦρα: δόρατα, ¦ ξύλα (=$I^i$). ZYQX

B 135/$Z^s$ σέσηπε: διασέσηπε ἐκ τοῦ χρόνου. ZYQX

B 135/$Z^s$ σπάρτα: σπαρτία, σχοινία. $ZYQXA^{ti}$

B 135/$Z^s$ λέλυνται: διαλέλυνται σαπέντα. ZYQX

B 136/$Z^s$ αἳ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα: προσθεὶς καὶ τὸ 'ποτιδέγμεναι' (137) ὀρθῶς καὶ κατ' ἐπικράτησιν τοῦ θηλυκοῦ πεπλεόνακεν ZYQ | εἰπὼν οὕτως, καὶ οὐ 'προτιδέγμενοι'. ZYG

θηλυκοῦ Z : θήλεος YQ ||

B 136/$Z^s$ ἄλοχοι: γυναῖκες. $ZYQXI^i$

B 136/$Z^s$ νήπια: μικρά. $ZYQXI^i$

B 137/$Z^s$ εἵαται: καθέζονται. $ZYQXA^{ti}I^i$

B 137/$Z^s$ ἐν μεγάροις (= B 661𝔇): ἐν τοῖς οἴκοις. $ZYQXA^{ti}I^i$

ἐνὶ μεγάροις / ἐνὶ μεγάροισι (= γ 186) $YQX^{\lambda}$ = vv.ll. Hom. / ἐν μεγάροις $Z^{\lambda}$ ||

B 137/$Z^s$ προτιδέγμεναι: προσδεχόμεναι. $ZYQXA^{ti}$~$I^i$

ποτιδέγμεναι $YQX^{\lambda}$ / προτιδέγμεναι $Z^{\lambda}$ = vv.ll. Hom. ||

B 137/$Z^s$ ἄμμι δέ: ἡμῖν δέ, Αἰολικῶς. ZYQX

B 137/$Z^s$ ἔργον: νῦν "ὁ πόλεμος". $ZYQXI^i$ = B 436𝔇, cf B 751𝔇 "νῦν τὰ γεώργια".

B 138/$Z^s$ αὔτως: ὡσαύτως, ¦ ὁμοίως, ἢ ματαίως (=$A^{ti}I^i$). ZYQX

ὁμοίως om Y ||

B 138/$Z^s$ ἀκράαντον: ἀτελείωτον (=$I^i$), ἀπλήρωτον. ZYQX

B 138/$Z^s$ οὗ εἵνεκα: οὗ ἕνεκα, Z | οὕτινος χάριν. ZYQX

B 138/$Z^s$ δεῦρο: ἐνταῦθα. $ZYQXA^{ti}$

B 138/$Z^s$ ἱκόμεσθα: παρεγενόμεθα. $ZYQXAI^i$

B 139/$Z^s$ πειθώμεθα: ἀντὶ τοῦ "πείσθητε". ZYQX

πειθόμεθα $Z^{\lambda}$ ||

B 139/$Z^s$ ἀλλ' ἄγε (= Λ 314, ἀλλ' ἄγεθ' Hom.): ἀλλὰ δεῦρο. ZYQX

B 141/$Z^s$ αἱρήσομεν: πορθήσωμεν, λάβωμεν. $ZYQXA^{ti}$~$I^i$

πορθήσομεν QX ||

B 142/$Z^s$ ὄρινεν: διετάραξεν. ZYQX

B 143/$Z^s$ μετὰ πληθύν: ἐν τῶι πλήθει $ZYQXA^{ti}T^i$ ¦ ἢ κατὰ τὸ πλῆθος ($T^i$).

B 143/$Z^s$ ὅσοι οὐ βουλῆς ἐπάκουσαν: ὅσοι τοῦ προβουλεύματος οὐκ ἤκουσαν (=$I^i$) τῶν ἡγεμόνων. ZYQX

B 144/$Z^s$ κινήθη δ' ἀγορὴ ὡς κύματα μακρά: ἀντὶ τοῦ μεγάλα (=$A^{ti}$). ἔστι δὲ παραβολὴ τὸ σχῆμα. ZYQXU | παραβολὴ δέ ἐστιν ὁμοιωτικὴ πράγματος τοῖς ὑποκειμένοις παράθεσις πρὸς δήλωσιν ἐναργεστέραν (= sch. Opp. 2, 597). ZYQUG*

B 144/$Z^s$ κινήθη: ἐκινήθη (=$I^i$), διεταράχθη. ZYQX

ἐταράχθη QX ||

B 145/$Z^s$ πόντου Ἰκαρίοιο: τοῦ Ἰκαρίου πελάγους (=$I^i$), κεκλημένου οὕτως ἀπὸ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς πεσόντος εἰς αὐτὸ καὶ ἀπολομένου οὕτως. μετὰ τὴν τῆς Πασιφάης πρὸς τὸν ταῦρον μίξιν Δαίδαλος εὐλαβούμενος τὴν Μίνωος ὀργὴν πτερωτὸς σὺν Ἰκάρωι τῶι υἱεῖ ἐκ Κρήτης ἐφέρετο. καταπεσόντος δὲ τοῦ παιδὸς εἰς τὸ ὑποκείμενον πέλαγος Ἰκάριον μετωνομάσθη. ὁ μέντοι Δαίδαλος διαπτὰς εἰς Κάμικον τῆς Σικελίας καὶ τὸν υἱὸν αὐτοῦ ἐκδεχόμενος ἔμενε παρὰ ταῖς Κωκάλου θυγατράσιν, ὑφ' ὧν ὁ Μίνως ἥκων ἐπ' ἀναζήτησιν τοῦ Δαιδάλου ἀποθνήσκει καταχεθέντος αὐτῶι ζεστοῦ ὕδατος. ἱστορεῖ Φιλοστέφανος (FHG 3,34,fr.36) καὶ Καλλίμαχος ἐν Αἰτίοις (fr. 23,3; 43,48). ZYQXAUIG*

1 οὕτως om Y || 2 ἰκάρου : ἰκαρίου A || 3 τῆς om YQXU || 4 ἰκαρίωι A || ἐκ κρήτης om A || 5-6 εἰς κάμικον διελθὼν τῆς σικελίας ἐν πτήσει Y || 6 ἔμεινεν A || 7 ἐπ' ἀναζήτησιν : εἰς ἐπαναζήτησιν A || 7-8 κατασχεθέντος αὐτοῦ U || καταχεόντων αὐτῶι ζεστὸν ὕδωρ Y ||

B 145/$Z^{s}$+$Y^{s}$ Εὖρος: ὁ ἀπὸ ἀνατολῆς πνέων ἄνεμος, ὅστις καὶ ἀπηλιώτης καλεῖται (~ApS 79)· Νότος δὲ ὁ ἀπὸ μεσημβρίας. ZYQX$T^{r}$U | Βορέας δὲ ὁ ἀπὸ Ἄρκτου YQX$T^{r}$U χώρας γενόμενος (cf I 5𝔇) | ⟨ * * * ⟩ πάντες δὲ ξηροὶ καὶ θερμοὶ φύσει. U

B 146/$Z^{s}$ ὄρωρε (= B 797𝔇, ὤρορε Hom. = $QX^{\lambda}$): διήγειρεν, ἐτάραξε. ZYQ$XA^{ti}$~$I^{i}$

διετάραξεν $A^{t}$ ||

B 146/$Z^{s}$ ἐπαΐξας: ἐφορμήσας. ZYQ$XA^{ti}I^{i}$

B 146/$Y^{s}$ νεφελάων: νεφελῶν. YQX

B 147/$Z^{s}$ ὡς δέ: ὥσπερ δέ. Z = O 80𝔇

B 147/$Y^{s}$ κινήσει: φυσήσει. YQX$I^{i}$

B 147/$Z^{s}$ Ζέφυρος: ὁ ἀπὸ δυσμῶν πνέων· ζόφος γὰρ καλεῖται ἡ δύσις. ZYQX$I^{i}$

B 147/$Z^{s}$ βαθύ: μέγα καὶ εὔφορον. ZYQ$XA^{ti}I^{i}$

B 147/$Z^{s}$ λήϊον: σιτοφόρον χωρίον. ZYQ$XA^{ti}I^{i}$

B 148/$Z^{s}$ λάβρος ἐπαιγίζων: σφοδρὸς ἐπικαταπνέων. ZYQ$XA^{ti}$

σφοδρῶς Y$Q^{c}A^{t}$ || καταπνέων Y, πνέων (καὶ) μέγας Q(X) ||

B 148/$Z^{s}$ ἐπί τ' ἠμύει ἀσταχύεσσι: ἐπικατακλίνει δὲ τοὺς ἀστάχυας (~$I^{i}$) τοῖς ἀστάχυσιν. ZYQ$XA^{ti}$

ἐπει $Z^{\lambda}$ || 1 δὲ om QX || στάχυας Y ||

B 148/$Z^{s}$ ἠμύει: κλίνει. ZYQX, $I^{i}$=Ak "ἐπικλίνει".

B 149/$Z^{s}$ ὣς τῶν: οὕτως τούτων. ZYQX$I^{i}$

B 149/$Z^{s}$ ἀλαλητῶι: προσληπτέον $\overline{\text{συν}}$, ἵν' ᾖι σὺν θορύβωι. ZY

$\overline{\text{συν}}$ Y: θορύβω Z ||

↑ B 149/$Z^{s}$ ἀλαλητῶι: σὺν θορύβωι. (post 208) ZYQ$XA^{ti}$~$I^{i}$

B 150/$Z^{s}$ ἐπεσσεύοντο: ἐπήρχοντο, ἐπηκολούθουν. ZYQXI

B 150/$Z^{s}$ ὑπένερθε: ὑποκάτωθεν. ZYQ$XA^{ti}I^{s}I^{i}$

B 150/$Z^{s}$ κονίη: κόνις. ZYQX

B 151/$Z^{s}$ ἵστατο: ὑψοῦτο. ZYQX. $A^{ti}$ ὑψοῦται.

B 151/$Z^{s}$ ἀειρομένη: εἰς ὕψος ¦ ἐπαιρομένη (=$I^{i}$). ZYQX~$I^{s}$

B 151/$Z^{s}$ ἀλλήλοισι κέλευον: ἀλλήλοις παρεκελεύοντο, τουτέστιν "εἷς ἕνα ἐπεσπούδαζον". ZYQXI

1 ἐπεσπούδαζον $Z^{c}$Y : ἐπεσπούδαζεν $Z^{1}$QX ||

B 152/$Z^{s}$ ἅπτεσθαι: λαμβάνεσθαι. ZYQX~$I^{i}$. $A^{ts}T^{i}$ "ἐπιλαμβάνεσθαι"

B 152/$Z^{s}$ ἠδ' ἑλκέμεν: καὶ καθέλκειν. ZYQX$I^{i}$

B 152/$Z^{s}$ δῖαν: θείαν, φοβεράν. ZYQX

B 153/$Z^{s}$ οὐρούς: ταφροειδῆ ὀρύγματα (=$A^{ti}$), δι' ὧν αἱ νῆες καθέλκονται εἰς τὴν θάλασσαν· ἢ τὰς ἀντλίας. ZYQX$T^{r}$I

B 153/$Z^{s}$ ἐξεκάθαιρον: ἐξέσκαπτον. ZYQX$I^{i}$

B 154/$Y^{s}$ ἱεμένων: ὁρμωμένων. YQX

B 154/$Z^{s}$ οἴκαδ' ἱεμένων: εἰς τὸν οἶκον ἀπιέναι προθυμουμένων. ZYQ$XA^{ti}$

B 154/$Z^{s}$ ὑπὸ δ' ᾕρεον: ὑφῄρουν δέ. ZYQ$XA^{ti}T^{r}$~$I^{i}$

B 154/$Z^{s}$ ἕρματα: ἐρείσματα (=$T^{r}$), στηρίγματα. ZYQ$XA^{ti}$

B 155/$Z^{s}$ ἔνθα κε: καὶ ¦ παρ' ὀλίγον τότε ἂν (=$I^{i}$). ZYQX

B 155/$Z^{s}$ ὑπέρμορα: ὑπὲρ τὸ προσῆκον (=$I^{i}$). ¦ ὑπὲρ τὸ εἱμαρμένον (I$A^{ti}$). ZYQX$T^{r}$

B 155/$Z^{s}$ νόστος: ἡ εἰς οἶκον ἀνακομιδή (= ApS 116,35), παρὰ τὸ ἡδὺ καὶ γνήσιον τῆς πατρίδος. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων (innuitur vox νόστιμος A 60𝔇). ZYQXI

B 155/$Z^{s}$ ἐτύχθη: ἐγένετο. ZYQ$XA^{ti}I^{i}$

B 156/$Z^{s}$ πρὸς μῦθον ἔειπεν: προσεῖπε λόγον. (Z λόγω )YQX

B 157/Z$^{s}$ ὢ πόποι: φεῦ, παπαῖ (=A$^{ti}$I$^{i}$). ἔcτι δὲ ἐπίρρημα cχετλιαcτικὸν καὶ λύπηc δηλωτικόν. ZYQX ~ He π 3006 (ApS 133,19)

1 ⟨τὸ⟩ ἐπίρρημα Z ||

B 157/Z$^{s}$ αἰγιόχοιο: αἰγίδα ἔχοντοc (=I$^{i}$). αἰγὶc δέ ἐcτιν ὅπλον Διὸc ἡφαιcτότευκτον. Ζεὺc Κρόνου καὶ Ῥέαc γενόμενοc, ἐν Κρήτηι δὲ ἐπικληθεὶc αἰγίοχοc διὰ τὸ αὐτόθι τραφῆναι ⟨ὑπὸ αἰγόc⟩. ἢ ὥc τινέc φαcιν διὰ τὸ αἶγα ἀνελόντα τὴν μὲν δορὰν ἀμφιάcαcθαι, τοῖc δὲ κέραcιν εἰc τόξον χρήcαcθαι. ὅθεν καὶ Αἰγιδόκον τόπον τινὰ ἐν Κρήτηι καλεῖcθαι. ἱcτορεῖ Εὐφορίων (fr. 162 Powell). ZYQXAUIG cf O 229𝔇

1 ⟨τοῦ⟩ αἰγίδα YQU, ⟨τοῦ τὴν⟩ αἰγίδα X || 2 δὲ (om Z) ἐπικληθεὶc : ἐπεκλήθη L || 3 suppl. YQX ||

B 157/Z$^{s}$ Διὸc τέκοc: Διὸc τέκνον. ZYQXI$^{i}$

B 157/Z$^{s}$ Ἀτρυτώνη: ἄτρυτε καὶ ¦ ἀκαταπόνητε (=A$^{ti}$). ZYQX

B 159/Z$^{s}$ ἐπ' εὐρέα: ἐπὶ τὰ πλατέα (=I$^{i}$) καὶ μεγάλα. ZYQX

B 159/Z$^{s}$ νῶτα θαλάccηc: ἤτοι τὴν ἐπιφάνειαν τῆc θαλάccηc, ἢ τὰ μεγέθη. ἰcτέον δὲ ὅτι ¦ οὐδετέρωc τὸ νῶτον καὶ τὰ νῶτα λέγει ὁ ποιητὴc πανταχοῦ, καὶ Ἡcίοδοc (passim, e.g. Erga 534), καὶ οὐκ ἀρρενικῶc τὸν νῶτον (= A$^{ts}$G). ZYQXUI

2 οὐθετερωc Z || τὸ νῶτον οὐδέτερον Y || 3 ἀρcενικῶc A$^{t}$ ||

B 160/Z$^{s}$ κὰδ δέ κεν λίποιεν: τὸ ἑξῆc· καταλίποιεν δ' ἂν καύχηcιν οἱ Ἕλληνεc τῶι Πριάμωι καὶ τοῖc Τρωcὶν τὴν Ἑλένην ἐνταῦθα. ZYQX

2 τοῖc : τρίc Z ||

B 160/Y$^{s}$+Q$^{s}$ εὐχωλήν: καύχημα (E 285𝔇+𝔓 εὖχοc). YI$^{i}$ | εὐχήν, καύχηcιν. QX

B 161/Z$^{s}$ Ἀργείην: τὴν Πελοποννηcίαν (~G). ἡ γὰρ Λακωνικὴ μέροc ἦν πέμπτον τῆc ὅληc Πελοποννήcου, ZYXQ | ὡc καὶ ἔμπροcθεν εἴρηται (cf A 30𝔇). ZYXI. A$^{td}$ ἡ Λακωνικὴ πέμπτον τῆc ὅληc Πελοποννήcου.

B 161/Z$^{s}$ ἧc εἵνεκα: ἧc ἕνεκα, ZQX | ἧc χάριν. ZYQX

B 162/Z$^{s}$+Q$^{s}$ ἀπόλοντο: ἀπώλοντο, ZYQX | ἠφανίcθηcαν. QX ≃ E 311𝔇

ὅλοντο Y$^{\lambda}$ (= Δ 409𝔇) ||

B 162/Z$^{s}$ φίληc ἄπο: πόρρω τῆc προcφιλεcτάτηc πατρώιαc αὐτῶν γῆc. ZYQX

B 163/Z$^{s}$ ἀλλ' ἴθι: ἀλλ' ἄπιθι. ZYQX

B 163/Z$^{s}$ μετὰ λαόν: ἐπὶ τὸν τῶν Ἑλλήνων ὄχλον. ZYQX

B 164/Z$^{s}$ ἀγανοῖc: προcηνέcιν, πράοιc. ZYQXA$^{ti}$IT$^{s}$. I$^{i}$ πραέcι.

ἀγανοῖcι Y$^{\lambda}$ = ο 53 ||

B 164/Z$^{s}$ ἐρήτυε: κώλυε, κάτεχε. ZYQXA$^{ti}$I$^{i}$

B 164/Z$^{s}$ φῶτα: ἄνδρα. ZYQXI$^{i}$

B 165/Z$^{s}$ μηδ' ἔα: μηδὲ cυγχώρει. ZYQXI$^{i}$

B 165/Z$^{s}$ ἅλαδ' ἑλκέμεν: εἰc τὴν θάλαccαν καθέλκειν. ZYQX

ἕλκειν Y ||

B 165/Z$^{s}$ ἀμφιελίccαc: ἀμφοτέρωθεν ταῖc κώπαιc ἐλαυνομέναc (=X)· ⟨ἢ⟩ ¦ εἰc ἑκάτερα τὰ πλευρὰ cτρεφομέναc (=A$^{ti}$). ZYQI$^{i}$

1 ἐλαυνομέναιc X || ἢ suppl. YQ ||

B 166/Z$^{s}$ οὐδ' ἀπίθηcεν: οὐ παρήκουcεν δέ. ZYQX~I$^{i}$

B 166/Z$^{s}$ γλαυκῶπιc: γλαυκόφθαλμοc (=I$^{i}$), καλή, φοβερά (=X), ἢ καταπληκτικὴ τὴν πρόcοψιν. ZYQ

B 167/Y$^{s}$ καρήνων: ἀκρωτηρίων. YQXA$^{ti}$I$^{i}$ ~ Epim. κ 2

B 167/Z$^{s}$ ἀΐξαcα: ὁρμήcαcα. ZYQXI$^{i}$ = ApS 15,14

B 169/Z$^{s}$ εὗρεν: κατέλαβεν. ZYQX

B 169/Z$^{s}$ ἔπειτα: μετὰ ταῦτα. ZYQX

B 169/Z$^{s}$ Διὶ μῆτιν ἀτάλαντον: τῶι Διὶ τὴν εὐβουλίαν ἴcον. ZYQXA$^{ti}$. T$^{r}$ ἰcοτάλαντον.

B 170/Z$^{s}$ ἑcταότα: ἑcτῶτα. ZYQX

B 170/$Z^s$ ἐϋσσέλμοιο: εὐκαθέδρου (=$A^{ti}$)· σέλματα γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι. ZYQX$I^i$

B 171/$Z^s$ ἅπτετο: ἥπτετο. ZYQX

B 171/$Z^s$ ἐπεί μιν: ἐπειδὴ αὐτόν. ZYQX$A^{ti}$

B 171/$Z^s$ ἄχος: λύπη. ZYQX$A^{ti}I^sI^i$

B 171/$Z^s$ ἵκανεν: κατελάμβανεν. ZYQX$I^i$

B 172/$Z^s$ ἀγχοῦ: ἐγγύς, πλησίον. ZYQX

B 172/$Z^s$ ἱσταμένη: στᾶσα. ZYQX

B 173/$Z^s$ διογενές: ἀπὸ Διὸς τὸ γένος ἔχων (=$I^i$), ¦ εὐγενέστατε (=$A^{ti}$). ZYQX

B 173/$Z^s$ Λαερτιάδη: Λαέρτου παῖ (=$A^{ti}I^i$) Ὀδυσσεῦ. ZYQX

B 173/$Z^s$ πολυμήχανε: πολύτεχνε, Z$A^{ti}$ | πολύβουλε, YQX | συνετέ (=$I^i$). ZYQX

B 175/$Z^s$ ἐν νήεσσιν: ἐν ταῖς ναυσίν. ZYQX

B 175/$Z^s$ πολυκλήϊσι: πολυκαθέδροις. ZYQX$I^i$

B 175/$Z^s$ πεσόντες: ἐμπεσόντες, εἰσελθόντες. ZYQX$I^i$

B 179/$Z^s$ μηδ᾽ ἔτ᾽ ἐρώει: μηδὲ συγχώρει (~$I^i$). ZYQX$A^{ti}$ (= B 165𝔇 μηδ᾽ ἔα)

↑ B 179/$Y^s$ ἐρώει: ἡσύχαζε, μένε. (post 163) YQX

B 182/$Z^s$ ξυνέηκε: συνῆκεν (=$I^i$), ἤκουσεν. ZYQX$A^{ti}$

B 182/$Z^s$ ὄπα: φωνήν. ZYQX$I^i$

B 182/$Z^s$ φωνησάσης: εἰπούσης. ZYQXT

B 183/$Z^s$ βῆ δὲ θέειν: ὥρμησεν δὲ τρέχειν. ZYQX$I^i$

B 183/$Z^s$ ἀπὸ δὲ χλαῖναν βάλεν: ἀπεδύσατο (= $T^r$) δὲ τὴν χλανίδα, ZYQX | διὰ τὸ μὴ ἐμποδίζεσθαι αὐτὸν σπεύδοντα ὑπὸ τοῦ πλήθους τῶν ἱματίων. ZYQ$A^{ti}$I$T^r$~G

1 χλανίδα : χλαῖναν X || 2 σπεύδοντα om $A^t$ ||

B 183/$Z^s$ ἐκόμισσεν: ἔλαβεν (=$T^rI^i$), ἐβάστασεν. ¦ ἰστέον δὲ ὅτι ἕτερος οὗτός ἐστιν ὁ Εὐρυβάτης (184) καὶ ἕτερος ὁ Ἀγαμέμνονος, οὗ ἐμνήσθη ἐν τῆι A, v. 320)· ἕκαστος γὰρ τῶν βασιλέων εἶχεν ἰδίους κήρυκας (=I). ZYQXU~G

ἐκόμισεν ZY$X^\lambda$ || 3 βασιλέων : ἡγεμόνων Y ||

B 184/$Z^s$ ὅς οἱ: ὅστις αὐτῶι. ZY$A^{ti}$~$I^i$

B 184/$Z^s$ ὀπήδει: ἠκολούθει. ZYQX$A^{ti}T^iI^i$

B 185/$Z^s$ αὐτὸς δ᾽ Ἀτρείδεω Ἀγαμέμνονος καὶ τὰ ἑξῆς: ὁ Ὀδυσσεύς, φησίν, παρὰ τοῦ Ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον. οὐχ ἁπλῶς δὲ τοῦτο ποιεῖ, ἀλλ᾽ ἵνα δοκῆι σὺν τῆι τοῦ βασιλέως γνώμηι κρατεῖν αὐτούς. ZYQXAUI

δὲ $Z^\lambda$ || 1 {ὁ} ὀδυσσεὺς YQXAU || 2 οὐκ Z || δοκεῖ $ZY^1$ ||

B 185/$Z^s$ ἀντίος: ἐξ ἐναντίας. ZYQX$I^i$

B 186/$Y^s$ ἄφθιτον: ποιητικῶς τοῦτο πέπλασται· ¦ τὸ δὲ ἀθάνατον ἐπὶ τῶν ἐμφύχων οἱ φιλόσοφοι τάττουσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων (=$A^{ti}T^s$). YQXUIG

B 187/$Z^s$ σὺν τῶι: σὺν τούτωι, τῶι σκήπτρωι δηλονότι. ZYQX

B 188/$Z^s$ ἔξοχον: ἐξέχοντα, βασιλέα. ZYQX$I^i$

B 188/$Z^s$ κιχείη: καταλάβοι. ZYQX$A^{ti}I^i$

B 189/$Z^s$ ἀγανοῖς: πράοις, προσηνέσιν. ZYQX

B 189/$Z^s$ ἐρητύσασκε: κατεῖχεν, ¦ ἐκώλυεν (=$I^i$). ZYQX$A^{ti}$

B 190/$Z^s$ δαιμόνιε: αὕτη ἡ λέξις τῶν μέσων ἐστὶν καὶ δηλοῖ ἀμφότερα, ὁτὲ μὲν ἐπὶ ἐπαίνωι λεγομένη, οἷον "θεῖε μακάριε μέγιστε" ἢ "ἀγαθὲ καὶ ἄριστε"· ὁτὲ δὲ ἐπὶ ψόγωι, οἷον "ἄφρων καὶ μάταιε" ἢ "χείριστε καὶ φαῦλε" (~$T^r$, A 561𝔇). ὅτε μὲν οὖν, φησίν, θεῶι προσφέρει, ἥσσονα λέγει ἢ κατὰ θεόν, ὅτε δὲ ἀνθρώπωι, "ὑπερέχοντα ἄνθρωπον". ὡς δηλοῦσθαι "ἥσσονα μὲν θεοῦ, ὑπερέχοντα δὲ ἀνθρώπου". ZYQXAUIG

2 ἐπαίνων AUI || ἢ ἀγαθὲ καὶ ἄριστε ZQXU(I) : ἀγαθὲ A, om Y || ἐπὶ : ἐν ZA || 3 {οἷον} ἄφρων A || 4 προσφέρει : προσφεύγη Z || ὅτε δὲ ἀνθρώπωι YQXUI : ὅτε ἀνθρώπου Z, ὅτε ἀνθρώπωι A || ὑπερέχοντα : μείζονα UI ||

B 190/Z$^{s}$ οὔ cε ἔοικε: οὔ cε πρέπει, ¦ ὦ βέλτιcτε (=A$^{ti}$). ZYQXI
οὐ cὲ Z$^{λ}$ ||

B 190/Z$^{s}$ κακὸν ὥc: ὡc δειλὸν καὶ ἄνανδρον. ZYQXI$^{i}$
ὡc Z$^{λ}$, cf A 162𝔇 : ὧc YQX$^{λ}$ ||

B 190/Z$^{s}$ δειδίccεcθαι: εὐλαβεῖcθαι, ¦ φοβεῖcθαι (=I$^{i}$). ZYQXA$^{ti}$

B 191/Z$^{s}$ αὐτόc: ἀντὶ τοῦ ¦ cύ (=I$^{i}$). ZYQXG

B 191/Z$^{s}$ κάθηcο: κάθου. ZYQXA$^{ti}$
⟨ἀντὶ τοῦ⟩ κάθου Y ||

B 191/Z$^{s}$ ἵδρυε: καθέζεcθαι κέλευε. ZYQA$^{ti}$

B 192/Z$^{s}$ cάφα: cαφῶc (=I$^{i}$), ἀκριβῶc. ZYQXA$^{ti}$

B 192/Z$^{s}$ οἷοc: ὁποῖοc. 'νόοc' δὲ νοῦc, διάνοια. ZYQX | ἀντὶ τοῦ "ἔτι οὐκ οἴδαμεν τί βουλόμενοc περὶ φυγῆc ἡμῖν λέγει". ZYQA$^{ti}$I$^{m}$
1 lemma 'νόοc' cum δὲ X || ἔτι om IA$^{t}$ ||

↑ B 192/Z$^{s}$ οἷοc: ὁποῖοc. (inter 252 ἴδμεν et ἔccεται) ZYQX

↑ B 192/Z$^{s}$ νόοc: νοῦc. (inter 252 ἴδμεν et ἔccεται) ZYQX

B 193/Z$^{s}$ πειρᾶται: ἀπόπειραν λαμβάνει. ZYA$^{ti}$ ~I$^{i}$

B 193/Z$^{s}$ τάχα δ’: ταχέωc δέ. ZYQXA$^{ti}$I$^{i}$
δ’ om Z$^{λ}$ ||

B 193/Z$^{s}$ ἴψεται: βλάψει. ZYQXA$^{ti}$I$^{i}$

B 194/Z$^{s}$ ἀκούcαμεν: ἠκούcαμεν. ZYQXI

B 195/Z$^{s}$ χολωcάμενοc: ὀργιcθείc (≃ B 599𝔇). Z

B 195/Z$^{s}$ ῥέξηι: ποιήcηι, πράξηι. ZYQX

B 196/Z$^{s}$ θυμόc: νῦν "ἡ ¦ ὀργή" (=A$^{ti}$I$^{i}$). ZYQX cf B 276𝔇 "ψυχή ... προθυμία".

B 196/Z$^{s}$ διοτρεφέων: τῶν cὺν Διὸc γνώμηι τεθραμμένων (~I$^{i}$), εὐγενῶν. ZYQX
cὺν : νοῦν Z ||

B 197/Z$^{s}$ φιλεῖ δέ ἑ: φιλεῖ δὲ ¦ αὐτὸν (=A$^{ti}$) ὁ βουλευτικώτατοc Ζεύc. ZYQXI$^{i}$
βουλευτικὸc Y ||

B 198/Z$^{s}$ ὃν δ’ αὖ: ὅντινα δὲ πάλιν. ZYQXA$^{ti}$~I$^{i}$

B 198/Z$^{s}$ δήμου: δημοτικόν (=I$^{i}$), τοῦ πλήθουc. ZYQX

B 198/Z$^{s}$ βοόωντα: βοῶντα, ZYQX | κραυγάζοντα. Z | κράζοντα (=I$^{i}$, ≃ B 224𝔇). YQX

B 198/Z$^{s}$ ἐφεύροι: καταλάβοι. ZYQXA$^{ti}$I$^{i}$

B 199/Z$^{s}$ ἐλάcαcκε: ἔπληττεν. ZYQXA$^{ti}$IT$^{r}$

B 199/Z$^{s}$ ὁμοκλήcαcκε: καὶ ἠπείλει (=T$^{r}$I$^{i}$) μεθ’ ὕβρεωc. ZYQXA$^{ti}$
καὶ om YXT$^{r}$ || ἠπείληcε Q ||

B 200/Z$^{s}$ δαιμόνιε: ἐνταῦθα ἐφ’ ὕβρει, ἀντὶ τοῦ ¦ κακοδαίμων (=I$^{i}$), ¦ φαυλότατε" (=A$^{ti}$). ZYQX (~ B 190𝔇, Z 407𝔇 νῦν γενναῖε, μακάριε)

B 200/Z$^{s}$ ἄτρεμαc ἧcο: μεθ’ ἡcυχίαc καθέζου. ZYQX~I$^{i}$

B 201/Z$^{s}$ οἳ cέο: οἵτινέc ¦ cου (=I$^{i}$). ZYQX
cου Z : cοῦ YQX ||

B 201/Z$^{s}$ φέρτεροι: κρείccονεc. ZYQX~I$^{i}$

B 201/Z$^{s}$ ἀπτόλεμοc: ἄπειροc πολέμου (=A$^{ti}$I$^{i}$), ἄθλιοc. ZYQX

B 201/Z$^{s}$ ἄναλκιc: ἀcθενήc (=A$^{ti}$), ἀδύναμοc (I$^{i}$). ZYQX
ἀδύναμοc Z = E 887𝔇 : ἀδύνατοc YQXI ||

B 202/Z$^{s}$ ἐναρίθμιοc: ἐγκαταριθμούμενοc. ZYQXA$^{ti}$~I$^{i}$
οὐ καταριθμούμενοc YQX, καταριθμούμενοc A$^{ti}$I ||

B 202/Z$^{s}$ βουλῆι: οὔτε ¦ ἐν ἐκκληcίαι (=A$^{ti}$). ZYQX
οὔτε ἐν Z : τουτέcτιν YQX ||

B 203/Z$^{s}$ οὐ μέν πωc: οὐ μήν πωc. ZY

↑ B 203/Q$^s$ οὐ μέν πως: οὐ μὴν οὐδαμῶς πῶς. QX ~ Δ 158𝔇 "οὐδαμῶς μέν"

B 204/Z$^s$ οὐκ ἀγαθόν: ἀντὶ τοῦ οὐ καλόν. ZYQX. A$^{ti}$ οὐ συμφέρον.

B 204/Z$^s$ πολυκοιρανίη: πολυαρχία. ZYQXA$^{ti}$I$^i$

B 204/Z$^s$ κοίρανος: βασιλεύς (=I$^i$), ἡγεμών. οὕτως γοῦν ὅτι ἡ Περςῶν ἀρχὴ διὰ τῆς μοναρχίας μεγάλη ἐςτίν· καὶ οἱ Ἀθηναῖοι δὲ ὁπότε πλείονας παρεῖχον τῶι στρατεύματι ἡγεμόνας, ὡς ἐν Αἰγὸς ποταμοῖς οἱ θ̅, ἡττῶντο, ὁπότε δὲ δι' ἑνὸς ἐποιοῦντο τοὺς ἀγῶνας, ἐνίκων ὥςπερ ἐν τῆι Κνίδωι ὁ Κόνων τὸ †Περςῶν στρατόπεδον. ὅπου γε καὶ αὐτὰ τὰ ςώματα ἡμῶν εἰ ἦςαν ἐξ ἑνὸς στοιχείου οὐδέποτ' ἂν ἤλγουν, οὔτε γὰρ ἦν ὑφ' οὗ ἀλγήςειαν ἓν ὄντα, ὥς φηςιν ὁ θεῖος Ἱπποκράτης. καὶ ἐν ἑτέρωι δὲ πάλιν ὁ αὐτὸς ἀνήρ· "καὶ πᾶν τὸ πολὺ τῆι φύςει πολέμιον· τὰ γὰρ πολλὰ ἀλλήλοις ἀνθιστάμενα ὥςπερ πόλεμον ἐπιφέρει, ἀφ' οὗ φθοράν" (Περὶ φύςιος ἀνθρώπου CMG 1,1,3,168,4). ZYQXAUI

1 γοῦν ὅτι om A || 3 ἡγεμονίας YQX || ἐννέα A || 4 περςῶν : τῶν Πελοποννηςίων L || 5 αὐτὰ om YQXU || 6-7 καὶ ἐν ... ἀνήρ καὶ om A || 8 ὥςπερ : ὡς U, om A || 9 φθορά YAU ||

B 205/Z$^s$ ἀγκυλομήτεω: ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη, ἤτοι ἀγκύλα καὶ σκολιὰ βουλευςάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων, ὥς φηςιν ὁ Ἡςιόδειος μῦθος· τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῆι ἅρπηι ἀπέτεμεν, τοὺς δὲ κατέπινεν. ἢ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυςχερῆ πράγματα τῆι μήτιδι περιλαμβάνων κορόνους τις ὢν καὶ τέλειος νοῦς, ὥς φηςιν καὶ ἡ Δημώ (fr. 2 Ludw.). ZYQXAUIG

2 καὶ τῶν παίδων om Y || ὁ ἡςιόδειος μῦθος ZYI : ἡςίοδος QXU, ὁ ἡςίοδος A || 3-4 καὶ δυςχερῆ om Y || 4-5 ὡς ... δημώ om UI ||

↑ B 205/Q$^s$ ἀγκυλομήτεω: ὁ ἐν τοῖς σκολιοῖς πράγμαςιν εὐμήχανος. δηλοῖ δὲ τὸ ἀγκύλον παρὰ τῶι ποιητῆι τρία· τὸ σκολιὸν κατὰ βούληςιν ὡς ὅταν λέγηι ἀγκυλομήτην τὸν Κρόνον, καὶ τὸ περιφερὲς κατὰ σχῆμα, ὡς τὸ 'ἀγκύλα τόξα' (E 209𝔇), καὶ τὸ ἰςχυρὸν ὡς τὸ 'ἀγκύλον ἅρμα' (Z 39𝔇 "περιφερές"). QUIG, ~ EtM 10,55

3 τόξα (= E 209𝔇 "ἐπικαμπῆ") UI = EtM : κύκλα Q = E 722 (καμπύλα κύκλα) ||

B 207/Z$^s$ ὣς ὅ γε: οὕτως δὴ οὗτος. ZYQX~I$^i$

B 207/Z$^s$ κοιρανέων: διατάςςων (=I$^i$), ἐπερχόμενος καὶ ¦ τὸ τοῦ κοιράνου ἔργον ἐπιτελῶν (= U$^i$). ZYQX

B 207/Z$^s$ δίεπε: διέταςςε, διώικει. ZYQXA$^{ti}$

B 208/Z$^s$ ἐπεςςεύοντο: ἐπήρχοντο (~I$^i$), ἐπηκολούθουν. ZYQX

B 208/Z$^s$ νηῶν ἄπο (= N 723, νεῶν Hom. = QX$^\lambda$): ἀπὸ τῶν πλοίων. ZYQX

B 209/Z$^s$ ἠχῆι: μετὰ ἤχου (=I$^i$) καὶ κραυγῆς. ZYQXA$^{ti}$

B 209/Q$^s$ ὡς ὅτε κῦμα: τοῦτο πρὸς τὴν κίνηςιν, τὸν δὲ βρόμον (~ 210 βρέμεται)) πρὸς τὴν ἀπήχηςιν. QXTA$^{ts}$

B 210/Z$^s$ βρέμεται: ἠχεῖ, ¦ κτυπεῖ (=I$^i$). ZYQXA$^{ti}$T$^i$

B 210/Z$^s$ ςμαραγεῖ: ἠχεῖ. ZYQXA$^{ti}$I$^i$

B 211/T$^r$ ˪ἐρήτυθεν˩ κατέςχον. ~ B 99𝔇+𝔓

B 212/Z$^s$ Θερςίτης δ' ἔτι μοῦνος: μόνος (=I$^i$)· τὸ σχῆμα ἐπένθεςις. ἐπένθεςις δέ ἐςτι διχρόνου φωνήεντος δίφθογγον ποιοῦντος τὴν ςυλλαβὴν πρόςθεςις, οἷον ὁδός οὐδός, ὅρος οὖρος, μόνος μοῦνος, Ἐρέτρια Εἰρέτρια, κόραι κοῦραι. ZYM (cf EtM εὔκλεια) | γιγνώςκειν μέντοι χρὴ ὅτι αἱ τῶν διχρόνων ἐπενθέςεις τὰ μὲν ψιλούμενα οὐ μεταβάλλουςι εἰς δαςέα, τὰ δὲ δαςυνόμενα ψιλοῦςιν. ZYMA

2 διχρόνου φωνήεντος YM : χρόνου φωνήεντι Z || 3 ειρετρία ερετρία Z || 5 οὐ om Y ||

B 212/Z$^s$+Q$^s$ Θερςίτης δ' ἔτι μοῦνος: Οἰνεῖ ἀμελήςαντι τῆς Ἀρτέμιδος θυςιῶν ἕνεκα ἡ θεὸς ὀργιςθεῖςα ἔπεμψε τῆι πόλει ςῦν ἄγριον. ἐφ' ὃν ἦλθεν στρατεία τῶν ἀρίστων τῆς Ἑλλάδος, ἐπειδὴ ἐλυμαίνετο τῆι χώραι ὥς φηςιν αὐτὸς ὁ ποιητὴς ἐν τῆι I (533). μεθ' ὧν ἦν καὶ ὁ Θερςίτης, ὃς δειλωθεὶς κατέλειψεν τὴν παραφυλακὴν ἐφ' ἧς ἦν καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν τὴν ςωτηρίαν θηρώμενος. ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο καὶ κατὰ κρημνοῦ πεςὼν τοιοῦτος ἐγένετο οἷον Ὅμηρος αὐτὸν παρίςτηςιν. ἱςτορεῖ Εὐφορίων (fr. 106 Powell). ¦ ἐζήτηται δὲ διὰ

ποίαν αἰτίαν ὁ Θερcίτηc ἐcτράτευcεν εἰc Τροίαν τοιοῦτοc ὤν. ῥητέον οὖν ὅτι ἤτοι cταcιώδηc ὢν οὐκ ἀπελείφθη ἐπὶ τῆc πατρίδοc, ἢ ὅτι κατ' ἐπειcόδιον παρῆκται πρὸc τὸ ἐκ τοῦ cκυθρωποῦ εἰc ἱλαρότητα τὰc ψυχὰc ἀνακαλέcαcθαι τῶν Ἑλλήνων, ὥcπερ εἴληπται καὶ Ἥφαιcτοc γέλωτοc χάριν παρὰ τοῖc θεοῖc ἐν τῆι Α (cf T$^{s}$). λαμβάνεται δὲ πᾶν ἐπειcόδιον τῶι ποιητῆι ἢ πιθανότητοc ἕνεκεν, ἢ χρείαc ὥcπερ τοῦτο νῦν, ἢ κόcμου καὶ ὑψώcεωc χάριν (=G). ZYQXAUI | Οἰνεὺc καὶ Ἄγριοc ἀδελφοί, ὡc λέγει ὁ ποιητὴc ἐν τῆι Θ (immo Ξ 117), ἀλλ' ὁ μὲν Οἰνεὺc ἦν πατὴρ Μελεάγρου, ὁ δὲ Ἄγριοc Θερcίτου, μήτηρ δὲ Θερcίτου Δῖα. QXAUIG ~T(FGrHist 3,123)

1 οἰνεῖ ZYAU : ὁ δὲ θερcίτηc φηcὶ μόνοc οἰονεὶ QX || 2 ἕνεκεν Y || cτρατιὰ YQXU || 3 ἀρίcτων : ἀριcτέων A || τὴν χώραν ZU || 7 ⟨ὁ⟩ ὅμηροc A || εὐφορίων : φερεκύδηc (FGrHist 3F123) T$^{s}$ in narratione simili || 8 ἤτοι ZA : καίτοι YQX, om U || 9 κατὰ A || 10 εἰc ZAU : πρὸc YQX || 12 δὲ ⟨καὶ⟩ YQXU || πᾶν : ἂν A || ἢ$^{1}$ om ZA || 13 cχό(λιον) ante οἰνεύc A$^{m}$ || 9-11 cf Porph. 29,29 Schrader ||

B 212/Z$^{s}$ ἀμετροεπήc: ἄμετροc ἐν τῶι λέγειν (=I$^{i}$), ¦ φλύαροc (=A$^{ti}$). ZYQXI

B 212/Z$^{s}$ ἐκολώια: ἐθορύβει. ZYQXA$^{ti}$T$^{r}$I$^{i}$

B 213/Z$^{s}$ ὅc: ὅcτιc. ZYQX

B 213/Z$^{s}$ ἧcιν: ταῖc ἰδίαιc (~I$^{i}$), ταῖc ἑαυτοῦ. ZYQX

B 213/Z$^{s}$ ἄκοcμα: ἀπρεπῆ (=I$^{i}$), ἄτακτα. Z cf E 759𝔇 οὐ κατὰ κόcμον

B 213/Z$^{s}$ ἤιδη: ἤιδει, ¦ ἠπίcτατο (=I$^{i}$). ZYQX

B 214/Z$^{s}$ μάψ: μάτην. ZYQX~I$^{i}$

B 214/Z$^{s}$ οὐ κατὰ κόcμον: οὐ κατὰ τὸ πρέπον, ZYQXI$^{i}$ | εὐτάκτωc, τουτέcτιν οὐ δικαίωc ἐφιλονείκει τοῖc βαcιλεῦcιν. ZQXG*. A$^{ti}$ καὶ οὐ κατὰ λόγον καὶ τάξιν τοῖc βαcιλεῦcι φιλονεικεῖν.

1 εὐτάκτωc, scil. οὐκ : ἀτάκτωc L ||

B 215/Z$^{s}$ ἀλλ' ὅτι οἱ εἴcαιτο γελοίϊον Ἀργείοιcιν ἔμμεναι: ἀλλ' ὅπερ ἂν ἐνόμιζεν ὁ Θερcίτηc ἀναγκαῖον εἶναι, τοῦτο γέλωτοc πολλοῦ ἄξιον ἐφαίνετο (=A$^{ti}$) | τοῖc Ἕλληcιν. ZYQXIG. T$^{r}$ ἐγίνωcκεν.

B 216/Z$^{s}$ αἴcχιcτοc: αἰcχρότατοc. ZYQXA$^{ti}$I$^{i}$

B 216/Z$^{s}$ ὑπὸ Ἴλιον: εἰc τὴν Ἴλιον. ZYQX

B 217/Z$^{s}$ φολκόc: τὰc ὄψειc διάcτροφοc, ὅ ἐcτιν ¦ cτραβόc (=A$^{ti}$I$^{i}$). ZYQX

B 217/Z$^{s}$ ἔην: ἦν (=I$^{i}$), ὑπῆρχεν. ZYQX

B 217/Z$^{s}$ χωλὸc δ' ἕτερον πόδα: χωλὸc δὲ ἦν τῶι ἑνὶ τῶν ποδῶν. ZYQX. A$^{ti}$I$^{i}$ τὸν ἕνα.

B 217/Z$^{s}$ τὼ δέ οἱ ὤμω: οἱ δὲ ὦμοι αὐτοῦ. ZYQX~I$^{i}$

B 218/Z$^{s}$ κυρτώ: κυρτοί δυϊκῶc. ZYQX

B 218/Z$^{s}$ cυνοχωκότε: cυμπεπτωκότεc (=A$^{ti}$), cυνηγμένοι. ZYQXI$^{i}$

cυνπεπτωκότεc Z, cυμπεπτωκότε A$^{t}$ ||

B 218/Z$^{s}$ αὐτὰρ ὕπερθεν: ἄνωθεν δέ. ZYQX

B 219/Z$^{s}$ φοξόc: ὀξυκέφαλοc. ZYQXA$^{ti}$I$^{s}$I$^{i}$GT$^{r}$

B 219/Z$^{s}$ ψεδνή: ἀραιά, μαδαρά. ZYQXA$^{ti}$T$^{r}$I$^{i}$

B 219/Z$^{s}$ ἐπενήνοθεν: ἐπήνθει (=I$^{i}$), ἐπέκειτο. ZYQXI. A$^{ti}$ ἐβεβλαcτήκει.

B 219/Z$^{s}$ λάχνη: τρίχωcιc. ZYQXA$^{ti}$I$^{i}$, Epim. λ 5

B 220/Z$^{s}$+U$^{s}$ ἔχθιcτοc: ἐχθρότατοc (=I$^{i}$). ἰcτέον δὲ ὅτι ὁ Ἀχιλλεὺc αὐτὸν ἀναιρεῖ, ὡc ἱcτορεῖ Κόϊντοc ὁ ποιητὴc ἐν τοῖc μεθ' Ὅμηρον (1, 620ss). φηcὶν γὰρ ὅτι ἐν τῆι Ἀμαζονομαχίαι ἀνείλαc ὁ Ἀχιλλεὺc Πενθεcίλειαν τὴν τῶν Ἀμαζόνων βαcίλειαν ὕcτερον προcχὼν τὸ cῶμα αὐτῆc εὐπρεπὲc πάνυ εἰc ἔρωτα ἦλθεν τῆc προειρημένηc βαρέωc τε ἔφερεν ἐπὶ τῶι θανάτωι αὐτῆc. ὁρῶν δὲ δυcφοροῦντα αὐτὸν Θερcίτηc cυνήθωc ἐλοιδόρει, ἐφ' ὧι ὀργιcθεὶc ὁ ἥρωc γρόνθωι παίcαc αὐτὸν ἀναιρεῖ παραυτά, τῶν ὀδόντων αὐτοῦ ἐνεχθέντων χαμαί. ZYQXAUIG | ἦλθον γὰρ καὶ αὗται (scil. αἱ Ἀμαζόνεc) cυμμαχεῖν τοῖc Τρωcὶ μετὰ τὸν Ἕκτοροc θάνατον. UG

1 ἰcτέον ... post 219 τρίχωcιc YQX || ὁ om YQXAU || 2 κόϊνθοc Z || 3 ἀνείλαc Z : ἀνελὼν YQXA, ἀνεῖλεν U || ὕcτερον (δὲ U) προcχὼν : καὶ ἰδὼν Y || 6 γνόνθωι Y ||

B 220/$Z^s$ ἠδέ: καί. cύνδεcμοc διαζευκτικόc. ZYQX
διαζευκτικόc om Y ||

B 220/$Z^s$ ἠδ' Ὀδυcῆϊ: καὶ τῶι Ὀδυccεῖ. ZYQX
ὀδυccῆϊ ZYQX ||

B 221/$Z^s$ τῶ γὰρ νεικείεcκε: τούτουc (=$I^i$) γὰρ πρῶτον προλοιδορηcάμενοc καὶ κακολογήcαc ἦν, εἶθ' οὕτωc Ἀγαμέμνονα. ZYQXI
1 τοῦτον Z || προελοιδόρηcεν omissis καὶ et ἦν YQX ||

B 222/$Z^s$ ὀξέα: μεγάλα. ZYQXI

B 222/$Z^s$ κεκληγώc: κεκραγώc, ¦ ἐκβοῶν (~$I^i$). ZYQX
βοῶν, κράζων Y ||

B 222/$Z^s$ λέγε: ἔλεγε. ZYQX$I^i$

B 222/$Z^s$ ὀνείδεα: ὀνείδη, ¦ ὕβρειc (=$I^i$). ZYQX

B 222/$Z^s$ τῶι δ' ἄρ': τούτωι δὲ δή. ZYQX

B 223/$Z^s$ ἐκπάγλωc: ἐκπληκτικῶc (=$I^i$), μεγάλωc. ZYQX

B 223/$Z^s$ κοτέοντο: ὠργίζοντο. ZYQX$I^i$

B 223/$Z^s$ νεμέccηθεν: ἐμέμφοντο. ZYQX ($U^m I^i$ μεμφάμενοι)

B 224/$Z^s$ μακρὰ βοῶν: ἀνατεταμένωc καὶ μεγάλωc (~$I^i$) κράζων. ZYQX

B 224/$Z^s$ νείκεε: ἐκακολόγει. ZYQX

B 225/$Z^s$ τέο: τίνοc. ZYQX$I^i$

B 225/$Z^s$ ἐπιμέμφεαι: ἐπιμέμφηι, ἐπιζητεῖc. ZYQX

B 225/$Z^s$ χατίζειc: χρῄζειc. ZYQX$I^i$

B 226/$Z^s$ πλεῖαί τοι: πλήρειc (= I 71/Ak ὅτι ..., ~$I^i$) , γέμουcαι. διὰ τί δὲ ὑπὲρ τὴν ἄλλην ὕλην τοῦ χαλκοῦ ἐμνήcθη; ὅτι τοῖc ἀρχαίοιc cφόδρα τίμιοc ἦν ὁ χαλκόc. ZYQXUI, ~G$T^r$

B 226/$Z^s$ κλιcίαι: cκηναί. ZYQX$I^i$

B 227/$Z^s$ ἐξαίρετοι: εὐειδεῖc, ¦ ἐπίλεκτοι (=$I^i$), αἱ κατὰ τιμὴν διδόμεναι ἀπὸ τῶν αἰχμαλώτων. ZYQX=$I^m$

B 228/$Z^s$ πρωτίcτωι: πρώτωι (=$I^i$), ὡc βαcιλεῖ. ZYQX

B 229/$Z^s$ ἦ ἔτι: ἦ καὶ βραχύ τι ἔτι ζητεῖc. Z cf N 251𝔇 ἦέ τι(!) "μέροc τι".
ἦ ἔτι codd. Hom : κέτι $Z^\lambda$, qui illustrat ἦέ τι et ἦ ἔτι ||

B 229/$Z^s$ ἐπιδεύεαι: ἐνδεὴc εἶ, ¦ χρῄζειc (=$I^i$). ZYQX

B 229/$Z^s$ ὅν κέ τιc οἴcει: ὅντινά coι ἄν τιc κομίcηι (~$I^i$) τῶν Τρώων ἀπὸ τῆc Ἰλίου. ZYQX

B 230/$Z^s$ υἷοc ἄποινα: προcληπτέον τὴν ὑπε͞ρ πρόθεcιν, ἵν' ἦι "ὑπὲρ υἱοῦ δῶρα". ZYQX~G. $T^r$ ὑπέρ. $A^{ti}$ ἀντὶ τοῦ υἱοῦ.

B 231/$Z^s$ ἢ ἄλλοc Ἀχαιῶν: ἀπὸ κοινοῦ προcληπτέον τὸ 'δήcαc ἀγάγηι'. ZYQX$I^i$

B 232/$Z^s$ νέην: νεωτέραν. ZQX

B 232/$Z^s$ μίcγεαι: μίcγηι (=$I^i$). 'φιλότητι' δὲ cυνουcίαι (~$I^i$). ZYQX
lemma 'φιλότητι' pro δὲ L ||

B 232/$U^m$ ⸤ἠὲ γυναῖκα⸥ ὁ ποιητὴc τὸν λιγὺν τοῦτον ἀγορητὴν καὶ ἀφαμαρτοεπῆ (≃ Γ 215) ἐποίηcε ἤτοι cόλοικον. ὤφειλε γὰρ οὕτωc εἰπεῖν "ἢ γυναικόc". ~ Eust.

B 233/$Z^s$ τήν κ' αὐτόc (ἥν τ' Hom. = YQ$X^\lambda$): ἥντινα αὐτόc. ZYQX

B 233/$Z^s$ ἀπονόcφιν: ἄποθεν (=$I^i$) καὶ χωρίc, ZYQX | μόνοc. ZQ

B 233/$Z^s$ κατίcχεαι: κατάcχηιc. ZYQX

B 233/$Z^s$ οὐ μὲν ἔοικεν: οὐ μὲν οὖν πρέπει. ZYQX

B 234/$Z^s$ ἀρχὸν ἐόντα: ἡγεμόνα ὑπάρχοντα. ZYQX

B 234/$Z^s$ κακῶν ἐπιβαcκέμεν: κακῶν ἐπιβαίνειν (=$I^i$) καὶ ἐν κακοῖc ποιεῖν. ZYQX. $T^r$ ἐπιβαίνειν ποιεῖν.

B 235/$Z^s$ ὦ πέπονες: ἔκλυτοι καὶ ἀσθενεῖς (=X). ὁτὲ δὲ ἥδιστοι. ¦ ἡ μεταφορὰ ἀπὸ τῶν πεπόνων καὶ ἀκμαίων, ἃ τῆι μὲν γεύσει ἐστὶν ἡδέα, τῆι δὲ θίξει καὶ ἁφῆι μαλακὰ καὶ εὐένδοτα (~$T^r$). ZYQUI ~ G, Epim. π 35, ApS 129,33

2 καὶ ἀκμαίων om YU || τῆι δὲ {θίξει καὶ} ἁφῆι ⟨τῆς χειρὸς⟩ U || ⟨τῆι⟩ ἁφῆι YQ ||

B 235/$Z^s$ κάκ' ἐλέγχεα: κακὰ ὀνείδη. ZYQX. $T^r$ ἀντικρὺς ὀνείδη.

B 235/$Z^s$ Ἀχαιίδες οὐκέτ' Ἀχαιοί: γυναῖκες καὶ οὐκέτι ἄνδρες. ZYQX~$I^i$

οὐκέτ' : οὐ κατ' $Z^λ$ || 1 καὶ om YQX ||

B 236/$Z^s$ νεώμεθα: πορευώμεθα. ZYQX

B 236/$Z^s$ τόνδε δ' ἐῶμεν: τοῦτον δέ, ὅ ἐστι τὸν Ἀγαμέμνονα, καταλείψωμεν. ZYQX ~$I^i$

B 237/$Z^s$ γέρα πεσσέμεν: τὰ γέρα, ὅ ἐστι ¦ τὰς τιμάς, κατέχειν (=$I^i$). ¦ ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῆι γαστρὶ σιτίων ($T^r$)· ZYQXAU | καὶ γὰρ αὐτὰ ἂν μὴ κρατηθῆι τὸν ὡρισμένον χρόνον ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέττεται. ~ Epim. π 36. ZYQAUIG*$T^r$

3 πέπτεται A ||

B 237/$Z^s$ ὄφρα ἴδηται: ὅπως ¦ μάθηι (=$I^i$). ZYQX

B 238/$Z^s$ ἤ ῥά τί οἱ χ' ἡμεῖς: ἢ ἄρα ¦ τι αὐτῶι (=$I^i$) καὶ ἡμεῖς. ZYQX. $T^r$ ἆρα.

ἢ : εἰ Y ||

B 238/$Z^s$ προσαμύνομεν: προσβοηθοῦμεν. ZYQX$I^i$

B 238/$Z^s$ ἠὲ καὶ οὐκί: ἢ καὶ οὐδαμῶς. ZYQX

B 239/$Z^s$ ἕο: ἑαυτοῦ. ZYQX~$I^i$

B 239/$Z^s$ μέγ' ἀμείνονα: κατὰ πολὺ ¦ βελτίονα (=$I^i$). ZYQX

κατὰ πολὺ Z = Δ 405𝔇 : μεγάλα Y, μέγα QX ||

B 239/$Z^s$ φῶτα: ἄνδρα. ZYQX$I^i$

B 241/$Z^s$ ἀλλὰ μάλ' οὐκ Ἀχιλῆϊ χόλος λάβεν: ἀλλὰ πάνυ ὁ Ἀχιλλεὺς ¦ ἄχολος (=$I^i$) καὶ ἀόργητος ὑπάρχει. ZYQX

ἀχιλλῆϊ $Z^λ$ || λάβεν = A 387 : φρεσὶν Hom. ||

B 241/$Z^s$ μεθήμων: ἀμελής. ZYQX$I^i$. $T^r$ πραΰς, ἐνδόσιμος, μὴ τῶι θυμῶι εἴκων, ἀλλὰ ἄθυμος.

B 243/$Y^s$ νεικείων: ὀνειδίζων. YQX ≃ O 210𝔇

B 245/$Z^s$ ἠνίπαπε: ἐκακολόγησεν, ¦ ἐπέπληξεν (~$I^i$). ZYQX ($Y^i$ ἠπείλησε)

B 246/$Z^s$ ἀκριτόμυθε: ἄκριτε περὶ τοὺς λόγους (=$I^i$) καὶ ἄτακτε (=X). τοῦτο δέ φησι σαρκαστικῶς. ZYQ. $A^{ti}$ σαρκαστικόν.

B 246/$Z^s$ λιγύς περ ἐών: καίτοι ἡδὺς ὑπάρχων. ZYQX ~ A 275𝔇

B 246/$Z^s$ ἀγορητής: δημηγόρος. ZYQX

B 247/$Z^s$ ἴσχεο: πέπαυσο. ZYQX~$I^i$

B 247/$Z^s$ μηδ' ἔθελε: μηδὲ βούλου. ZYQX$I^i$

B 247/$Z^s$ οἶος: μόνος. ZYQX$I^i$

B 247/$Z^s$ ἐριζέμεναι: ἐρίζειν, ¦ φιλονεικεῖν (~$I^i$). ZYQX

B 248/$Z^s$ σέο: σοῦ (=$I^i$). ἐπέκτασις ὁ τρόπος. ZYQX

B 248/$Z^s$ φημί: ὑπονοῶ (K $51^{ti}$), ZYQX | λέγω (B 129𝔇). ZY$I^i$

B 248/$Z^s$ χερειότερον: χείρονα. ZYQX

B 248/$Z^s$ βροτόν: φθαρτὸν ἄνθρωπον. βρότος δὲ παροξυτόνως τὸ μετὰ κόνεως μιγὲν τοῦ ἀνθρώπου αἷμα. ZYQXIG

B 249/$Z^s$ ἔμμεναι: εἶναι. ZYQX$I^i$

B 249/$Z^s$ ὅσσοι: ὁπόσοι. ZYQX$I^i$

B 478/Z$^{s}$+Y$^{s}$ ἴκελοc: ὅμοιοc. ZYQ | ἰcτέον δὲ ὅτι ¦ τὸ "ὅμοιοc" καὶ τὸ "ἴcoc" καὶ τὸ 'ἴκελοc' δοτικῆι cυντάccονται (= A$^{ts}$, ~ Ξ 318$^{i}$) μόνα τῶν πρόc τι. YQG*~I

1 ὅμοιοc$^{2}$ : ομοίωc A$^{t}$ || ἴcoc : ἴcωc A$^{t}$ || 2 cυντάccεται A$^{t}$ ||

B 479/Z$^{s}$ Ἄρεϊ: τῶι Ἄρει. ZYQ

B 479/Z$^{s}$ ζώνην: ἤτοι τὸ κατὰ τὸ ζῶcμα μέροc, ¦ ἢ τὴν ὅπλιcιν (=I$^{i}$) ἀπὸ μέρουc. ZYQ

B 479/Z$^{s}$ cτέρνον: τὸ cτῆθοc. ZYQI$^{i}$

B 479/Y$^{s}$ Ποcειδάων (= A 400, ποcειδάωνι Hom. = Q$^{\lambda}$): Ποcειδῶν. YQ

ποcειδῶνι Q ||

B 480/Y$^{s}$ ἠύτε: ὥcπερ, ¦ καθάπερ (=I$^{i}$). YQ

B 480/Z$^{s}$ ἀγέληφι: ἐν τῆι ¦ ἀγέληι (=I$^{i}$), ἐν τῶι πλήθει. τὸ δὲ γένοc προθεὶc τὸ εἶδοc ἐπήνεγκεν· γενικὸν μὲν γὰρ ὁ βοῦc ἐcτιν, ἰδικὸν δὲ ὁ ταῦροc. ZYQG cf E 162𝔇, Ξ 347$^{T}$

2 εἰδικὸν Y, ἰδικῶc Q ||

B 480/Z$^{s}$ μέγ' ἔξοχοc: μεγάλωc (=I$^{i}$) ἐξοχώτατοc. ZYQ

B 480/Z$^{s}$ ἔπλετο: ἐγένετο. ZYQI$^{i}$ = ApS 75,3

B 481/Z$^{s}$ βόεccι: βουcίν. ZYQ

B 481/Z$^{s}$ μεταπρέπει: διαπρέπει. ZYQI$^{i}$

B 481/Z$^{s}$ ἀγρομένηιcι: ἠθροιcμένοιc. ZYQ

ἀγρομένοιcιν YQ$^{\lambda}$, Γ 209𝔇 ||

B 482/Z$^{s}$ τοῖον: τοιοῦτον. ZYQI$^{i}$

B 482/Z$^{s}$ θῆκεν: ἐποίηcεν. ZYQI$^{i}$

B 482/Z$^{s}$ ἤματι κείνωι: τῆι ἡμέραι ἐκείνηι. 'ἐκπρεπέα' (483) δὲ ἐκπρεπῆ, διάδηλον. ZYQ

ἐν ἐκείνηι τῆι ἡμέραι YQ || lemma 'ἐκπρεπέα' pro δὲ YQ ||

B 484/$Z^s$+$Y^s$+$U^s$ ἔσπετε: λέγετέ μοι, ὦ Μοῦcαι· διὸ τὸ ε̅ ψιλοῦται. ZYQ~G | ὁ δὲ λόγοc· "ἔσπετε νῦν μοι Μοῦcαι (484), οἵτινεc ἡγεμόνεc (487)· ἀρχοὺc γὰρ νηῶν ἐρέω (493), πληθὺν δ' οὐκ ἂν ἐγὼν ἐρήcομαι (488), τουτέστιν εἴπω, οὐδ' εἰ δεκαπλαcίων ἐμαυτοῦ γένωμαι· ὑμῶν γάρ ἐcτι τὸ ἔργον." 'φωνὴ δὲ ἄρρηκτοc' (490 δ')· καὶ διὰ τοῦτο δηλοῖ ὅτι cῶμα ἡ φωνή. YQUG(AT) | ζητοῦcι δέ τινεc διὰ ποίαν αἰτίαν τῆc μὲν ὅληc πραγματείαc ἀρχόμενοc ὁ ποιητὴc μίαν ἐπεκαλέcατο τῶν Μουcῶν (A 1 θεά), ἐπὶ δὲ τοῦ καταλόγου τὰc πάcαc. λέγουcι δέ τινεc τῶν γραμματικῶν ἐπὶ τοῦ 'μῆνιν ἄειδε' τὸν τρόπον εἶναι cυνεκδοχήν, ὡc ἀπὸ μιᾶc τῆc κυριωτέραc τῶν Μουcῶν νοεῖcθαι τὰc πάcαc. ZYQAUIG | καὶ γὰρ Ἡcίοδοc τὴν Καλλιόπην κυριωτέραν φηcίν, οὕτωc· 'Καλλιόπη δὴ προφερεcτάτη ἐcτὶν ἁπαcέων' (Theog. 79 Καλλιόπη θ'· ἣ δὲ). YQUIG | ἄλλοι δὲ λέγουcιν ὅτι περὶ μὲν ἑνὸc προcώπου καὶ τῆc ὀργῆc τῆc τούτου τὸν λόγον ποιούμενοc δεόντωc πρὸc μίαν τῶν Μουcῶν ἐποιήcατο τὸν λόγον, μέλλων δὲ νεῶν κατάλογον ἐρεῖν καὶ βαcιλέων, ἐθνῶν τε καὶ τόπων πλήθουc τε πραγμάτων, εὐλόγωc πρὸc ἁπάcαc τὰc Μούcαc τὸν λόγον ἀπερείδεται. ZYQAUI | ὡc ἐπὶ ἐργώδη καὶ θαυμαcίαν περιπέτειαν τὰc Μούcαc παρακαλεῖ ὡc τὸν ἀκροατὴν διὰ τὸ μέγεθοc ὄρεξιν ἔχειν καὶ cυγγινώcκειν τοῖc ἐνδεέcτερον λεγομένοιc. εὐτελίζων δὲ τὴν ἰδίαν φύcιν τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεcπάcατο εὔνοιαν. UIGAT

1 ψιλωτέον YQ || 2 ἡγεμόνεc ⟨δαναῶν⟩ T || 3 ἐρήcομαι YQ : μυθήcομαι AT || 8 καιριωτέραc Z || τῶν μουcῶν om YQU || 11 μὲν om YQ || ὀρθ(ῆc) A || 13 κατάλογον ἐρεῖν νεῶν YQA || ἐπερείδεται YQ ||

B 485/$Y^s$ πάρεcτέ τε: ἐν τοῖc πράγμαcιν ἐcτέ. YQ

B 485/$Z^s$ ἴcτε τε: καὶ ἐπίcταcθε. ZYQ

B 486/$Z^s$ κλέοc οἶον: ἤτοι μόνον τὴν δόξαν ¦ τῶν ἀνδρῶν, ἢ μόνον (~$I^i$) φήμην τινὰ ἀκούομεν. ZYQ | παρὰ τὸ κλύειν ῥῆμα, ὅ ἐcτιν ἀκούειν. ZQ

1 ἤτοι μόνην YQ || τινα ⟨ἀνδρῶν⟩ YQ || 2 ἐπίρρημα Z ||

B 486/$Z^s$ ἴδμεν: ἐπιcτάμεθα, οἴδαμεν. ZYQ

B 487/$Y^s$ κοίρανοι: ἡγεμόνεc, βαcιλεῖc. YQ ≃ B 204𝔇

B 488/$Z^s$ πληθύν: τὸ πλῆθοc. ZYQ

B 488/$Z^s$ μυθήcομαι: μυθηcαίμην, ¦ εἴποιμι (~$I^i$). ZYQ

B 488/$Z^s$ οὐδ' ὀνομήνω: οὐδὲ ὀνομάcαιμι. Z~$I^i$ ≃ Ξ 278𝔇

B 489/$Z^s$ εἶεν: ὑπάρχοιεν. Z(ὑπάρχει) YQ$I^i$

B 490/$Z^s$ ἄρρηκτοc: ἀδιάρρηκτοc, ¦ cτερεά (=$I^i$). ZYQ

B 490/$Z^s$ χάλκεον: cτερεόν. ZYQ

B 490/$Z^s$ ἦτορ: φωνή, ¦ ψυχή (=$I^i$). ZYQ

B 490/$Z^s$+$Y^s$ ἐνῆεν (A 593, ἐνείη Hom. = YQ$^\lambda$) ἐνῆν ZYQ | ἐνυπῆρχεν (~$I^i$). Y

B 491/$Z^s$ εἰ μὴ Ὀλυμπιάδεc: εἰ μὴ αἱ τὸν Ὄλυμπον κατοικοῦcαι Μοῦcαι. ZYQ

B 492/$Z^s$ μνηcαίατο: ὑπομνήcειαν. ZYQ$I^i$

B 492/$Z^s$ ὑπὸ Ἴλιον: εἰc τὴν Ἴλιον. ZYQ$I^i$

B 493/$Z^s$ ἀρχοὺc αὖ: τοὺc ἄρχονταc δή, ὅ ἐcτι τοὺc ἡγεμόναc. ZYQ

δὴ om YQ ||

↓ B 493/$Z^s$ προπάcαc: πάcαc (~$I^i$), ὅλαc. ZYQ | περιccὴ ἡ π̅ρ̅ο̅. ZQ$I^i$ = $A^{ts}$ ὅτι ...

ΑΡΧΗ ΤΗC ΒΟΙΩΤΙΑC.

B 494/$Z^s$(a) Βοιωτῶν μὲν Πηνέλεωc καὶ Λήϊτοc ἦρχον: ἄρξαcθαί φαcίν τινεc ἀπὸ Βοιωτῶν τὸν Ὅμηρον τοῦ καταλόγου εἰc κεχαριcμένον τῶν Μουcῶν ὧν ἐπεκαλέcατο· αὐτόθι γὰρ ἐν Βοιωτίαι εἶναι τὸν Ἑλικῶνα τὸ ὄροc, ὅπου cύνηθεc αὐταῖc διατρίβειν (Theog. 7). ἀντιλέγουcιν δέ τινεc τούτοιc, φάcκοντεc οὐ τῆc Βοιωτίαc, ἀλλὰ τῆc Φωκίδοc εἶναι τὸν Ἑλικῶνα· μὴ οὖν ἀπὸ Βοιωτῶν τὴν ἀρχὴν διὰ τοῦτο γεγενῆcθαι. τινὲc δὲ ὅτι ἀνθ' ὧν οὗτοι μόνοι πέντε εἶχον ἡμεμόναc. ἄλλοι δὲ φαcὶν οὐ διὰ τοῦτο, ἀλλ' ἐπεὶ πολλὰc πόλειc ἔχει ἡ Βοιωτία, διὰ τοῦτο ἐντεῦθεν ἄρξαcθαι αὐτὸν τοῦ καταλόγου. οὐκ ἔcτιν δὲ οὐδὲ τοῦτο ὑγιέc· οὐ γὰρ ἀπὸ

πλήθους πόλεων ὁ κατάλογος παραμεμέτρηται· ἤρξατο γὰρ ἂν μᾶλλον ἀπὸ Κρητῶν ἐχόντων ἑκατὸν πόλεις. ZYQAUI | βέλτιον δὲ λέγειν αὐτὸν ἀπὸ Βοιωτῶν ἦρχθαι, ἐπειδήπερ ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας συνήχθη ἅπαν τὸ πλῆθος τῶν ἐπὶ τὴν Ἴλιον μελλόντων στρατεύειν. ἔχει δὲ αὕτη ἡ πόλις λιμένας τοὺς μὲν βλέποντας εἰς τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ τῆς Ἑλλάδος ἁπάσης· δι' ἣν αἰτίαν συνηθροίσθησαν αὐτόθι καὶ ἐντεῦθεν ἀπέπλευσαν. ὁ δὲ Ἀρίσταρχος φησὶν «κατὰ ἐπιφορὰν αὐτὸν ἀπὸ Βοιωτῶν τὴν ἀρχὴν πεποιῆσθαι· εἰ γὰρ καὶ ἀπ' ἄλλου ἔθνους ἤρξατο, ἐζητοῦμεν ἂν τὴν αἰτίαν τῆς ἀρχῆς.» ZYQXAUI

2 εἰς κεχαρισμένον eadem ratione dictum qua εἰς χάριν de Marco || .. εἰς : ὡς A, ὡς εἰς U, om. L || ταῖς μούσαις ἃς L || 6 ὅτι om YQ || οὗτοι : ὅτι de Marco || 7 ἔχει Z : εἶχεν YQAU || 9 παραμετρεῖται A, μετρεῖται $U^1$ || κρήτην Z || 12 εἰς : ἐπὶ AU || 15 ἀπὸ Βοιωτῶν om AU || ποιήσασθαι A ||

B 494/$Z^s$(b) Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος καὶ τὰ ἑξῆς: οὗτοι μὲν οἱ πέντε Βοιωτῶν στρατηγοί. ἰστέον δὲ ὅτι ἐτίθεσαν οἱ πλεῖστοι τῶν παλαιῶν προληπτικῶς τὰς ὀνομασίας τοῖς παισίν, ἀφ' ὧν ἔμελλον οἱ παῖδες ἐπιτήδευσιν ἔχειν πραγμάτων· σφόδρα δὲ αὐτοῖς ἔμελεν τὰ τοῦ πολέμου. διὸ Πηνέλεως μὲν ὠνομάσθη ἀπὸ τοῦ πένεσθαι περὶ τὸν λεών, ὅπερ ἐστι πονεῖν καὶ ἐργάζεσθαι κατὰ τὸν ὄχλον. Λήϊτος δὲ ἀπὸ τοῦ λείαν ἄξειν· λεία δὲ ἡ ἀπὸ πολέμου κτῆσις. Ἀρκεσίλαος δὲ ἀπὸ τοῦ ἐπαρκέσειν καὶ βοηθήσειν τοῖς λαοῖς, τουτέστι τοῖς ὄχλοις. Προθοήνωρ δὲ ὁ προθρέξων καὶ προδραμὼν ἠνορέηι, τουτέστι τῆι ἀνδρείαι. Κλόνιος δὲ ὁ γενναῖος καὶ μάχιμος γενησόμενος· κλόνος γὰρ ἡ μάχη. ZYQAUI (U bis habet)

3 ἐπιτήδευσιν ἔχειν Z : ἐπιτηδεύειν YQAU || 4 ἔμελεν Z : ἔμελλεν YQA, ἔμελλον U || τοῦ YQU, om ZA || 6 ἄξειν ZU : αὔξειν YQ, άζειν A || 7 ἐπαρκεῖν καὶ βοηθεῖν A || 8 προθέων A, προτρέχων U || καὶ προδραμὼν om A || τῆι om AU || 9 γενόμενος I ||

B 494/$Z^s$(c) Βοιωτῶν μὲν Πηνέλεως: ἡ Βοιωτία τὸ πρότερον Ἀονία ἐκαλεῖτο ἀπὸ τῶν κατοικούντων αὐτὴν Ἀόνων. μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης, καθ' ἑτέρους δὲ ἀπὸ τῆς ἐλασθείσης κατὰ πυθόχρηστον ὑπὸ Κάδμου βοός. Εὐρώπης γὰρ τῆς Φοίνικος θυγατρὸς ἐκ Σιδῶνος ὑπὸ Διὸς ἁρπαγείσης Κάδμος ὁ ἀδελφὸς αὐτῆς κατὰ ζήτησιν πεμφθεὶς ὑπὸ τοῦ πατρός ὡς οὐχ εὑρήκει αὐτήν, ἧκεν εἰς Δελφοὺς ἐρωτήσων τὸν θεόν. ὁ δὲ θεὸς εἶπεν αὐτῶι περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῶι βοῒ καὶ πόλιν ἐκεῖ κτίζειν ἔνθα ἂν αὐτὴ εἰς τὰ δεξιὰ πέσηι καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο· εἶτα βοῒ συντυχὼν παρὰ τοῖς Πελάγονος βουκολίοις ταύτηι πορευομένηι κατόπιν εἵπετο· ἡ δὲ διεξιοῦσα πᾶσαν Βοιωτίαν ὀκνήσασα ἀνεκλίθη ἔνθα νῦν εἰσιν ἡ πόλις Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾶι τὴν βοῦν καταθῦσαι, πέμπει τινὰς τῶν μεθ' ἑαυτοῦ ληψομένους χέρνιβα ἀπὸ τῆς Ἀρητιάδος κρήνης· ὁ δὲ φρουρῶν τὴν κρήνην δράκων, ὃν Ἄρεως ἔλεγον εἶναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, καὶ τῆς Ἀθηνᾶς αὐτῶι ὑποθεμένης τοὺς τούτου ὀδόντας σπείρει, ἀφ' ὧν ἐγένοντο οἱ γηγενεῖς. ὀργισθέντος δὲ Ἄρεως καὶ μέλλοντος Κάδμον ἀναιρεῖν ἐκώλυσεν ὁ Ζεὺς καὶ Ἁρμονίαν αὐτῶι συνώικισε τὴν Ἄρεως καὶ Ἀφροδίτης· πρότερον δὲ ἐκέλευσεν αὐτὸν ἀντὶ τῆς ἀναιρέσεως τοῦ δράκοντος ἐνιαυτὸν θητεῦσαι. ἐν δὲ τῶι γάμωι Μούσας ἆισαι καὶ τῶν θεῶν ἕκαστον Ἁρμονίαι δῶρον δοῦναι. ἱστορεῖ Ἑλλάνικος ἐν Βοιωτιακοῖς (FGrHist 4F51 = Fowler) καὶ Ἀπολλόδωρος ἐν τῶι Γ (bibl. 3,21-25). ZYQAUI (subsr. dub. Wilamowitz Kl. Schr. 1, 442[1])

2 αὐτὴν ZU : ἐν αὐτῆι YQ, ἐπ' αὐτῆι A || 3 βοιωτοῦ τινὸς καὶ ἄρνης· ἔτι δὲ καὶ βοιωτοὶ τιμῶσιν τὸν προπάτορα αὐτῶν (αὐτὸν Y) βοιωτὸν υἱὸν ὄντα ποσειδῶνος YQ || 4 ⟨τὸ⟩ πυθόχρηστον A || 5 ὁ om YQAU || 6 ουκ ευρισκει Z(U), οὐχ εὗρεν A || ἧκεν : ἦλθεν AU || ἐρωτήσων ZAU : πρὸς YQ || 9 φωκείων A || 11 ἀνεκλήθη ZA || αἱ πόλεις A || 12 τινας UL : τινα ZYQA || .. ληψομένους UL : ληψόμενον ZYQA || 13 et 16 ἄρεος YQ || 15 σπείρειν ἀφ' οὗ A || 17 συνοικησεν Z ||

B 496/$Z^s$ ἦρχον: ἐβασίλευον, ἡγοῦντο. ZYQ$I^i$

B 496/$Z^s$ οἵ θ' Ὑρίην: τὸ πλῆρες οἵ τε Ὑρίαν. Ὑρία δὲ χωρίον πλησίον Αὐλίδος, ὃ ἔκτισεν Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, ἢ ὥς τινες εἶπον Βοιωτὸς ὁ Ὠρίωνος πατήρ. ZYQUI

B 496/$Z^s$ ἐνέμοντο: κατώικουν. ZYQ$I^i$

B 496/Zs+Us Αὐλίδα: Αὐλὶς ὠνόμασται ἀπὸ Αὐλίδος τῆς Εὐωνύμου τοῦ Κηφισοῦ, ἢ ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι καὶ μεῖναι τοὺς Ἕλληνας, ZYQUI(E) | ὅτε τὸν τῆς Τροίας πλοῦν ποιεῖν ἔμελλον. UI

1 κιφισοῦ Z, κηφισσοῦ YQ ||

B 496/Zs πετρήεσσαν: πετρώδη, τραχεῖαν. ZYQ

B 497/Zs Σχοῖνον: πόλιν Βοιωτίας ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος τοῦ Ἀταλάντης πατρός. ZYQUI(E)

B 497/Zs Σκῶλόν τε: καὶ Σκῶλον· ἔστι δὲ κώμη ἡ Σκῶλος ὑπὸ τῶι Κιθαιρῶνι ὄρει τῶν ἐν τῆι Βοιωτίαι Θηβῶν· οὕτω δὲ κέκληται διὰ τὸ δυσοίκητον τοῦ τόπου. ZYQUI

B 497/Zs πολύκνημον: πολλοὺς ἔχοντα κνημούς. κνημοὶ δὲ μεταφορικῶς ἀπὸ τῶν ἀνθρωπίνων κνημῶν λέγονται αἱ τῶν ὀρῶν προβάσεις. καὶ γὰρ αὗται, ὅσον ἀπὸ κεφαλῆς, πρὸ τῶν βάσεων εἰσίν, ὅ ἐστι τῶν ποδῶν. ZYQUI

3 ⟨πρὸ⟩ τῶν ποδῶν YQ ||

B 497/Zs Ἐτεωνόν: ὠνόμασται ἀπὸ Ἐτεωνοῦ, ὃς ἦν ἀπόγονος Βοιωτοῦ· καλεῖται δὲ νῦν Σκάφλαι. ZYQUI

2 σκαφλαί Y, Σκάρφη L ≃ B 532 Σκάρφην ||

B 498/Zs Θέσπειαν: τὰς νῦν πληθυντικῶς Θεσπιὰς καλουμένας. ZYQUI

θέσπιαν Zλ ||

B 498/Zs Γραῖαν: τὴν νῦν Τάναγραν καλουμένην. ZYQUmIi

B 498/Zs εὐρύχορον: πλατεῖαν, μεγάλην, ZYQUiIi | ἐξ οὗ εὔγειον. ZUi = Γ 74𝔇 ἐριβώλακα.

εὐρύχωρον ZYQ2λ ||

B 498/Zs Μυκαλησσόν: οὕτω κληθεῖσαν ἀπὸ Μυκάλης τῆς ἐν Καρίαι, Περσέως ἐν ταύτηι ἱδρυσαμένου τὸ τοῦ Μυκαλέως Διὸς ἱερόν. ZYQUI

1 κληθεῖσαν Y : κληθησεις Z, κληθείσης Q, ἐκλήθη δὲ U || 2 αὐτῆι YQU ||

B 499/Ys οἵ τε: οἵτινες. YQ

B 499/Zs ἀμφ' Ἅρμα: περὶ τὸ Ἅρμα· τὸ δὲ Ἅρμα πόλις τῆς Βοιωτίας ὀνομασθεῖσα ἀπὸ τοῦ αὐτόθι καταποθῆναι σὺν τοῖς ἵπποις τὸ Ἀμφιαράου τοῦ μάντεως ἅρμα σὺν αὐτῶι. ZYQUI

B 499/Zs Εἰλέσιον καὶ Ὕλην καὶ Ἐλεῶν': τὸ πλῆρες Ἐλεῶνα. εἰσὶν δὲ καὶ αὗται πόλεις Βοιωτίας καὶ οὕτω καλοῦνται ἐπειδὴ ὑλώδεις εἰσὶν οἱ τόποι. ZYQUI | ἐνταῦθα μέντοι ἐπεκτεταμένως ἀναγνωστέον, ⟨οὐχ⟩ ὡς τὸ 'Ὕλῃ ἔνι οἰκία ναίων' (H 221). ZYQ ~ Ak ὅτι ...

3 ⟨οὐχ⟩ de Marco coll. B 500/Ak ||

B 499/Zs Ἐρυθραί: βαρυτόνως μὲν πόλις Βοιωτίας, ὀξυτόνως δὲ πόλις Ἰωνίας· ὠνομάσθησαν δὲ ἤτοι ἀπὸ Ἐρυθροῦ τοῦ Ποσειδῶνος καὶ Ἀμφιμεδούσης τῆς Δαναοῦ, ἢ ὡς ἕτεροι ἀπὸ Ἐρυθρᾶς τῆς Πορφυρίωνος τοῦ Σερίφου. ZYQUI

ἐρυθρὰς Hom. || "βαρυτόνως" ἀντιδιαστολὴ docta fuisse videtur (Steph. Byz 261,14) ||

B 500/Zs εἶχον: κατώικουν. ZYQUi

B 500/Zs Πετεῶνα: ἀπὸ Πετεῶνος τοῦ Βοιωτοῦ. ZYQUi

πετεῶν Zλ ||

B 501/Zs Ὠκαλέα (ὠκαλέην Hom. = YQλ: πόλις Βοιωτίας U | ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. καλεῖται δὲ νῦν Ὠκάλεια. ZYQU

B 501/Zs Μεδεῶνα: ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου. ZYQUI

B 501/Zs ἐϋκτίμενον: καλῶς ἐκτισμένον (= UiIi) πτόλισμα. 'Μεδεῶνα' δὲ καὶ τὸν Μεδεῶνα. ZYQ

πτόλισμα· πόλιν YQ || duo scholia YQ || μεδεῶν Z ||

B 502/Zs Κῶπαι (Κώπας Hom. = YQλ): πόλις Βοιωτίας ἀπὸ Κωπεῶνός τινος ἥρωος (= UmIi)· παρ' ἣν καὶ λίμνη Κωπαΐς. ZYQ

2 κωπαίς L : κωπᾶς Z, κώπας Y, κωπάς Q ||

B 502/Zs πολυτρήρωνα: πολλὰς περιστερὰς ἔχουσαν. τρήρωνες γὰρ καλοῦνται αἱ περιστεραὶ ἀπὸ τοῦ τρεῖν καὶ εὐλαβεῖσθαι· δειλὸν γὰρ τὸ ζῶιον. ZYQUI~ApS 154

B 502/Zs Θίσβην: αἳ νῦν πληθυντικῶς Θίσβαι λέγονται. ZYQ ~ UI

θίσβαι Yλ, θίσβη Qλ ||

B 503/Zs Κορώνειαν: ἀπὸ Κορωνοῦ τοῦ Θερσάνδρου. ZYQUI

B 503/Zs ποιήεντα: βοτανηφόρον, σύμφυτον. πόα γὰρ ἡ βοτάνη· διὰ τούτου δὲ τὸ εὔγειον παρίστησιν αὐτῆς. ZYQUI

1 ποτανηφόρον Z || .. ποτάνη Z ||

B 504/Zs Πλάταιαν: τὰς Πλαταιὰς καλουμένας ἀπὸ †Πλατάκου. ZYQ(E)UmIi

τὰς Πλαταιὰς ἀπὸ Πλάτης τῆς Ὀγχηστοῦ L ~ E || πλατάκου Z : πλατάνου U, τοῦ πλαταμοῦ Y, τοῦ πλαταιοῦ Q ||

B 504/Zs ἔχον: εἶχον, ὤικουν. ZYQ

B 504/Zs Γλίσαντα: συσταλτέον τὸ ἰῶτα, ἵνα ἦι ὡς γίγαντα. ZYQ cf M 20/Hd-Thrax

B 504/Ls Γλίσσαντα: προπαροξυτόνως ὡς γίγαντα. ~ Es

B 505/Zs Θῆβαι (Ὑποθήβας Hom.): ἀπὸ Θήβης τῆς Ἀσωποῦ τοῦ ἐντοπίου ποταμοῦ. Ὑποθήβας οὖν τὰς ἐλάττους Θήβας, ἠλαττωμένας δὲ ὕστερον ὑπὸ τῶν Ἐπιγόνων· ἐπόρθησαν γὰρ αὐτὰς οἱ τῶν Ἑπτὰ ἐπὶ Θήβας στρατευσάντων παῖδες ἐκδικοῦντες πατρώιαν ὕβριν. ἕτεροι δ' ἅς φησιν Ὑποθήβας λέγειν τὸν ποιητὴν τὰς ὑποκειμένας ταῖς ἑπταπύλοις Θήβαις κώμας. αὗται γὰρ ἐπεπολιόρκηντο αἱ Θῆβαι. ZYQUIG

2 ἐλάττους de Marco : ἐλάττω ZYQU || 3 εκδικωντες Z, ἐκδιώκοντες U || 4 ὥς φασιν YQ, δέ οὕτω φασὶν U ||

B 506/Zs Ὀγχηστόν: τόπος τῆς Βοιωτίας ἱερὸς Ποσειδῶνος· εἴρηται δὲ ἀπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ (= UIG). 'Ποσειδήϊον' δὲ ¦ Ποσειδῶνος ἱερόν (= Ui). ZYQ

2 ποσιδήϊον Hom. || lemma 'Ποσειδήϊον' pro δὲ YQ ||

B 506/Zs ἀγλαόν: καλόν. ZYQ

B 506/Zs ἄλσος: πᾶς τόπος σύνδενδρος ὕδωρ ἔχων καὶ θεοῖς ἀφιερωμένος ἄλσος καλεῖται. ZYQUIG

B 507/Zs πολυστάφυλον: πολυάμπελον. ZQUi

B 507/Zs Ἄρνη (Ἄρνην Hom. = YQλ): πόλις Βοιωτίας ἀπὸ Ἄρνης, ἧς καὶ Ποσειδῶνος Βοιωτός. οἱ δὲ ὅτι οὐχ εὑρίσκεται κατὰ τοὺς Τρωϊκοὺς χρόνους Ἄρνη πόλις Βοιωτίας· ὅθεν ἔνιοι πιθανῶς μεταγράφουσιν 'οἵ τε πολυστάφυλον Ἄσκρην ἔχον'. ZYQUIG

3 ἄσκρην = Ak-Ze, Strabo 9,2,35, ἄρνην G, || .. ἔχον ZU Hom. : ἔναιον YQG (= 522) ||

B 508/Ys Νῖσαν: Βοιωτίας, οὐ Μεγαρίδος· ἔστι δὲ ἐν αὐτῆι Διονύσου ἐπιφανὲς ἱερόν. YQEUmImG

B 508/Ys ζαθέην: ἄγαν θείαν. YQ

B 508/Zs Ἀνθηδόνα τε: καὶ τὴν Ἀνθηδόνα. Z | Ἀνθηδὼν δὲ πόλις Βοιωτίας· ἐκ ταύτης ἦν Γλαῦκος ὁ θαλάσσιος. 'ἐσχατόωσαν' οὖν τὴν ἐν τοῖς ἐσχάτοις μέρεσιν τῆς Βοιωτίας κειμένην. ZYQUmImG

2 lemma 'ἐσχατόωσαν' pro οὖν L ||

B 509/Zs τῶν μέν: τούτων μέν. ZYQIi

B 509/Zs νέες: πλοῖα. ZYQ

B 509/Ui ⌞κίον⌟ παρεγένοντο (~ B 588𝔇). UiIi

B 510/Zs βαῖνον: ἐνέβαινον. ZYQ

B 511/Zs Ἀσπληδόνα: ὠνόμασται ἀπὸ Ἀσπληδόνος τοῦ Πρέσβωνος· ἔστι δὲ Βοιωτίας τῆς Ὀρχομενίων γῆς· καλεῖται δὲ νῦν Εὐδείελος. ZYQUmIm

1 πρέσβαινος Z || 2 εὐδίελον ZYU ||

B 511/Ys ναῖον: ὤικουν. YQ = B 522𝔇

B 511/Zs+Ys Ὀρχομενόν: τὸν ἐν Βοιωτίαι λέγει Ὀρχομενόν (~Ii), ZYQUIG | τὸν ὑπὸ Μινύου βασιλευθέντα, YQUG | τὸν ὀνομασθέντα ἀπὸ Ὀρχομενοῦ τοῦ Διός, οὗ

καὶ Ἑρμίππης τῆς Βοιωτοῦ Μινύας, ἀφ' οὗ Μινύαι ἐκλήθησαν οἱ τὴν χώραν κατοικοῦντες. ἔστι δὲ καὶ ἕτερος Ὀρχόμενος τῆς Ἀρκαδίας, ὃν 'πολύμηλον' καλεῖ ὁ ποιητής (B 605𝔇), καὶ ἕτερος τῆς Θεσσαλίας. ZYQUIG

2 οὗ Z : υἱοῦ YQU ||

B 512/Y$^{s}$ υἷες Ἄρηος: παῖδες (B 621𝔇) τοῦ Ἄρεος. YQ

B 513/Z$^{s}$ δόμωι: οἴκωι. ZYQ

B 513/Z$^{s}$ Ἀζείδαο: Ἀζέως παιδός. ZYQU$^{i}$I$^{i}$

αιζείδαο Z$^{\lambda}$ || .. αιζεος Z ||

B 514/Z$^{s}$ παρθένος: ἡ ἔτι παρθένος νομιζομένη τοῖς γονεῦσι. ZYQU$^{i}$G

B 514/Z$^{s}$ αἰδοίη: αἰδοῦς ἀξία καὶ τιμῆς. ZYQI$^{i}$

B 514/Z$^{s}$+U$^{m}$ ὑπερώϊον εἰσαναβᾶσα: εἰς τὸ δίστεγον ἀνελθοῦσα. οἱ γὰρ ἀρχαῖοι ταῖς γυναιξὶν ὑπερώιους τοὺς θαλάμους κατεσκεύαζον ὑπὲρ τοῦ δυσεντεύκτους αὐτὰς εἶναι. ZYQAU$^{m}$I$^{m}$G | ὑπερώϊα τὰς καλούμενας γυναικωνίτιδας. U$^{m}$I$^{m}$

1 ἐλθοῦσα YQ || 2 αὐτὰς YQAU : αὐτοὺς Z ||

B 515/Z$^{s}$+Y$^{s}$ κρατερῶι: ἰσχυρῶι, φοβερῶι. Z | 'λάθρηι' δὲ λαθραίως, ZYQ | κρυφαίως. YQ

lemma 'λάθρηι' pro δὲ YQ ||

B 515/Z$^{s}$ παρελέξατο: παρεκοιμήθη. ZYQ

B 515/Z$^{s}$+Q$^{s}$+U$^{i}$ ὁ δέ οἱ: οὗτος δὲ αὐτῆι. ZYQ | ὁ δὲ ἀντὶ τοῦ γάρ. QU$^{i}$I$^{i}$ = P 160𝔇 | οὗτος δὲ αὐτῆι παρεκοιμήθη λαθραίως. U$^{i}$I$^{i}$

B 516/Z$^{s}$ γλαφυραί: βαθεῖς, ¦ κοῖλαι (=I$^{i}$). ZYQ

βαθεῖαι YQ ||

B 516/Z$^{s}$ ἐστιχόωντο: ἐν τάξει παρεγίνοντο. ZYQ~I$^{i}$

παρεγένοντο YQ, ἐπορεύοντο I$^{i}$ ||

B 517/Z$^{s}$ αὐτὰρ Φωκείων: τῶν δὲ Φωκέων (= U$^{i}$I$^{i}$). διχῶς δὲ γράφεται 'Φωκήων' καὶ 'Φωκείων'. τοὺς δὲ Φωκεῖς οἱ μὲν ἀπὸ Φώκου τοῦ Ψαμάθης καὶ Αἰακοῦ φασιν ὠνομάσθαι, οἱ δὲ ἀπὸ Φώκου τοῦ Ποσειδῶνος καὶ Προνόης τῆς Ἀσωποῦ. ZYQAU$^{m}$I$^{m}$G*

1 διφορεῖται UI (~ Y 74/Ak) || διχῶς ἐν ταῖς Ἀριστάρχου Di || 2-3 φασιν ... φώκου om YQA ||

B 517/Y$^{s}$ ἦρχον: ἡγοῦντο. YQ

B 518/Z$^{s}$ υἱέες Ἰφίτου: Σχέδιος καὶ Ἐπίστροφος. ZYQ

B 518/Z$^{s}$ μεγαθύμου: μεγαλοψύχου, γενναίου. Z = B 706𝔇

B 518/Z$^{s}$ Ναυβολίδαο: Ναυβόλου παιδὸς (= U$^{i}$I$^{i}$) Ἰφίτου. ZYQ

B 519/Z$^{s}$ Κυπάρισσον: πόλιν Φωκίδος (=I$^{i}$). ὠνομάσθη δὲ ἀπὸ Κυπαρίσσου τοῦ Ὀρχομένου ἀδελφοῦ, ἢ ἀπὸ τῶν ἐν αὐτῆι φυομένων κυπαρίσσων. ZYQAUIG

B 519/Z$^{s}$ Πυθών (Πυθῶνα Hom.): καὶ αὕτη πόλις Φωκίδος (~I$^{i}$)· τὸ πρότερον δὲ ἐκαλεῖτο Παρνασσία νάπη, ὡς ἀπὸ τοῦ παρακειμένου ὄρους, ἔπειτα Πυθώ, ὕστερον δὲ Δελφοί. καὶ Πυθὼ μὲν ἐπεὶ κατεσάπη αὐτόθι ὁ δράκων, ὁ τὸ μαντεῖον πρότερον φυλάττων, ὃν ἀπέκτεινεν τοξεύσας ὁ Ἀπόλλων· πύθεσθαι γὰρ τὸ σήπεσθαι, ὡς τὸ 'σέο δ' ὀστέα πύσει ἄρουρα' (Δ 170𝔇). ἤ, ὡς ἔνιοι φασίν, διὰ τὸ παραγινομένους αὐτόθι πυνθάνεσθαι τοὺς ἀνθρώπους περὶ ὧν ἐθέλουσιν. ZYQAUIG

2 πυθώ : πυθὼν A || 4 ὀστᾶ ZA || 5-6 πυνθάνεσθαι : πύθεσθαι YQ = l. 4 ||

B 520/Z$^{s}$ Κρῖσα: πεδίον (=I$^{i}$) ἐν Λοκρίδι, ἣ ὡς οἱ πλειονές φασιν, ¦ ἐν Δελφοῖς (=I$^{i}$), ὀνομασθὲν ἀπὸ Κρίσου τοῦ Τυράννου καὶ Ἀστεροδείας τῆς Δηΐονος. ZQYAUIG

Κρῖσαν Q$^{\lambda}$ = Hom., Κρίσσαν Y$^{\lambda}$ || 1 φησιν Z || 2 δηϊονέως UG ||

B 520/Z$^{s}$ Δαυλίς (Δαυλίδα Hom.): καὶ αὕτη πόλις Φωκίδος, ἀπὸ Δαυλιέως ὀνομασθεῖσα τοῦ Τυράννου καὶ Κρηστώνης, ἢ διὰ τὸ σύμφυτον· δαυλὸν γὰρ τὸ δασὺ ἔλεγον οἱ ἀρχαῖοι. ZYQAUIG

1 καὶ αὕτη : δαυλὶς δὲ A, om YQU || 2 χρηστώνης A ||

B 520/Z$^{s}$ Πανοπῆα: πόλις τῆς Φωκίδος (~I$^{i}$), ῥηθεῖσα ἀπὸ Πανοπέως τοῦ Φώκου. ZYQAUIG

πανόπη Z$^{\lambda}$ || 1 τῆς om YQA ||

B 521/$Z^{s}$ Ἀνεμώρειαν: αὕτη μεταξὺ κεῖται Φωκίδος καὶ Δελφῶν, ἐφ' ὑψηλοῦ τόπου, ὅθεν καὶ οὕτως ὠνόμασται παρὰ τὸ καταπνεῖσθαι αὐτὴν σφοδρῶς. ZYQAUG

B 521/$Z^{s}$ Ὑάμπολιν: Ὑάντων πόλιν UI | οἵτινες ᾤκουν τὴν ὑπὸ Ὑάντων ἔθνους βαρβάρων οἰκισθεῖσαν πόλιν. ZYQUIG

οιάνπολιν $Z^{\lambda}$ ||

B 522/$Z^{s}$ οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισόν: οἵτινες δὲ παρὰ τὸν ποταμόν, UI | οὗτοι Ἐπικηφίσιοι λέγονται, ὑπὸ δέ τινων Παραποτάμιοι. ὁ δὲ Κηφισὸς ποταμός ἐστιν τῆς Φωκίδος, ἔχων τὰς πηγὰς ἐκ Λιλαίας ὥς φησιν Ἡσίοδος 'ὅς τε Λιλαίηθι προΐει καλλίρροον ὕδωρ' (fr. 70,18 M.-W.). ZYQAUIG

2 ἐστιν : ἐπὶ A || 3 ὅς YQU : ὡς A, om Z || 4 προρ(ρ)έει Y(Q) ||

B 522/$Y^{s}$ δῖον: θαυμαστόν. YQ

B 522/$Z^{s}$ ἔναιον: ᾤκουν. ZYQ

B 523/$Z^{s}$ Λίλαιαν: πόλις τῆς Φωκίδος παρακειμένη ταῖς τοῦ Κηφίσου πηγαῖς. $ZYQU^{m}I^{i}$

B 524/$Z^{s}$ ἕποντο: ἠκολούθουν. ZQ

B 525/$Z^{s}$ στίχας: τάξεις. ZYQ

στίχες $YQ^{\lambda}$ = Δ 201𝔇 ||

B 525/$Z^{s}$ ἵστασαν: εἱστήκεσαν. ZYQ

εισταςαν $Z^{\lambda}$, ἔστησαν $Y^{\lambda}$, ἔστασαν $Q^{\lambda}$ ||

B 525/$Z^{s}$ ἀμφιέποντες: περὶ αὐτὸν ἐνεργοῦντες καὶ δι' ἐπιμελείας ἔχοντες. $ZYQU^{m}I^{m}$

nihil nisi περὶ αὐτὸν ἀσχολούμενοι (~ O 555𝔇) καὶ ἐνεργοῦντες Y ||

B 526/$Z^{s}$ ἔμπλην: πλησίον. $ZYQI^{i}$

B 526/$Y^{s}$ ἐπ' ἀριστερά: ἐκ τοῦ ἀριστεροῦ μέρους. $YQI^{m}$

B 526/$Z^{s}$ θωρήσσοντο: καθωπλίζοντο. $ZYQI^{m}$

B 527/$Z^{s}$ Λοκρῶν δ' ἡγεμόνευεν Ὀϊλῆος ταχὺς Αἴας: τρία γένη Λοκρῶν Ὀζόλαι, Ἐπιζεφύριοι, Ἐπικνημίδιοι. UI | Λοκρῶν νῦν μέμνηται τῶν Ἐπικνημιδίων καλουμένων. οὗτοι γὰρ ἀντικρὺ τῆς Εὐβοίας τὴν οἴκησιν πεποίηνται οἱ ὑπὸ τῶι Αἴαντι ὄντες. εἰσὶν δὲ καὶ ἕτεροι Λοκροὶ ἐπικαλούμενοι Ὀζόλαι περὶ τὴν Αἰτωλίαν ἐπὶ τῆς ἑτέρας πλευρᾶς οἰκοῦντες κατὰ τὸ Κρισαῖον πεδίον, κεκλημένοι οὕτως ἀπὸ τοῦ αὐτόθι ῥέοντος Ὄζοντος ποταμοῦ, ὃν ἐποίησαν δυσώδη οἱ ἰχῶρες τοῦ Κενταύρου τοῦ ὑπὸ Ἡρακλέους τρωθέντος ὁπηνίκα διάγων Δηϊάνειραν τὴν Οἰνέως κατὰ τὸν Εὐηνὸν ποταμὸν ἐπεχείρει βιάζεσθαι. ἢ ὅτι εἰσὶν αἰγονόμοι καὶ τὰς δορὰς τῶν βοσκημάτων δυσώδεις οὔσας καὶ ἀβυρσεύτους ἀμφιέννυνται. τούτων δὲ ἄποικοί εἰσιν ἕτεροι Λοκροὶ οἱ Ἐπιζεφύριοι καλούμενοι διὰ τὸ ἐπὶ Ζεφυρίωι ὄρει τῆς Ἰταλίας παροικεῖν. ZYQAUIG

1 et 4 ὀζόται U || 10 ὑποζεφύριοι ZU || τὸ : τῷ Z || ἐπὶ del. de Marco || 11 κατοικεῖν U ||

↑ B 527/$Z^{s}$ ἡγεμόνευεν: ἡγεῖτο. ZYQ

B **/$U^{s}$ Κενταύρου δὲ τοῦ Πυλήνορος λέγει. UI cf Paus. 5,5,10 Πυλήνορα ... φασίν ἐν τῶι ὕδατι ἀπολοῦσαι ... τῶι Ἀνίγρωι.

B 528/$Z^{s}$ μείων: μικρότερος, ἐλάττων. ZYQ ~ $U^{m}$

B 528/$Z^{s}$ οὔ τι τόσος: οὐ τηλικοῦτος τῶι τε μεγέθει τοῦ σώματος καὶ τῆι δυνάμει. ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. $ZYQU^{m}I^{m}$

ούτι χ' ὅσσος $Z^{\lambda}$ ||

B 528/$Z^{s}$ ὅσος: ὁποῖος. ZYQ

ὅσσος $Z^{\lambda}$ ≃ B 125 ὅσσοι ||

B 528/$Z^{s}$ μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος Αἴας, / ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ, / ἐγχείηι δ' ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς: ἀθετοῦνται οἱ τρεῖς οὗτοι στίχοι ὡς μὴ γνήσιοι τοῦ ποιητοῦ. πρῶτον μὲν ὅτι οὐκ "ἦν μικρότερος Ὀϊλέως Αἴας τοῦ Τελαμῶνος". φησὶ γὰρ ἐν ἑτέροις τῆς ποιήσεως· 'Αἴας δ' οὐκέτι

πάμπαν, Ὀιλῆος ταχὺς υἱός, / ἵςτατ' ἀπ' Αἴαντος Τελαμωνίου οὐδ' ἠβαιόν, / ἀλλ' ὥς τ' ἐν νειῶι βόε οἴνοπε πηκτὸν ἄροτρον / ἶςον θυμὸν ἔχοντε τιταίνετον' (N 701-4). ἔπειθ' ὅτι οὐκ οἶδε "λινοῖς θώραξι" χρωμένους τοὺς Ἕλληνας. ψεῦδος δ' ἐςτὶ καὶ τὸ 'ἐγχείηι δ' ἐκέκαςτο Πανέλληνας καὶ Ἀχαιούς'. ZYQUIG cf Ak

τόςςος $Z^λ$ || 2 λινοθήρηξ $Z^λ$ || 4 ‹ὁ› ὀϊλέως Y || 6 ἔχοντες Z = O 710 ||

B 529/$Z^s$ ὀλίγος: μικρός (=$I^m$)· πάλιν ποςότης ἀντὶ πηλικότητος (=$I^i$, 528𝔇). $ZYQU^m$

B 529/$Z^s$ λινοθώρηξ: λίνου θώρακα ἔχων· οἱ γὰρ τοξόται λινοῦς θώρακας φοροῦςιν. $ZYQU^mI^mG$

B 530/$Z^s$ ἐγχείηι: τῆι διὰ δόρατος μάχηι· 'ἐκέκαςτο' δὲ ἐκεκόςμητο, ἐνίκα. $ZYQU^m$ $I^m$

lemma 'ἐκέκαςτο' pro δὲ YQ || ἐνίκα : ὑπὲρ πάντας τοὺς ἕλληνας $U^m$(= ZQ infra) ||

B 530/$Z^s$ Πανέλληνας: ἀντὶ τοῦ ὑπὲρ πάντας τοὺς Ἕλληνας. ZQ

B 531/$Z^s$ Κῦνος καὶ Ὀποῦς (Κῦνον καὶ Ὀπόεντα Hom.): πόλις τῆς Λοκρίδος· εἴρηται δὲ ἀπὸ Κύνου τοῦ Λοκροῦ. $ZQU^m$

1 πόλεις $QU^m$ | .. εἴρηνται Q ||

B 531/$Z^s$ Καλλίαρόν τε: ἀπὸ Καλλιάρου τοῦ Ὀποῦντος. $ZQU^mI^m$

B 532/$Z^s$ Βῆςαν: οὕτως ὠνόμαςται διὰ τὸ ςύμφυτον εἶναι τὸ χωρίον· πάντες γὰρ οἱ ςύνδενδροι τόποι καὶ μάλιςτα τῶν ὀρῶν βῆςςαι λέγονται. ZQUIG

βῆςαν $Z^λ$, βῆςςαν $Y^λ$ = vv.ll. Hom., βῆςαι $Q^λ$ || 2 βῆςαι Q ||

B 532/$Z^s$ Cκάρφην: οὕτως ὠνόμαςται ἀπὸ Cκάρφης τῆς Αἴςονος μητρός. ZQUIG

B 532/$Z^s$ Αὐγειάς: ἀπὸ Αὐγείας τινὸς ἐγχωρίου νύμφης· οὐκέτι δὲ οἰκεῖται (= UI). 'ἐρατεινὰς' δὲ ἐπεράςτους, καλὰς καὶ ἐπιθυμίας ἀξίας. ZQG

lemma 'ἐρατεινὰς' pro δὲ L ||

B 533/$Z^s$ Τάρφην: οὕτως ὠνόμαςται διὰ τὴν δαςύτητα τῆς ὕλης· ταρφέα γὰρ τὰ ςυνεχῆ. ZQUIG

B 533/$Z^s$+$U^s$ Θρόνιον: ἀπὸ Θρονίας νύμφης (= Pind. pae. 2,1 = fr. 52b) οὕτως ὠνόμαςται ZQUI | ἢ θρόνιον εἶχε πόδα, τουτέςτι ξύλινον. UI

B 533/$Z^s$ Βοαγρίου ἀμφὶ ῥέεθρα: περὶ τὰ τοῦ Βοαγρίου ῥεύματα· ὁ δὲ Βοάγριος ¦ ποταμὸς τῆς Λοκρίδος (=$I^i$). ZQ~U

B 536/$Z^s$ Εὔβοια (Εὔβοιαν Hom.): νῆςος παρακειμένη τῆι Ἀττικῆι καὶ Βοιωτίαι καὶ Φωκίδι καὶ Λοκρίδι, ¦ ἥτις καὶ Μάκρις ἐκαλεῖτο, ἤτοι διὰ τὸ εἰς μῆκος κεῖςθαι (~ schol. Callim. hy. 3,188b), ἢ ἀπὸ Μάκριδος νύμφης τῆς τροφοῦ Ἥρας· ὠνομάςθη δὲ Εὔβοια ἀπὸ Εὐβοίας τῆς Ἀςωποῦ. ZQAUIG

1 βοιωτίαι : εὐβοίαι A ||

B 536/$Z^s$ μένεα πνείοντες: θυμοῦ καὶ δυνάμεως ⌜πνείοντες, τουτέςτιν QG⌝ γέμοντες, θαρςαλέοι· Ἄβαντες δὲ οἱ ἀπὸ Εὐβοίας, ἀπὸ Ἄβαντος τοῦ Ποςειδῶνος βαςιλέως αὐτῶν. $ZQG\sim U^mI^i$

μένεαν πανείοντες $Z^λ$ || 2 ἀπὸ εὐβοίας Q : εὐβοείας Z ||

B 537/$Z^s$ Χαλκίδα: Χαλκὶς πόλις τῆς Εὐβοίας. $ZQ\sim U^iI^i$

B 537/$Z^s$ Εἰρέτριάν τε: καὶ Ἐρέτριαν. εἴρηται δὲ ἀπὸ Ἐρετριέως τοῦ Φαέθοντος. ZQUIG*

B 537/$Z^s$ Ἱςτίαιαν: αὕτη τὸ πρότερον ἐκαλεῖτο Παλλαντία, ὕςτερον δὲ οὕτως προςηγορεύθη ἀπὸ Ἱςτιαίας τῆς Ὑριέως. ZQUIG

B 538/$Z^s$ Κήρινθος (Κήρινθον Hom.): πόλις Εὐβοίας ἐπιθαλάττιος (= $U^m$), ἧι παραρρεῖ ποταμὸς ὁ Βού-δορος. ZQ (cf Strabo 10,1,5 ἐγγὺς δὲ Βούδορος ποταμός)

1 ἐπιθαλάςςιος QU || ἧι παραρρεῖ de Marco : ηπαρειZ, et ἥπαρος Q ut lemma ||

B 538/$Z^s$ ἔφαλον: παραθαλάςςιον. ZQ

B 538/$Z^s$ Δίου τ' αἰπὺ πτολίεθρον: τὸ ὑψηλὸν καὶ μέγιςτον ⌜πόλιςμα U⌝· καλεῖται δὲ Δῖον, καὶ πληθυντικῶς Δίαι· εἴρηται δὲ ἀπὸ Δίου τοῦ Πανδώρου. ZQUIG

1-2 δὲ καὶ δίων πληθυντικῶς (om δίαι) Q || τοῦ πανδώρου om U ||

B 539/$Z^s$ Κάρυςτον: πόλιν Εὐβοίας. ZQ$I^i$

B 539/$Z^s$ ναιετάαςκον: ᾤικουν. ZQ

B 540/$Z^s$ ὄζος Ἄρηος: ἀπόγονος Ἄρεως, πολεμικός. ZQG

B 541/$Z^s$ Χαλκωδοντιάδης: Χαλκώδοντος παῖς Ἐλεφήνωρ (=$I^iU^m$). εἰ δὲ ὡς προείρηται (B 494𝔇) προληπτικῶς τὰ ὀνόματα ἐτίθουν οἱ παλαιοὶ τοῖς παιςίν, ZQAG | πεποίηται παρὰ τὸ ἐλεφαίρεςθαι αὐτὸν καὶ βλάπτειν τοὺς πολεμίους. ZQA$U^m$G$I^i$

1-3 εἰ δὲ ... πολεμίους : εἴρηται δὲ προληπτικῶς τὸ ὄνομα ὡς ἔθος τοῖς παλαιοῖς τιθέναι τοῖς παιςί· παρὰ τὸ ἐλεφαίρεςθαι αὐτὸν καὶ βλάπτειν τοὺς ἐναντίους Q || 3 καὶ βλάπτειν τοὺς πολεμίους : τοὺς πολεμίους βλάπτοντα A ||

B 541/$Q^s$ ἀρχός: ἄρχων, ἡγεμών. Q ~ A 311𝔇

B 542/$Z^s$ θοοί: ταχεῖς· 'μεγαθύμων' (541) δὲ μεγαλοψύχων, γενναίων. ZQ

B 542/$Z^s$ ὄπιθεν κομόωντες: τὰ ὀπίςω μέρη τῆς κεφαλῆς κομῶντες ἀνδρείας χάριν. ἴδιον δὲ τοῦτο τῆς τῶν Εὐβοέων κουρᾶς, τὸ ὄπιθεν τὰς τρίχας βαθείας ἔχειν. ZQAUIG

B 543/$Z^s$ αἰχμηταί: πολεμικοί, ¦ μαχηταί (= ApS 15,11). ZQ

B 543/$Z^s$ μεμαῶτες: προθυμούμενοι. ZQ

B 543/$Z^s$ ὀρεκτῆιςιν μελίηιςι: τοῖς ἐκ χειρῶν δόραςιν οἷς ὀρέγδην ἐχρῶντο ςυνιςτάμενοι καὶ ἐκτείνοντες αὐτά, ἐξ οὗ "θαρςαλέοι" δηλοῦνται· ὀρέξαςθαι γάρ ἐςτιν τὸ ἐκ χειρὸς πατάξαι. ZQA$U^mI^i$G

2 θαςαλαίοι Z, θαρςαλαίοι A || δηλοῦνται $U^m$ : δηλοῦν Z, om QA ||

B 543/$Z^s$ μελίηιςιν: δόραςιν ἀπὸ μελίας ξύλου γενομένοις. (Z γεναμένων)Q

B 544/$Z^s$ ῥήξειν: διαρρήξειν. ZQ$I^i$

B 544/$Z^s$ δηΐων: πολεμίων. ZQ$I^i$

B 544/$Z^s$ ἀμφὶ ςτήθεςφι: περὶ τοῖς ςτήθεςιν αὐτῶν. ZQ

B 546/$Z^s$ οἳ δ᾽ ἄρ Ἀθήνας εἶχον: ἀντὶ τοῦ ᾤικουν. Ἀθήνας δὲ νῦν κέκληκε τὴν πόλιν, τοὺς δὲ δήμους παρέλιπεν διὰ τὸ πλῆθος ἢ διὰ τὸ μὴ δύναςθαι πάντας εἰς μετροποιίαν καταταγῆναι. ZQAUIG*

2 παρέλειπεν Z ||

B 547/$Z^s$ δῆμον: ὄχλον. ZQ | 'Ἐρεχθέως' δὲ τοῦ βαςιλέως τῶν Ἀθηναίων, τοῦ καὶ Ἐριχθονίου καλουμένου, γεννηθέντος δὲ ἐκ τοῦ Ἡφαίςτου. οὗτος γὰρ ἐδίωκεν Ἀθηνᾶν ἐρῶν αὐτῆς, ἡ δὲ ἔφυγεν. ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῆι ἀνάγκηι – ἦν γὰρ χωλός – ἐπειρᾶτο ςυνελθεῖν· ἡ δὲ ὡς ςώφρων καὶ παρθένος ὡς οὐκ ἀνείχετο, ἀπεςπέρμηνεν εἰς τὸ ςκέλος τῆς θεοῦ. ἡ δὲ μυςαχθεῖςα ἐρίωι ἀπομάξαςα τὸν γόνον ἔρριψεν εἰς γῆν, ὅθεν Ἐριχθόνιος ὁ ἐκ τῆς γῆς ἀναδοθεὶς παῖς ἐκλήθη κατά τινα ἐτυμολογίαν, ὡς ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός. ἱςτορεῖ Καλλίμαχος ἐν Ἑκάληι (fr. 260, 18-20, sed v. Apd. bibl. 3, 14, 6). ZQAUIG*

1 lemma 'Ἐρεχθέως' (Ἐρεχθῆος Hom.) pro δὲ (U)L || τῶν om A || 2 οὗτως Z || 4 ὡς 1 : οἷα U || παρθένος οὖςα οὐκ A || ἠνείχετο QU, ἀνέςχετο A || 5 ⟨ὃς⟩ ἀπεςπέρμηνεν A || εἰς τὸν μηρὸν αὐτῆς U || θεοῦ : θεᾶς A || 6 ἐκλήθη om Q || 6-7 κατά ... ὡς om A || 7 τῆς : τοῦ U || ἐν ἑκάβη QUIG, om A ||

B 547/$Z^s$ μεγαλήτορος: μεγαλοψύχου, γενναίου. ZQ

B 547/$Q^s$ Ἀθήνη: Ἀθηνᾶ. Q

B 548/$Z^s$ ζείδωρος: ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη γῆ. 'ἄρουρα' γὰρ ἡ γῆ παρὰ τὸ ἀροτριᾶςθαι. ZQG

1 γὰρ Z : δὲ Q ||

B 549/$Z^s$ κὰδ δ᾽ ἐν Ἀθήνηις εἷςεν: ἐγκαθίδρυςεν αὐτὸν Ἀθήνηςιν ἐν τῶι ἰδίωι αὐτῆς ἱερῶι ἡ θεὸς καὶ ἔδωκεν φυλάττειν ταῖς Κέκροπος θυγατράςι. ZQUIG

αθηναις $Z^{\lambda}$ || 1 καθίδρυςε QU ||

B 549/$Z^s$+$U^m$ ἑῶι ἐνι (ἐν Hom.): ἐν τῶι ἰδίωι. 'πίονι' δὲ ἀντὶ τοῦ ¦ πλουςίωι καὶ εὐδαίμονι (= $U^mI^i$). ZQG | πολλὰ ἀναθήματα ἔχοντι. $U^mI^i$

1 lemma 'πίονι' pro δὲ L ||

B 549/$Z^s$ νηῶι: ναῶι. ZQ

B 550/Q$^{s}$ ἔνθα: ἐκεῖ, ἐν ταῖϲ Ἀθήναιϲ. QU$^{m}$I$^{i}$ ~ O 82𝔇

B 550/Q$^{s}$ μίν: αὐτόν, τὸν Ἐρεχθέα. QU$^{m}$I$^{i}$ ~ Γ 386𝔇

B 550/Z$^{s}$ ἀρνειοῖϲ: ἀρνοῖϲ, ¦ κριοῖϲ (= U$^{m}$I$^{i}$). ZQ

B 550/Z$^{s}$ ⟨ἱλάονται:⟩ ἱλάϲκονται, ¦ ἐξευμενίζονται, ἐξιλεοῦνται (= U$^{m}$). 'κοῦροι' δὲ ''Ἀθηναίων' (551) οἱ Ἀθηναῖοι περιφραϲτικῶϲ. ZQI$^{i}$G

lemma ἱλάϲκονται ZQ : ἱλάονται L, quod supplevi, cf Intr. p. 4,a || 1 lemma 'κοῦροι' pro δὲ L ||

B 551/Z$^{s}$ περιτελλομένων: εἰϲ τὸ αὐτὸ κατὰ περίοδον περιερχομένων καὶ τελειουμένων. ZQG~U$^{m}$

B 553/Z$^{s}$ ἐπιχθόνιοϲ: ἐπίγειοϲ. ZQ

B 554/Z$^{s}$ κοϲμῆϲαι: διατάξαι, καθοπλίϲαι. ZQU$^{m}$I$^{i}$

B 554/Z$^{s}$ ἀϲπιδιώταϲ: ἐνόπλουϲ. ZQU$^{m}$I$^{i}$

B 555/Z$^{s}$ οἶοϲ: μόνοϲ. ZQU$^{m}$I$^{i}$

B 555/Z$^{s}$ ἔριζεν: ἐφιλονείκει, ἐξιϲοῦτο. ZQU$^{m}$I$^{i}$

B 555/Z$^{s}$ προγενέϲτεροϲ ἦεν: παλαιότεροϲ ὑπῆρχεν. ZQU$^{m}$I$^{i}$

B 557/Z$^{s}$ Ϲαλαμίϲ (Ϲαλαμῖνοϲ Hom.): νῆϲοϲ πρὸ τῆϲ Ἀττικῆϲ ὅθεν ἦν Αἴαϲ ὁ Τελαμῶνοϲ. ZU$^{m}$G(Q τελαμώνιοϲ)

B 557/Z$^{s}$ ἄγεν: ἦγεν, ἔφερεν. ZQ

B 558/Z$^{s}$ φάλαγγεϲ: τάξειϲ. ZQ

B 559/Z$^{s}$ Ἄργοϲ: τὴν Πελοπόννηϲον. ZQU$^{i}$I$^{i}$

B 559/Z$^{s}$ Τίρυνθα: πόλιν τοῦ Ἄργουϲ (= U$^{i}$I$^{i}$). 'τειχιόεϲϲαν' δὲ ¦ τὴν καλῶϲ τετειχιϲμένην ἐπεὶ δοκεῖ ὑπὸ Κυκλώπων τετειχίϲθαι (= U$^{m}$I$^{m}$G). ZQ

1 τοῦ om Q || lemma 'τειχιόεϲϲαν' pro δὲ L ||

B 560/Z$^{s}$ Ἑρμιόνην Ἀϲίνην τε: πόλειϲ τοῦ Ἄργουϲ· ἔϲτιν δὲ ἡ Ἑρμιόνη ἱερὰ Περϲεφόνηϲ. ZQUG~I

Ἀϲίνην τε : καὶ αϲίνην Z$^{\lambda}$, om U || .. πόλιν U ||

B 560/Z$^{s}$ βαθὺν κατὰ κόλπον ἐχούϲαϲ: τὸν βαθὺν κατεχούϲαϲ κόλπον. κόλποϲ δέ ἐϲτιν θάλαϲϲα ὑπὸ ἀκρωτηρίων περιεχομένη. ZQUIG

B 561/Z$^{s}$ Τροιζῆν': ἀντὶ τοῦ Τροιζῆνα. (inter 575 εὐρεῖαν et 576) ZQ

† B 561/L$^{s}$ Τροιζῆνα: Τροιζὴν ἀπὸ Τροιζῆνοϲ υἱοῦ Πέλοποϲ. = E

B 561/L$^{s}$ Ἠϊόναϲ τε: οἱ παλαιοὶ ἑνικῶϲ. ~ Eust. 287,26

B 561/Z$^{s}$ ἀμπελόεντα: πολυάμπελον, οἰνοφόρον. ZQI$^{i}$

B 561/Z$^{s}$ Ἐπίδαυροϲ (Ἐπίδαυρον Hom. = Q$^{\lambda}$): πόλιϲ Ἄργουϲ, ἐν τοῖϲ παραθαλαϲϲίοιϲ μέρεϲι κειμένη. ZQUIG

B 562/Z$^{s}$ Αἴγινα (Αἴγιναν Hom.): νῆϲοϲ πρὸ τῆϲ Ἀττικῆϲ. ἐκαλεῖτο δὲ πρότερον Οἰνώνη, ὕϲτερον δὲ Αἴγινα ἀπὸ Αἰγίνηϲ τῆϲ Ἀϲωποῦ μὲν θυγατρόϲ, Αἰακοῦ δὲ μητρόϲ. (inter 575 εὐρεῖαν et 576) ZQUIG

B 564/Z$^{s}$ ἀγακλειτοῦ: πάνυ ἐνδόξου. (inter 575 εὐρεῖαν et 576) ZQ

B 565/Z$^{s}$ κίεν: ἐπορεύετο. (inter 575 εὐρεῖαν et 576) ZQ

B 565/Z$^{s}$ ἰϲόθεοϲ φώϲ: "ἶϲοϲ θεοῖϲ ἀνήρ." τὸ 'φώϲ' ὀξυτονούμενον "τὸν ἄνθρωπον" δηλοῖ ὡϲ τὸ 'ἰϲόθεοϲ φώϲ' (hic) καὶ 'φῶτ' Ἀϲκληπιοῦ υἱόν' (Δ 194). περιϲπώμενον δὲ "τὸ φέγγοϲ" καὶ τροπικῶϲ "τὴν ϲωτηρίαν", ϲυνηιρημένον ἐκ τοῦ "φάουϲ". εἰκότωϲ οὖν περιϲπᾶται 'φόωϲ δ' ἑτάροιϲιν ἔθηκεν' (Z 6𝔇) καὶ 'χρύϲεον λύχνον ἔχουϲα φόωϲ περικαλλέϲ' (~ τ 34𝔇, φάοϲ Ω). ZQA cf ApS 166,1 | ἐπεὶ τὸ πῶϲ καὶ τὸ ποῦ ἐπιρρήματά ἐϲτιν πευϲτικά, οἷον 'πῶϲ θάνεν Ἀτρείδηϲ;' 'ποῦ Μενέλαοϲ ἔην;' (γ 248 + 249), ὀξυτονούμενα δὲ καὶ ἐγκλιτικά ἐϲτιν, ὡϲ τὸ 'ἀλλ' οὔ πωϲ ἅμα πάντα θεοὶ δόϲαν ἀνθρώποιϲιν' (Δ 530), 'ἀλλά που ἐν μεγάροιϲι Λυκάονοϲ ἕνδεκα δίφροι' (E 193). (inter 575 εὐρεῖαν et 576 ZQ) ZQAI$^{m}$G cf B 339𝔇 πῇ δή· ἤτοι ποῦ δὴ ἢ πῶϲ δή.

1 τὸ δὲ φῶϲ Q || 2 τὸ ἰϲόθεοϲ φώϲ : νῦν A || 3 φάοϲ Q || 4 φόωϲ A Hom. : φοῶϲ Z, φάοϲ Q || 5 φόωϲ ZA : φάοϲ Q || 6 ἔην : εἴη A ||

B 566/Z$^{s}$ Μηκιϲτέοϲ υἱόϲ: Εὐρύαλοϲ. (inter 575 εὐρεῖαν et 576) ZQ

B 566/$Z^s$ Ταλαϊονίδαο: Ταλαοῦ παιδὸς Ἀδράστου. (inter 575 εὐρεῖαν et 576) $ZQU^mI^iG$

B 568/$Z^s$ ὀγδώκοντα: ὀγδοήκοντα. (inter 575 εὐρεῖαν et 576) ZQ

B 569/$Z^s$ Μυκήνη (Μυκήνας Hom.): πόλις Ἄργους ἧς ἐβασίλευεν Ἀγαμέμνων, ἥτις ὠνομάσθη οὕτως ἀπὸ Μυκήνης νύμφης Λακωνικῆς. (inter 575 εὐρεῖαν et 576) $ZQU^mI^iG$

B 570/$Z^s$ ἀφνειόν: πλούσιον. ZQ

B 570/$Z^s$ ἐϋκτιμένας: καλῶς ἐκτισμένας. (inter 575 εὐρεῖαν et 576) ZQ

B 571/$L^s$ Ὀρνειάς: κώμην Ἀργείας. ~ Eust. 271,7

B 571/$Z^s$ Ἀραιθυρέη (Ἀραιθυρέην Hom. = $Q^\lambda$): αὕτη ὕστερον Φλιοῦς προσηγορεύθη (=G) ἀπὸ Φλιοῦντος τοῦ Διονύσου. (inter 575 εὐρεῖαν et 576) $ZQU^mI^i$

B 571/$Z^s$ ἐρατεινήν: ἐπιθυμητήν, καλήν. ZQ

B 572/$Z^s$ Σικυῶν': τὸ πλῆρες Σικυῶνα. ἔστιν δὲ καὶ αὕτη ¦ πόλις Ἄργους (=$U^iI^i$). ZQ

B 572/$Z^s$ ὅθ' ἄρ: ὅπου δή. $ZQU^iI^i$ | τὸ δὲ 'πρῶτ' ἐμβασίλευεν' ἀντὶ "τῆς πόλεως Ἄδρηστος ἤρξατο βασιλεύειν"· πρῶτον γὰρ τοῦτον λέγεται βασιλεῦσαι τοῦ Ἄργους ἐν τῆι Σικυῶνι μηδέπω ἀρξάσης ἑτέρας πόλεως Ἀργολικῆς. Z

1 πρωτον βασιλευεν Z || τῆς : φης Z || 3 fort. ‹ὑπ›αρξάσης ||

B 573/$Z^s$ Ὑπερησίην: πόλις καὶ αὕτη Πελοποννήσου. (inter 575 εὐρεῖαν et 576) Z

B 573/$Z^s$ αἰπεινήν: ὑψηλήν. $ZQI^i$

B 573/$Z^s$ Γονόεσσαν: Γονοῦσαν· ἔστιν δὲ ἀκρωτήριον Πελλήνης. (inter 575 εὐρεῖαν et 576) $ZQU^iI^iG$

B 574/$Z^s$ Πελλήνη (Πελλήνην Hom.): διαφέρει Πελλήνη Παλλήνης· Παλλήνη μὲν γὰρ πόλις Θράικης. Παλληνε‹ῖ›ς δὲ δῆμος τῆς Ἀττικῆς. Πελλήνη δὲ πολίχνιον τῆς Ἀχαίας, ἥ ἐστι Πελοπόννησος. (inter 575 εὐρεῖαν et 576) ZQAUIG

1 παλλήνη : πελλήνη A || μὲν om A || 2 παλληνε‹ῖ›ς de Marco: παλλήνες Z, παλλῆναι AU || Παλληνες ... Ἀττικῆς om Q ||

B 574/$Z^s$ Αἴγιον: ‹ * * * › Z cf Steph.B. "πόλις Ἀχαιίας".

B 575/$Z^s$ Αἰγιαλός (Αἰγιαλόν Hom.): πόλις ἐν Μυκήναις, καὶ ἑτέρα ἐν Παφλαγονίαι (B 855). (inter 575 εὐρεῖαν et 576) ZQUIG

αἰγιαλός $QU^\lambda$ : om Z ||

B 575/$Z^s$ Αἰγιαλός: οὕτως ἐκαλεῖτο ἡ παραθαλασσία χώρα ἤτοι πλευρὰ τῆς Πελοποννήσου ἡ παρατείνουσα ἀπὸ Σικυῶνος μέχρι Ἤλιδος. (inter 575 εὐρεῖαν et 576) ZQAUIG

B 575/$Z^s$ εὐρεῖαν: πλατεῖαν, μεγάλην. 'ἀμφ' Ἑλίκην' δὲ περὶ τὴν Ἑλίκην. ZQ

μεγάλην om Q ||duo scholia Q ||

B 576/$Z^s$ τῶν ἑκατὸν νηῶν: ἀντὶ τοῦ τούτων πάντων τῶν προειρημένων καὶ ρ' νηῶν ἡγεμὼν ἦν ὁ Ἀγαμέμνων. $ZQU^mI^iG$

1 τούτων om Q || προειρημένων καὶ om $I^i$ || προειρημένων· καὶ γὰρ ἑκατὸν Q ||

B 576/$Q^s$ κρείων: κρατῶν (A 285𝔇), ἄρχων (≃ α 45𝔇). Q

B 578/$Z^s$ ἐν δ' αὐτὸς ἐδύσατο: ἐνεδύσατο δὲ καὶ αὐτός. ZQ

B 578/$Z^s$ νώροπα: λαμπρόν (=$I^i$), ¦ ἀμαυροῦντα τοὺς ὦπας (=$I^m$), ὅ ἐστιν τοὺς ὀφθαλμούς. $ZQ{\sim}U^m$

B 579/$Z^s$ κυδιόων: γαυριῶν τῆι ἑαυτοῦ δόξηι. $ZQU^mI^i$

B 579/$Z^s$ μετέπρεπεν: διέπρεπεν, ἐκδηλότατος ἦν $ZQU^mI^i$ | πᾶσι τοῖς ἡμιθέοις. $I^i$ $\sim U^m$

B 581/$Z^s$ κοίλην Λακεδαίμονα: τὴν ὑπὸ ὀρῶν περιεχομένην, διὰ τὸ περικεῖσθαι αὐτῆι κύκλωι τὸ Ταΰγετον ὄρος, διὸ καὶ ἀτείχιστον αὐτὴν ὤικησαν. Λακεδαίμονα δὲ τὴν χώραν λέγουσιν, τὴν δὲ πόλιν Σπάρτην. ZQAUIG | ἕτεροι δὲ καὶ αὐτῆς τῆς πόλεως τὸ μέν τι Λακεδαίμονα, τὸ δὲ Σπάρτην καλοῦσιν. ZQAG

1 ‹καὶ› διὰ A || 2 τηΰγετον Q (= ζ 103) || 3-4 σπάρτην ... τὸ δὲ om A homoeoteleuto ||

B 581/$Z^{s}$ κητώεϲϲαν: μεγάλην, παρὰ τὸ 'κῆτοϲ', ὅπερ δοκεῖ πάντων μείζω εἶναι τῶν ἐνύδρων ζώιων. ZQAUIG | τινὲϲ δὲ γράφουϲιν 'και⟨ε⟩τάεϲϲαν', ἵν' ἦι "τὴν καλαμινθώδη". και⟨έ⟩τα γὰρ παρ' αὐτοῖϲ ἡ καλαμίνθη ⟨ἥ⟩ ἐϲτι πολλὴ ἐν Σπάρτηι (~ ApS 99). ZQUIG cf δ $1^{s}$/Ze

1 μεῖζον QU, μείζων A || 2 και⟨ε⟩τάεϲϲαν L ex Eust. 1478,39 (~ δ $1^{s}$/Ze) || 3 καιέτα He κ 219 : καίτα ZU, κατὰ Q || παρ' om Q || ⟨ἥ⟩ de Marco ||

B 582/$Z^{s}$ Μέϲϲην: τὴν καλουμένην Μεϲϲήνην. $ZQU^{i}I^{i}$

B 583/$Z^{s}$ Βρυϲειαί (Βρυϲειάϲ Hom.): πόλιϲ τῆϲ Λακωνικῆϲ ⌜ἤτοι χωρίον $U^{i}$, v. 584𝔇⌝. $ZQU^{i}I^{i}$

B 584/$Z^{s}$ Ἀμύκλαϲ: πόλιϲ τῆϲ Λακωνικῆϲ, ἤτοι χωρίον. $ZI^{i}$

B 584/$Z^{s}$ Ἕλοϲ: πόλιϲ τῆϲ Λακωνικῆϲ παραθαλάϲϲιοϲ, ἧϲ οἱ πολῖται Εἵλωτεϲ. $ZQI^{i}G$ = 594/$U^{m}$ | 'πόλεμον δὲ' (589) εἰϲ τὸν πόλεμον (~ N 298𝔇, B 51𝔇). Z

B 585/$Z^{s}$ Λάαν: πόλιν Λακωνικῆϲ (~$I^{i}$), ἣν οἱ Διόϲκουροι πορθήϲαντεϲ Λαπέρϲαι ἐκλήθηϲαν. διὰ δὲ τὸ μέτρον ἀναγνωϲτέον διϲυλλάβωϲ. χρὴ γὰρ λέγειν μονοϲυλλάβωϲ "Λᾶν". $ZQI^{m}G$ (~ A, Steph. Byz. 418,15)

B 585/$Z^{s}$ ἠδ' Οἴτυλον: καὶ Οἴτυλον. ἔϲτι δὲ ¦ πόλιϲ καὶ αὕτη Λακεδαιμονίαϲ. ZQG~$U^{m}$

1 λακεδαίμον(οϲ) Z ||

B 587/$Z^{s}$ ἀπάτερθεν: ἄπωθεν, χωρίϲ. ZQ = ApS 37,21

B 588/$Z^{s}$ κίεν: παρεγένετο (= $U^{i}I^{i}$). 'ὀτρύνων' δὲ παρορμῶν. ZQ

lemma 'ὀτρύνων' pro δὲ L ||

B 588/$Z^{s}$ ἧιϲι προθυμίηιϲι: ταῖϲ ἑαυτοῦ προθυμίαιϲ. 'πεποιθὼϲ' δὲ πεπιϲτευκώϲ. ZQ ~$I^{i}$

lemma 'πεποιθὼϲ' pro δὲ Q ||

B 589/$Z^{s}$ ἵετο: προεθυμεῖτο. (inter 578 νώροπα et 579 κυδιόων) $ZQI^{i}$

B 589/$Q^{s}$ θυμῶι: τῆι ψυχῆι. Q = A 228𝔇

B 590/$Q^{s}$ τίϲαϲθαι: τιμωρήϲαϲθαι. $QU^{m}I^{i}$ = B 356𝔇

B 590/$Z^{s}$ ὁρμήματα: μεριμνήματα. (inter 578 νώροπα et 579 κυδιόων) $ZQU^{m}I^{i}$, ~ 356𝔇 "ἐνθυμήματα"

B 590/$Q^{s}$ ϲτοναχάϲ τε: ϲτεναγμούϲ. $QU^{m}I^{i}$ = B 39𝔇

B 591/$Z^{s}$ Πύλοϲ (Πύλον Hom.): ὁ ὑπὸ Νέϲτορι ὅϲ ἐϲτι τῆϲ Μεϲϲηνίαϲ, ὁ δὲ τῆϲ Ἀρκαδίαϲ παρὰ τῆι πατρίδι Αἴαντοϲ †κορυφαῖοϲ, ὁ δὲ τῆϲ Ἠλείαϲ παρὰ τὴν Ὠλενίαν πέτραν. $ZQU^{m}I^{m}G$

1 ὅ ἐϲτι μεϲϲηνίαϲ Q || 2 Κορυφάϲιον promuntorium latere susp. de Marco ||

B 592/$Z^{s}$ Θρύον: πόλιν τῆϲ Ἤλιδοϲ, ἣν ἑτέρωϲε 'Θρυόεϲϲαν' λέγει (≃ Λ 711). ZQUI ~G, Ak ὅτι ...

1 πόλιϲ de Marco || ἴλιαδοϲ Z || ἑτέρωϲ Q || ὀθρυόεϲϲαν Q, θρυόεϲϲα de Marco ||

B 592/$Z^{s}$ Ἀλφειοῖο πόρον: καθ' ὃ μέροϲ ποϲὶ διάβατόϲ (=G) ἐϲτιν ὁ Ἀλφειὸϲ ποταμόϲ. πόρον γὰρ τὸ διαβατὸν αὐτοῦ μέροϲ φηϲίν. ZQUI | ἔϲτι δὲ ὁ Ἀλφειὸϲ τῆϲ Ἠλείαϲ χώραϲ. ZQG

1 καθ' ὅμηρον QG ||

B 592/$Z^{s}$ Αἶπυ: βαρυτόνωϲ λεκτέον· ὄνομα γάρ ἐϲτι πόλεωϲ. τὸ δὲ ὀξυτονούμενον ἐπίθετόν ἐϲτι καὶ ϲημαίνει τὸ "ὑψηλόν" (= UIE). τῶν μέντοι εἰϲ ῡ ληγόντων οὐθετέρων τριγενῶν τὰ θηλυκὰ εἰϲ ᾱ λήγει τῆι ει̅ διφθόγγωι παραληγόμενα, οἷον αἰπύ καὶ 'αἰπεῖα κολώνη' (B 811), ὀξύ ὀξεῖα, ταχύ ταχεῖα. ZQG ~ Hd

2-3 οὐθ' ἑτέρων Q || 4 αιπεῖαι Z ||

B 594/$Z^{s}$ ἔνθα: ὅπου, ἐν τῶι Δωρίωι· ἔϲτι δὲ ὄνομα πόλεωϲ. ZQ

B 595/$Z^{s}$ ἀντόμεναι: ἀπαντήϲαϲαι. $ZQI^{i}$

B 595/$Z^{s}$ Θάμυριϲ (Θάμυριν Hom. = $Q^{\lambda}$: οὗτοϲ παῖϲ ἦν Φιλάμμωνοϲ καὶ †Ἀρϲείου τῆϲ νύμφηϲ, τὸ γένοϲ Θρᾶιξ, ὃϲ ἔϲχεν αἰϲχρὸν ἔρωτα, πρῶτοϲ ἀρξάμενοϲ ἐρᾶν ἀρρένων. οὗτοϲ κάλλει πολλῶν διενεγκὼν καὶ κιθαρωιδίαι, περὶ μουϲικῆϲ ἐρίϲαϲ ταῖϲ

Μούϲαιϲ ϲυνθέμενοϲ ἂν μὲν κρείττων εὑρεθῆι πληϲιάϲαι πάϲαιϲ, ἐὰν δὲ ἡττηθῆι ϲτερηθήϲεϲθαι οὗ ἂν ἐκεῖναι θέλωϲιν. καθυπέρτεραι δὲ αἱ Μοῦϲαι γενόμεναι, τῶν ὀμμάτων αὐτὸν καὶ τῆϲ κιθαρωιδίαϲ καὶ τοῦ νοῦ ἐϲτέρηϲαν. ZQAUIG ~ Apd. bibl. 1,3,3

1 ἀρϲίου QA, ἀρϲίαϲ U, Ἀρϲινόηϲ Suda θ 41, Ἀργιόπηϲ Apd. 1,3,3 || 4 πλειάϲαι A || ἐὰν ZAU : ἂν Q || ϲτερηθῆναι A || οὗ ἂν L : οὐδ' ἂν ZA, οὗ δ' ἂν QU ||

B 595/Z$^{s}$ Θρηΐκα: Θρᾶικα. 'παῦϲαν' δὲ ἐπέϲχον, ἔπαυϲαν. ZQ

lemma 'παῦϲαν' pro δὲ Q ||

B 595/Z$^{s}$ ἀοιδῆϲ: τῆϲ ὠιδῆϲ. ZQ

B 596/Z$^{s}$ Οἰχαλίηθεν: ἀπὸ Οἰχαλίαϲ πόλεωϲ Θεϲϲαλίαϲ ἧϲ ἐβαϲίλευεν Εὔρυτοϲ. ZQU$^{m}$I$^{m}$G

B 596/Q$^{s}$ ἰόντα: πορευόμενον. QU$^{m}$I$^{i}$ ≃ Z 121𝔇

B 596/Q$^{s}$ Οἰχαλ⟨ι⟩ῆοϲ: τοῦ ἀπὸ τῆϲ Οἰχαλίαϲ. QU$^{m}$I$^{m}$

B 597/Z$^{s}$ ϲτεῦτο: διεβεβαιοῦτο, ἔλεγεν. ZQI$^{i}$

B 597/Z$^{s}$ εὐχόμενοϲ: μεγαλαυχῶν. ZQI$^{i}$

B 597/Z$^{s}$ νικηϲέμεν: νικῆϲαι. ZQI$^{i}$

B 597/Z$^{s}$ εἴ περ ἂν αὐταὶ Μοῦϲαι ἀείδοιεν: κἂν αὐταὶ ᾄδοιεν αἱ Μοῦϲαι. ZQ

↑ B 598/Z$^{s}$ ἀείδοιεν: ᾄδοιεν. Z

B 598/Z$^{s}$ κοῦραι Διόϲ: αἱ τοῦ Διὸϲ θυγατέρεϲ Μοῦϲαι. ZQ

B 599/Z$^{s}$ χολωϲάμεναι: ὀργιϲθεῖϲαι. ZQU$^{m}$I$^{i}$

B 599/Z$^{s}$ πηρὸν θέϲαν: ἤτοι"τῆϲ τέχνηϲ ἔπαυϲαν καὶ ἔκφρονα αὐτὸν ἐποίηϲαν", ἢ ἴϲωϲ "περὶ τὴν φωνὴν ἔβλαψαν". 'πηρὸϲ' γὰρ καλεῖται ὁ κατά τι μέροϲ τοῦ ϲώματοϲ βεβλαμμένοϲ. ZQU$^{m}$I$^{m}$G

1 επαϲαν Z || 2 ἴϲωϲ om Q ||

B 600/Z$^{s}$ θεϲπεϲίην: θείαν, θαυμαϲτήν. ZQI$^{i}$

B 600/Z$^{s}$ ἀφέλοντο: ἀφείλαντο. ZQ~U$^{m}$I$^{i}$

B 600/Z$^{s}$ καὶ ἐκλέλαθον: καὶ ἐπιλαθέϲθαι ἐποίηϲαν τὴν κιθαρωιδίαν. (=I$^{i}$) ¦ ὁ δὲ ϲχηματιϲμὸϲ τῆϲ λέξεωϲ Αἰολικόϲ, ὁμοίωϲ τῶι 'ὀρχηϲτὺν' (N 731) καὶ 'κιθαριϲτύν' (B 600) (=I$^{m}$). ZQU$^{m}$G. cf ξ 82𝔇 ἐλεητύν· Αἰολικὴ ἡ διάλεκτοϲ.

B 601/Z$^{s}$ Γερήνιοϲ: ἔντιμοϲ παρὰ τὸ γέραϲ. ἢ ὁ ἐν Γερήνηι κώμηι τῆϲ Πύλου τραφείϲ. ZI$^{i}$ = B 336𝔇

B 601/Q$^{s}$ ἱππότα: ἱππικόϲ. Q = B 336𝔇

B 602/Q$^{s}$ ἐϲτιχόωντο: κατὰ τάξιν ἐπορεύοντο. Q ~ B 516𝔇

B 603/Z$^{s}$ Κυλλήνη (Κυλλήνηϲ Hom.): ὄροϲ ὑψηλὸν τῆϲ Ἀρκαδίαϲ καὶ πόλιϲ οὖϲα παρ' αὐτῶι ὁμώνυμοϲ, ἐν ὧι ὄρει δοκεῖ Ἑρμῆϲ γεγεννῆϲθαι ἐκ Μαίαϲ, τῆϲ Ἄτλαντοϲ θυγατρόϲ, καὶ Διόϲ· ὅθεν Κυλλήνιον τὸν θεόν φαϲιν. ZQAUIG

3 ⟨καὶ⟩ κυλλήνιον U ||

B 603/Z$^{s}$ αἰπύ: ὑψηλόν, μέγα. ZQ

B 604/Z$^{s}$ Αἰπύτιον παρὰ τύμβον: παρὰ τὸν ¦ τοῦ Αἰπύτου (=A$^{ti}$I$^{i}$) τάφον. ¦ ὁ δὲ Αἴπυτοϲ ἀρχαιότατοϲ ἥρωϲ, Ἀρκὰϲ τὸ γένοϲ (=I$^{i}$). ZQU$^{m}$G

B 604/Z$^{s}$ ἵνα: ὅπου. ZQU$^{m}$I$^{i}$

B 604/Z$^{s}$ ἀγχιμαχηταί: οἱ ἐγγὺϲ καὶ ϲυϲτάδην μαχόμενοι ἄνδρεϲ (= U$^{m}$I$^{i}$). προϲληπτέον δὲ τὸ εἰϲίν. ZQ

B 605/Z$^{s}$ πολύμηλον: πολλὰ θρέμματα ἔχοντα. ZQI$^{i}$

B 606/Z$^{s}$ Ῥίπη καὶ Στρατίη (Ῥίπην τε Στρατίην Hom. =Q$^{λ}$): πόλειϲ Ἀρκαδίαϲ. ZQU$^{i}$I$^{i}$

πόλιϲ ZU$^{i}$I$^{i}$ ||

B 606/Z$^{s}$ ἠνεμόεϲϲαν: ὑπὸ ἀνέμων καταπνεομένην, ὑψηλήν. ZQU$^{m}$I$^{i}$

B 607/Z$^{s}$ καὶ Τεγέην: καὶ Τεγέαν, πόλιν τῆϲ Ἀρκαδίαϲ. ZQ

↑ B 607/U^m ⌞Μαντινέην⌟ πόλιν Ἀρκαδίας ἀπὸ Τεγέου αὐτὴν κτισθῆναι εἰς ὄνομα θυγατρὸς αὐτοῦ. U^mI^i

B 607/Z^s καὶ Μαντινέην: καὶ Μαντίνειαν. ZQU^i

B 608/Z^s Στύμφηλον: Στύμφαλον, ἣν οἱ κατοικοῦντες καλοῦνται Στυμφήλιοι. ZQU^mI^i

B 608/Z^s καὶ Παρρασίην: πόλιν Ἀρκαδίας. ZQU^iI^i

B 609/Z^s Ἀγκαίοιο πάϊς: Ἀγκαίου παῖς (~I^i) Ἀγαπήνωρ. ZQ~U^m

B 609/Z^s κρείων: κρατερός, ¦ ἰσχυρός (=I^i). ZQ

B 611/Q^s ἐπιστάμενοι: ἐπιστήμονες, εἰδότες. Q ~ Σ 599𝔇

B 612/Z^s αὐτὸς γάρ σφιν ἔδωκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων: τοῖς Ἀρκάσι, φησίν, αὐτὸς ὁ βασιλεὺς Ἀγαμέμνων παρέσχεν ναῦς διὰ τὸ ἐν μεσογαίωι τῆς Πελοποννήσου αὐτοὺς οἰκοῦντας ἀπείρους εἶναι τῶν κατὰ θάλασσαν ἔργων. ZQU^mI^iG

ἔδωκεν^λ (= O 532) : δῶκεν Hom. || ἄναξ ἀνδρῶν Z^λ = Hom. : κρείων Q^λ (= B 576) ||

B 613/Q^s ἐϋσέλμους: εὐκαθέδρους. QI^i ≃ B 170𝔇

B 613/Z^s περάαν: διαπερᾶν (~I^i), διϊέναι. ZQ

B 613/Z^s ἐπὶ οἴνοπα: μέλανα. ZQ

B 614/Z^s ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει: ἐπειδὴ ἄπειροι ἦσαν τῶν κατὰ θάλασσαν ἔργων καὶ οὐδαμῶς ἔμελεν αὐτοῖς περὶ αὐτῶν. ZQ

B 615/Z^s Βουπράσιον: πόλις τῆς Ἤλιδος, ὅ ἐστιν Πελοποννήσου. ZQU^m

B 615/Z^s Ἦλις (Ἤλιδα Hom.: πόλις ἐν Ἀρκαδίαι (~ U^i), καὶ αὕτη Πελοποννήσου. ZQ

B 615/Z^s δῖαν: θαυμαστήν, μεγάλην. ZQ

B 615/Z^s ἔναιον: ᾤκουν. ZQ

B 616/Z^s ὅσσον ἐφ' Ὑρμίνη: ἐφ' ὅσον ἥ τε Ὑρμίνη καὶ ὁ Μύρσινος καὶ τὸ Ἀλήσιον καὶ ἡ Ὠλενία πέτρα ἐντὸς συνεῖχον, τοῦ παντὸς οἱ Ἠλεῖοι ἐβασίλευον. ZQAU^mI^mG

B 616/Z^s ὅσσον ἔπι: ἐφ' ὅσον. 'Μύρσινος' δὲ ¦ πόλις Πελοποννήσου (= U^iI^i). ZQ

B 617/Z^s πέτρη τ' Ὠλενίη: ὄρος τῆς Ἠλείας. ZQU^iI^i

B 617/Z^s ἐντὸς ἐέργει: ἐμπεριέχει (= U^i), περιορίζει. ZQ

B 619/Z^s Ἐπειοί: Ἠλεῖοι. ZQU^iI^i

B 620/Z^s ἡγησάσθην: ἡγοῦντο. ZQU^iI^i

B 621/Z^s υἷες ὁ μὲν Κτεάτου ὁ δ' ἄρ' Εὐρύτου Ἀκτορίωνε: Ἄκτορος παῖδες Κτέατος καὶ Εὔρυτος· τετήρηκε δὲ τὴν τάξιν· Ἀμφίμαχος μὲν γὰρ ἦν Κτεάτου, Θάλπιος δὲ Εὐρύτου. ZQU^mI^mG cf Ak

1 κτέατος : ἀκτέατος Z || 2 σύνταξιν Q ||

B 621/Z^s υἷες: υἱοί, παῖδες. ZQ

B 622/Z^s Ἀμαρυγκείδης: Ἀμαρυγκέως παῖς Διώρης. ZQI^i (Z etiam post 624 υἱὸς ..)

B 623/Z^s Πολύξεινος θεοειδής: θεῶι τὸ εἶδος ὅμοιος ὤν. ZQ

B 624/Z^s υἱὸς Ἀγασθένεος: Πολύξεινος. ZQ

B 624/Z^s Αὐγηϊάδαο: Αὐγείου παιδὸς Ἀγασθένους. ZQU^mI^i

αὐγείδαο ZQ^λ || 1 αὐγαιου Z ||

B 625/Z^s Δουλιχίοιο: Δουλιχίου. ἔστι δὲ νῆσος πρὸ τῆς Κεφαλληνίας (=I^i)· οἱ δ' ἐκ Δουλιχίου, φησίν, καὶ τῶν λοιπῶν ἱερῶν Ἐχινάδων νήσων. αἱ δὲ Ἐχινάδες νῆσοι εἰσὶν τῆς Ἀκαρνανίας παρὰ ταῖς ἐκβολαῖς τοῦ Ἀχελώιου ποταμοῦ, ἐν αἷς οἱ κατοικοῦντες καλοῦνται Ἰοί. ZQAUI

4 ἰοί ZQAU : ἐπειοί L = Eust. e Strabone p. 456 ||

B 625/U^s ⌞Ἐχινάων⌟ ὅτι ἀπὸ τοῦ ἐχίνη ἐχῖναι, ὡς ὑσμίνη ὑσμῖναι. Ἐχιναὶ κατὰ ⟨μετα⟩βολὴν τοῦ τόνου Ἐχιναῖ (!) περισπᾶται, ἀπὸ τοῦ ἐχινέα ἐχινᾶ ἐχιναῖ. UI

B 626/Z^s ναίουσιν: ἀντὶ τοῦ κατοικοῦσιν. Z = B 130𝔇

B 626/Z^s πέρην ἁλός: πέραν τῆς θαλάσσης. (inter 536 Εὔβοια et 536 μένεα) ZQ

↓ B 626/Q^s Ἤλιδος ἄντα: ἐπὶ τὴν Ἤλιδα βλέπουσαι. QI^i

B 626/Z^s ἄντα: ἀντικρύ, ἐξεναντίας. (inter 536 Εὔβοια et 536 μένεα) ZQ

B 627/Zs ἀτάλαντος: ἀντὶ τοῦ ἴcoc τῶι Ἄρει, πολεμικός. ZQ

B 628/Zs Φυλείδης: Φυλέως παῖc Μέγης. ZQIi

B 629/Zs ὅc ποτε Δουλίχιον δ' ἀπενάccατο πατρὶ χολωθείc: ὃc εἰc τὸ Δουλίχιόν ποτε ἀπωικίcθη διὰ τὸ καταμαρτυρῆcαι τοῦ πατρὸc Αὐγείου πρὸc Ἡρακλέα περὶ τοῦ μιcθοῦ ὃν ὑπέcχετο παρέξειν τῶι Ἡρακλεῖ ὁ Αὐγείαc, εἰ καθάρειεν αὐτοῦ τὰc ἐπαύλειc μεcτὰc οὔcαc τῆc κόπρου τῶν βοῶν. ἡ ἱcτορία καὶ παρὰ Καλλιμάχωι (ad fr. 77 Pfeiffer, cf Λ 698𝔇). ZQAUIG

3 καθάροιεν ZQA, καθάροι U || 4 οὔcαc om A ||

B 629/Zs ἀπενάccατο: ἀπωικίcθη. ZQIi

B 629/Zs πατρὶ χολωθείc: μιcηθεὶc ὑπὸ τοῦ πατρόc. ZQIi

B 632/Zs Νήριτον: ὄροc Ἰθάκηc. 'εἰνοcίφυλλον' δὲ κινηcίφυλλον καὶ πολύδενδρον, ἐξ οὗ κατήνεμον καὶ ὑψηλόν. ἔνοcιc γὰρ ἡ κίνηcιc. ZQG~UmIm

1 ἰθάκηc : ἀρκαδίαc UI || lemma 'εἰνοcίφυλλον' pro δὲ L ||

B 633/Zs Κροκύλει': χωρία Λευκαδίων (=Ii). ἦν δὲ ¦ πόλιc Κεφαλληνίαc (Um). ZQ

κροκύλη ZQλ ||

B 633/Zs Αἰγίλιπα: πόλιc τῆc Κεφαλληνίαc. ZQ

B 633/Zs τρηχεῖαν: τραχεῖαν. ZQ

B 634/Zs ἠδ' οἵ: καὶ οἵτινεc. ZQ

B 634/Zs Cάμον ἀμφενέμοντο: τὰ περὶ τὴν Cάμον ᾤκουν. ZQUiIi

ἀμφ' ενεμοντο Zλ ||

B 635/Zs οἵ τ' ἤπειρον ἔχον: καὶ γὰρ τινῶν χωρῶν τῶν ἄντικρυc τῆc ἠπείρου ἐβαcίλευεν ὁ Ὀδυccεύc. ZQUmImG

B 635/Zs ἀντιπέραι': τὰ ἐξεναντίαc τῆc Ἤλιδοc κείμενα χωρία. ZQIi~Ui

ἀντίπερα ZQλ ||

B 636/Zs μῆτιν: βουλήν, cύνεcιν. ZQ

B 637/Zs μιλτοπάρηοι: μίλτωι τὰc πρώιραc κεκαcμέναι. ZQUm

βεβαμμέναι Um ||

B 639/Zs Πλευρῶν': τὸ πλῆρεc 'Πλευρῶνα'. ἔcτι δὲ ¦ πόλιc Αἰτωλίαc (=UiIi). ZQ

B 639/Zs Ὤλενοc καὶ Πυλήνη (Ὤλενον ἠδὲ Πυλήνην Hom.): πόλειc Αἰτωλίαc (~UIi)· ὁμοίωc δὲ καὶ ἡ Καλυδών. ZQ

B 640/Zs ἀγχίαλον: τὸν παραθαλάccιον τόπον. Z~UmIi

B 642/Zs οὐδ' ἄρ' ἔτ' αὐτὸc ἔην: ἐτελεύτηcεν δὲ καὶ αὐτόc, ἤτοι ὁ Οἰνεὺc ἢ ὁ Μελέαγροc – δίληπτον γάρ. κεχώρικε δὲ τῶν λοιπῶν τοῦ Οἰνέωc παίδων τὸν Μελέαγρον κατ' ἐξοχήν, ZQUmIiG ~ 341/Ak | ὡc ἐν δυνάμει αὐτὸν ὄντα πολλῆι παρὰ πάνταc. Um

B 642/Zs θάνε: ἀπέθανεν, ἐτεθνήκει. ZQ

ἀπεθάνει Z ||

B 642/Zs ξανθόc: καλόc, ἢ ὁ πυρροκόμηc Μελέαγροc, Οἰνέωc παῖc, βαcιλεὺc Αἰτωλίαc. ZQ

B 643/Zs ⟨τῶι ἐπὶ πάντ' ἐτέταλτο:⟩ τῶι δ' ἐπετέταλτο. ἐπὶ δὲ τούτωι ἦν τὸ πᾶν τῆc ἐξουcίαc. ZQUmIi. Ats ἐπὶ τοῦ Θόαντοc (~ B 638), ἵν' ἦι "τούτωι".

lemma pro τῶι δ' ἐπετέταλτο L, quod supplevi, cf introd. p. 6,a || 1 τοῦτο Z ||

↑ B 643/Zs ⟨ἐντέταλτο⟩ : ἐτέτακτο, προcετέτακτο, ¦ ἐνεκεχείριcτο (=UiIi). ZQ

ἐτέτακτο Zλ, τέτακτο Qλ || 1 ἐκεχείριcτο Q ||

B 643/Zs ἀναccέμεν: βαcιλεύειν. ZQ

B 645/Zs δουρικλυτόc: ἔνδοξοc περὶ τὸ δόρυ, πολεμιcτήc. ZQ

↓ B 646/Qs+Ui Κνωccόc: πόλιc Κρήτηc QUi | δι' ἑνὸc c̄ ὡc κροcόc. τοῦτο δε γράφεται καὶ διὰ δύο c̄c̄. UiIi

B 646/Zs Κνωcὸν καὶ Γόρτυνα: πόλειc Κρήτηc. Z(κνωccὸc) ~UiIi

B 646/Z$^{s}$ τειχιόεσσα: καλῶς τετειχισμένη. Z ≃ B 559𝔇

B 647/Z$^{s}$ Λύκτος καὶ Κνωσσός (Κνωσόν 646 ... Λύκτον Hom.): πόλεις Κρήτης. Z~U$^{i}$I$^{i}$

B 647/Z$^{s}$ καὶ ἀργινόεντα: λευκόγειον. ZQU$^{i}$I$^{i}$

B 647/Q$^{s}$ Λυκαστόν: πόλιν Κρήτης. QU$^{i}$I$^{i}$ = Steph. Byz.

B 648/Z$^{s}$ εὖ ναιεταώσας: καλῶς οἰκουμένας. ZU$^{i}$I$^{i}$ = θ 574𝔇

B 649/Z$^{s}$ ἑκατόμπολιν: διὰ τί ἐνταῦθα μὲν ἑκατόμπολιν εἴρηκεν τὴν Κρήτην, ἐν δὲ τῆι Ὀδυσσείαι 'ἐνενηκοντάπολιν' (~ τ 174); ῥητέον οὖν ὅτι ἤτοι ἑκατὸν φησὶν οὐ τῶι ἀριθμῶι, ἀλλ' ἀντὶ τοῦ πολλάς (cf Ak), ἢ ἀληθέστερον ὡς ἔχει, ὅτι ἐξ ἱστορίας λέγεται. Λεῦκος γὰρ ὁ Τάλω Κρητῶν ἐπικρατήσας τὰς δέκα πόλεις ἐπόρθησεν εἰς φόβον τῶν ἄλλων καὶ εὐλόγως ἐν τῆι Ὀδυσσείαι ἐνενήκοντα εἶπεν ἔχειν αὐτήν. ZQUIG cf τ 174/H+M(=𝔇), Heraclides Pont. fr. 172 Wehrli

1 ἑκατόνπολιν bis codd. || 4 τάλω om QU ||

B 651/Q$^{s}$ Ἐνυαλίωι: τῶι Ἄρει ⌜ἀπὸ Ἐνυοῦς πολεμικῆς θεᾶς U$^{i}$I$^{i}$ ≃ Υ 69𝔇⌝. QU$^{i}$I$^{i}$ ~ Χ 132𝔇

B 651/Z$^{s}$ ἀνδρειφόντηι: ἄνδρας φονεύοντι. ZQ

B 653/Z$^{s}$ Ἡρακλείδης: Ἡρακλέους παῖς Τληπόλεμος. ZQ

B 653/Z$^{s}$ ἠΰς τε μέγας τε: πλατύς (=I$^{i}$) τε καὶ μέγας, ἀφ' οὗ γενναῖος. ZQ

B 654/Z$^{s}$ ἀγερώχων: νῦν αὐθαδῶν (=I$^{i}$), ὑβριστῶν καὶ θρασέων. δηλοῖ δὲ καὶ τῶν λίαν ἐνδόξων, ZQ | ἐντίμων παρὰ τὸ γέρας. Z ~ ApS 8,1, Γ 36/Ak

1-2 τὸ λίαν ἔνδοξον Z || 2 ἔντιμον Z ||

B 655/Z$^{s}$ Ῥόδος (Ῥόδον Hom.): νῆσος πρὸ τῆς Καρίας. ZQU$^{m}$I$^{i}$

B 655/Z$^{s}$ διάτριχα κοσμηθέντες: τριχῶς διαταχθέντες. ZQU$^{i}$I$^{i}$

B 658/Q$^{s}$ Ἀστυόχεια: ὄνομα κύριον. Q cf Δ 458𝔇Ἐχέπωλον

B 658/Z$^{s}$ βίηι Ἡρακληείηι: περιφραστικῶς τὸν Ἡρακλέα. Z(ἡρακλήιη) Q

B 659/Z$^{s}$ τὴν ἄγετ': ἥντινα πρὸς γάμον ἤγετο. ZQI$^{i}$

B 659/Z$^{s}$ Ἐφύρα (Ἐφύρης Hom.): τινὲς τὴν Θεσπρωτίας, ἣ μετωνομάσθη Κέρκυρα. οὕτως ἐκαλεῖτο καὶ ἡ νῦν καλουμένη Κόρινθος. ZQU$^{m}$I$^{i}$

B 659/Z$^{s}$ Σελλή⟨ει⟩ς (Σελλήεντος Hom.): ποταμὸς Θεσπρωτίας. Z ~ ApS 141,2

B 660/Z$^{s}$ πέρσας: πορθήσας. ZQ

B 660/Z$^{s}$ ἄστεα: πόλεις. ZQ

B 660/Q$^{s}$ διοτρεφέων: τῶν ὑπὸ Διὸς τραφέντων. Q ~ Α 176𝔇

B 660/Z$^{s}$ αἰζηῶν: νεανιῶν. ZQ

B 661/Z$^{s}$ ἐπεὶ οὖν: ἐπειδή. ZQ

B 661/Z$^{s}$ τράφεν (Α 266, τράφ' Hom.): ἀνετράφησαν (~ U$^{i}$I$^{i}$, ≃ Γ 201𝔇). ZQ | 'ἐν μεγάροις' (ἐνὶ μεγάρωι Hom.) δὲ ἐν τοῖς οἴκοις (= Γ 207𝔇, ~I$^{i}$). Z

τράφη$^{\lambda}$ Q = Γ 201𝔇 ||

B 661/Z$^{s}$ εὐπήκτων (= φ 41): καλῶς κατεσκευασμένων. ZQ~I$^{i}$

εὐπήκτωι Q$^{\lambda}$ = Hom. || .. κατεσκευασμένωι Q (= Ι 144𝔇) ||

B 662/Z$^{s}$ πατρὸς ἑοῖο: τοῦ ἰδίου (=I$^{i}$) πατρός. ZQ

B 662/Z$^{s}$ μήτρωα: μητρὸς ἀδελφόν (=U$^{i}$). 'κατέκτα' δὲ ἀπέκτεινεν. ZQ~I$^{i}$

lemma κατέκτανεν (= Ε 608) pro κατέκτα δὲ Q ||

B 662/Z$^{s}$ αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα καὶ τὰ ἑξῆς: ἱστορεῖται ὅτι Τληπόλεμος θεασάμενος Λικύμνιον τὸν μήτρωα ἤδη γηραιὸν ὑπάρχοντα ὑπό τινος τῶν οἰκετῶν ἀμελῶς χειραγωγούμενον, ἀφῆκε τὴν βακτηρίαν ἐπὶ τὸν οἰκέτην καὶ τούτου μὲν ἥμαρτεν, πλήξας δὲ τὸν Λικύμνιον ἀκουσίως ἀπέκτεινεν. διὸ ἠναγκάσθη γίνεσθαι φυγὰς τῆς πατρίδος. ZQAUIG

1 ἱστόρηται QA || 3 οἰκετῶν de Marco (duce Bekker) : οἰκείων ZQAU || 5 γενέσθαι QAU ||

B 663/Z$^{s}$ γηράσκοντα: γεγηρακότα. ZQU$^{m}$

B 663/Z$^{s}$ Λικύμνιον: τὸν ἀδελφὸν Ἀλκμήνης. ZQU$^{m}$I$^{i}$

B 663/Q^s ὄζος (ὄζον Hom.) Ἄρηος: πολεμικός. QI^i = B 540𝔇 | τὸν κλάδον τοῦ Ἄρεως (= ApS 118). U^m

B 664/Z^s νῆας ἔπηξεν: ⌜ταχέως δὲ U^m⌝ τὰς ναῦς ¦ κατεσκεύασεν (=I^i). ZQU^m

B 664/Q^s ἀγείρας: συναθροίσας. Q = Γ 47𝔇

B 666/Z^s υἱωνοί: ⌜ἀνεψιοί. U^i⌝ οἱ τῶν υἱῶν υἱοί (=U^i), ¦ ἔκγονοι (=I^i). ZQ

B 667/Z^s ἤϊξεν (ἷξεν Hom.): παρεγένετο (Z 172𝔇), ὥρμησεν (Δ 79𝔇). ZQI^i

B 667/Z^s ἀλώμενος: πλανώμενος. ZQU^iI^i

B 668/Z^s τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν: τριχῶς δὲ οἰκισθέντες ταῖς πατρῴαις ἐχρήσαντο φυλαῖς. ZQU^mI^i

B 668/Z^s ἠδ' ἐφίληθεν: καὶ ἐφιλήθησαν. ZQI^i

B 670/Z^s καί σφιν θεσπέσιον πλοῦτον: καὶ αὐτοῖς πολὺν καὶ ἀθρόον κατέπεμψε πλοῦτον ὁ Ζεύς, καὶ πάνυ πλουσίους αὐτοὺς ἐποίησεν. ἱστορεῖται γὰρ ὅτι τοῖς Ῥοδίοις χρυσὸν ἔβρεξεν ὁ Ζεὺς, ἐπεὶ πρῶτοι γεννωμένηι τῆι Ἀθηνᾶι ἔθυσαν. ZQUIG

2 αὐτοὺς om QU || ἱστόρηται Q || 3 γενόμενοι Q, om U ||

B 671/Z^s Νειρεὺς (Νιρεὺς Hom.) αὖ Σύμηθεν: ἀπὸ Αἰσύμης. ZQU^iI^iG | ἐνταῦθα δὲ τρὶς ὀνομάσας τὸν Νειρέα οὐκ ἔτι αὐτοῦ ἐμνήσθη. καὶ τούτου αὐτὸς τὴν αἰτίαν παραδίδωσιν λέγων 'ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο λαός' (675). ZQU^mI^mG | 'ἐίσας' (671) δὲ τάς ἰσοτοίχους. ZQ

νηρεὺς Q^λ || 1 αἰσύμης ZQUIQ : Σύμης L || 2 νηρέα Q (= Theog. 233), νιρέα AU || 3 lemma 'ἐίσας' pro δὲ Q ||

↑ B 672/I^i ⌞Νιρεὺς Νιρεὺς⌟ τὸ σχῆμα ἐπαναφορά. cf B 382/T^s

B 672/Q^s Χαρόποιο: τοῦ Χαρόπου. Q cf 843𝔇

B 673/Q^s ὑπὸ Ἴλιον: εἰς τὴν Ἴλιον. Q (= B 216𝔇 493𝔇) | εἰς Τροίαν. U^i

B 675/Z^s ἀλαπαδνός: ἀσθενής. ZQU^iI^i

B 675/Z^s παῦρος: ὀλίγος. ZQU^iI^i

B 675/Z^s εἵπετο: ἠκολούθει. ZQ

B 676/Z^s+Q^s Θάσσος καὶ Κράπαθος (Κράπαθόν τε Κάσον τε Hom.): νῆσοι περὶ τὴν Κῶ. ⌜λέγουσιν αὐτὴν τινὲς Κάρπαθον. QG μετάθεσις τοῦ ρ̄ U^i⌝. 'Εὐρυπύλοιο' δὲ 'πόλιν' (677) λέγει τὴν Κῶ, ἐπεὶ Εὐρύπυλος ἦν Ἡρακλέους καὶ Χαλκιόπης παῖς, ὃς ἐβασίλευσε τῆς Κῶ. ZQI^i~U^mG

1 κῶ Q, κῶαν ZU^m || 2 lemma 'Εὐρυπύλοιο πόλιν' pro δὲ Q ||

B 678/Z^s τῶν αὖ: τούτων δὲ ZQU^mI^i | πάλιν. U^mI^i

B 679/Z^s Θεσσαλοῦ: οὗ Φείδιππος καὶ Ἄντιφος. ZQU^m

φίδιππος Z ||

B 679/Z^s Ἡρακλείδαο: Ἡρακλέους παιδός. ZQ

Γ 49/$Z^s$ αἰχμητάων: πολεμικῶν. ZYQ

Γ 50/$Z^s$ πῆμα: κακόν. ZYQ

Γ 50/$Z^s$ πόληΐ τε: καὶ τῆι πόλει. ZYQ

Γ 50/$Z^s$ παντί τε δήμωι: καὶ ὅλωι τῶι πλήθει τῶν Τρώων. ZYQ

Γ 51/$Z^s$ δυϲμενέεϲϲι: ἐχθροῖϲ, πολεμίοιϲ. ZYQ

Γ 51/Z$^{s}$ χάρμα: γέλωτα, χαράν. ZYQ

Γ 51/Z$^{s}$ κατηφείη: αἰςχύνη, ὄνειδος· οἱ γὰρ αἰςχυνόμενοι κατηφεῖς εἰςίν. ZYQG*

κατηφείην Y$^{\lambda}$ / κατηφείη Z$^{\lambda}$Q$^{\lambda}$ = vv.ll. Hom. || αἰςχύνην Y ||

Γ 52/Z$^{s}$ μείνειας: ὑπομείνειας. ZQI

Γ 52/Z$^{s}$ ἀρηΐφιλον: πολεμικόν. ZYQ

Γ 53/Z$^{s}$ γνοίης κε: μάθοις ἄν. ZYQ

Γ 53/Z$^{s}$ οἵου: ὁποίου. ZQ

Γ 53/Z$^{s}$ φωτός: ἀνδρός. ZQ

Γ 53/Z$^{s}$ θαλερήν: ἀκμαίαν, νέαν. ZYQ

Γ 53/Z$^{s}$ παράκοιτιν: γυναῖκα, γαμετήν. ZYQ

Γ 54/Z$^{s}$ οὐκ ἄν τοι χραίςμηι: οὐκ ἄν coι βοηθήcoι. ZYQ

χραίςμα Z$^{\lambda}$ ||

Γ 54/Z$^{s}$ κίθαρις: ἡ κιθαρωιδία. 'δῶρα' δὲ ''Ἀφροδίτης' ἤτοι ἡ Ἑλένη, ἢ ὅπερ ἔχεις κάλλος. Z(Y)QG*

lemma 'δῶρα δὲ Ἀφροδίτης' YQ || ἤτοι .. κάλλος : ἡ Ἑλένη Y ||

Γ 55/Z$^{s}$ ὅτ' ἐν κονίηιςι μιγείης: ὅταν ἀναιρεθῆις συςτὰς εἰς μάχην τῶι Μενελάωι· κόνιν γὰρ ἔλεγον καὶ τὴν μάχην οἱ παλαιοί. ZYQU$^{i}$IG. A$^{ti}$ ἀντὶ τοῦ "ὅταν συνέλθηις εἰς μάχην" ~T$^{i}$.

2 καὶ om Y ||

Γ 56/Z$^{s}$ δειδήμονες: δειλοὶ ὡς πρὸς ἡμᾶς τοὺς βαςιλέας. ZYQIG

δειδήμονες / δειλήμονες vv.ll. Hom. || βαςιλέα Z, βαςιλεῖς YQ ||

Γ 56/Z$^{s}$ ἦ τέ κεν ἤδη: νῦν γὰρ εὐθέως ἄν. ZYQ

Γ 57/Z$^{s}$ λάϊνον: λίθινον. ZYQ

↑ Γ 57/Y$^{s}$ λάϊνον ἕςςο χιτῶνα: λιθόλευςτος ἐγεγόνεις (=G), λίθοις βληθεὶς ὑπὸ πάντων ἀπωλώλεις. YQI

Γ 57/Z$^{s}$ ἕςςο: ἐνεδέδυςο. ZYQT$^{r}$

Γ 57/Z$^{s}$ ἔοργας: εἰργάςω. ZYQ

Γ 59/Z$^{s}$ κατ' αἶcαν: κατὰ τὸ προςῆκον. ZYQ

Γ 59/Z$^{s}$+Y$^{s}$ ἐνείκεςας: ὠνείδιςας. ZYQ | ἐπέπληξας. Y (~ Π 626)

Γ 59/Z$^{s}$ οὐδ' ὑπὲρ αἶcαν: οὐδὲ ὑπὲρ τὸ προςῆκον. ZYQ

Γ 60/Z$^{s}$ αἰεί τοι: διὰ παντός coι. ZYQ

Γ 60/Z$^{s}$ κραδίη: ἡ καρδία, ἡ ψυχή. ZYQ

Γ 60/Z$^{s}$ πέλεκυς ὥς (cf A 162𝔇): ὡς πέλεκυς. ZYQ

Γ 60/Z$^{s}$ ἀτειρής: ἀκαταπόνητος. ZYQT$^{r}$

Γ 61/Z$^{s}$ ὅς τ' εἶcι: ὅςτις πέλεκυς εἰςέρχεται. ZYQ

Γ 51/Z$^{s}$ διὰ δουρός: διὰ δόρατος, διὰ ξύλου. ZYQ

Γ 61/Z$^{s}$ ὑπ' ἀνέρος: ὑπ' ἀνδρός· ¦ προςληπτέον δὲ τὸ καταφερόμενος (=T$^{r}$). ZYQ

Γ 61/Z$^{s}$ ὅς ῥά τε τέχνηι: ὅςτις μετὰ τέχνης. ZYQ

Γ 62/Z$^{s}$ νήϊον: ξύλον πρὸς νηῶν καταςκευὴν ἐπιτήδειον. ZYQ~I$^{m}$G

Γ 62/Z$^{s}$ ἐκτάμνηιςι: ἐκκόπτει. ZYQ

Γ 62/Z$^{s}$ ὀφέλλει: αὔξει δὲ τὴν τοῦ ἀνδρὸς δύναμιν ὁ πέλεκυς ὀξὺς ὑπάρχων καὶ διερχόμενος ἑτοίμως, ὥςπερ ὁ ἀμβλὺς τοὐναντίον καταλύει. ZYQI

Γ 63/Z$^{s}$ ὥς coι: οὕτως coι. ZYQT$^{r}$

Γ 63/Z$^{s}$ ἀτάρβητος: ἀκατάπαυςτος, ἄφοβος. 'νόος' δὲ νοῦς, ψυχή. ZYQ

lemma 'νόος' pro δὲ YQ ||

Γ 64/Z$^{s}$ ἐρατά: ἐπέραςτα, καλά. ZYQ

Γ 64/Z$^{s}$ πρόφερε: ὀνείδιζε. ZYQ

Γ 64/$Z^s$ χρυcῆc: χρυcοφόρου, καλῆc. Ἑcτιαία δὲ ἡ γραμματική (cf Strabo 13,1,36 p. 599) φηcιν ὅτι πεδίον ἐcτὶν χρυcοῦν καλούμενον, ἐν ὧι χρυcῆν Ἀφροδίτην τιμᾶcθαι καὶ εἶναι οὕτωc χρυcῆc Ἀφροδίτηc ἱερόν. καὶ οἱ μὲν "⟨τὴν⟩ ἀπὸ τῆc Πάφου", οἱ δὲ "τὴν καλήν"· Κλεάνθηc δὲ καὶ ἐν Λέcβωι οὕτωc τιμᾶcθαι Ἀφροδίτην χρυcῆν (SVF 1, 544). ZYQ$T^r U^m$IG*

2 ὅτε $Z^1$ || 2 ὀνομαζόμενον Y || 3 ⟨τὴν⟩ de Marco || 4 κλεάνθηc Q : ἀπαλεανθηc Z, ἀπλεάνθηc Y ||

Γ 65/$Z^s$ οὔ τοι: οὐδαμῶc coι. ZYQ

Γ 65/$Z^s$ ἀπόβλητα: ἀποβολῆc ἄξια (=$T^r$). τὰ ὑπὸ τῶν θεῶν φηcὶν διδόμενα δῶρα οὐκ ἔcτι μὲν ἀρνήcαcθαι οἷά τ' ἂν εἰcίν· μὴ διδόμενα δὲ παρ' αὐτῶν ἀδύνατόν τινα λαβεῖν οἰκείαι cπουδῆι. ZYQA$U^m$IG*

1 τῶν om Y || 2 μὲν om A || τ' om A || αὐτῶ Z ||

Γ 65/$Z^s$ ἐρικυδέα: μεγάλωc ἔνδοξα. ZYQ

Γ 66/$Z^s$ ὅcca κεν: ὅca ἄν. ZYQ

Γ 66/$Z^s$ ἑκὼν δέ: βουλόμενοc δέ. ZYQ

Γ 66/$Z^s$ οὐκ ἄν τιc ἕλοιτο: οὐκ ἄν τιc λάβοι. ZYQ

Γ 67/$Z^s$ νῦν δ' αὖτ': νῦν δὲ δή. ZYQ

Γ 68/$Z^s$ κάθιcον: καθίδρυcον, καθεcθῆναι ποίηcον. ZYQ

Γ 69/$Z^s$ αὐτὰρ ἔμ': ἐμὲ δέ. ZY(Q)L

ἐμὲ δὲ in lac. om Q ||

Γ 70/$Z^s$ ἀμφ' Ἑλένηι καὶ κτήμαcι: περὶ Ἑλένηc καὶ τῶν κτημάτων αὐτῆc. ZYQ

κτημάτων = hypothesis b : χρημάτων de Marco ≈ hypothesis a ||

Γ 70/$Z^s$ πᾶcι: ἀντὶ τοῦ πάντων. ZYQ

Γ 71/$Z^s$ ὀππότεροc δέ κε: ὁποῖοc δὲ ἄν· ὁ τρόποc διπλαcιαcμόc, ἡ διάλεκτοc Αἰολίc. ZYQ$I^m$

2 αἰολῆc Z ||

Γ 71/$Z^s$ κρείccων τε γένηται: ἰcχυρότεροc φανῆι. ZYQ

φανεῖ Z ||

Γ 72/$Z^s$ ἑλών: λαβών. ZYQ

Γ 73/$Z^s$ φιλότητα: φιλίαν. ZYQ

Γ 73/$Z^s$ καὶ ὅρκια πιcτά: πιcτοὺc ὅρκουc. ZYQ

Γ 73/$Z^s$ ταμόντεc: δι' ἐντόμων, ὅ ἐcτι θυcιῶν, ποιηcάμενοι. ZYQ ~$T^r$

Γ 74/$Z^s$ ναίοιτε: κατοικεῖτε. ZYQ

Γ 74/$Z^s$ ἐριβώλακα: μεγαλόβωλον, εὔγειον. ZYQ

Γ 74/$Z^s$ τοὶ δέ: οὗτοι δέ, οἱ Ἕλληνεc. ZYQ

Γ 74/$Z^s$ νεέcθων: πορευέcθωcαν. ZYQ

Γ 75/$Z^s$+$Q^s$ Ἄργοc ἐc: εἰc τὸ Ἄργοc· 'ἱππόβοτον' δὲ ἱπποτρόφον. ZYQI | Ἴαcοc καὶ Πελαcγὸc Τριόπα παῖδεc· τελευτήcαντοc αὐτοῖc τοῦ πατρόc, διείλαντο τὴν βαcιλείαν. λαχὼν δὲ Πελαcγὸc μὲν τὰ πρὸc Ἐραcῖνον ποταμόν, ἔκτιcε Λάριcαν, Ἴαcοc δὲ τὰ πρὸc ἥλιον. τελευτηcάντων δ' αὐτῶν, ⟨ὁ⟩ νεώτατοc ἀδελφὸc Ἀγήνωρ ἐπεcτράτευcε τῆι χώραι πολλὴν ἵππον ἐπαγόμενοc, ὅθεν ἐκλήθη ἱππόβοτον μὲν τὸ Ἄργοc ἀπὸ τῆc Ἀγήνοροc ἵππου, ἀπὸ δὲ Ἰάcου Ἴαcον. ἱcτορεῖ Ἑλλάνικοc ἐν Ἀργολικοῖc (FGrHist 4F36b = Fowler). ZYQAUI ~T | 'Ἴαcον Ἄργοc (c 246), Πελαcγικὸν Ἄργοc (B 681), ἱππόβοτον Ἄργοc' (hic). QT

1 lemma 'ἱππόβοτον' pro δὲ YQ || 2 τριόπα : φορωνέωc T || τελευτήcαντοc ⟨δὲ⟩ A || διείλαντο $ZA^1$ (Schwyzer 1, 753) : διείλοντο YQU || 4 ἴλιον A || τελευτηcάντων τῶν δ' Z || ⟨ὁ⟩ A || 5-6 {μὲν} τὸ ἄργοc ⟨μὲν⟩ A || ζ ἀργονικοῖc A ||

Γ 75/$Z^s$+$U^m$ Ἀχαιίδα: τὴν ἐν Πελοποννήcωι λέγει Ἀχαιίαν (=$U^m$). 'καλλιγύναικα' δὲ καλὰc γυναῖκαc ἔχουcαν. ZYQ | τὴν Θεccαλίαν λέγει ''Ἀχαιίδα' καὶ πᾶcαν τὴν Ἑλληνίδα. $U^m$ ~$T^s A^s$

1 τὴν πελοπόννηcον YQ || λέγω Z || ἀχαΐαν Y || lemma 'καλλιγύναικα' pro δὲ YQ ||

Γ 76/Z^s ὣς ἔφαθ’: οὕτως εἶπεν. ZYQ

Γ 76/Z^s Ἕκτωρ δ’ αὖτ’ ἐχάρη μέγα μῦθον ἀκούςας: ἀντὶ τοῦ μεγάλως ἐχάρη ἀκούςας τὸν λόγον τοῦτον ὑπὸ ’Αλεξάνδρου. ZYQ

Γ 77/Z^s ἰών: πορευθείς. ZYQ = H 46/A^t ὅτι ...

Γ 77/Z^s ἀνέεργεν: ἀνεῖργεν, ἐκώλυεν ZYQ | τοῦ πολεμεῖν. ZQ~T^i

Γ 77/Z^s φάλαγγας: τὰς στρατιωτικὰς τάξεις. ZYQ

Γ 79/Z^s+U^i ἐπετοξάζοντο: ἐπ’ αὐτῶι ¦ τὰ τόξα ἔτεινον (= A^r). ZYQU^i | ἀπὸ μετοχῆς εἰς ῥῆμα. οἱ δὲ ἀπὸ κοινοῦ τὸ ἔβαλλον. οἱ δὲ τιτυςκόμενοι ἰοῖς ἐτόξαζον. U^iIG*=T^s

1 αυτῶ Z : αὐτὸν YQ || ἔτεινον : ἔβαλλον Y ||

Γ 80/Z^s ἰοῖςιν: βέλεςιν. ZYQ

Γ 80/Z^s τιτυςκόμενοι: καταςτοχαζόμενοι (= A^rT^r ≃ Λ 350𝔇). ςημαίνει δὲ καὶ τὸ "ἑτοιμάζειν", ὡς ἐκεῖνο 'ὥς εἰπὼν ὑπ’ ὄχεςφι τιτύςκετο' (Θ 41𝔇). ἔνιοι δὲ καὶ ἐπὶ τοῦ "ψυχικῶς ςτοχάζεςθαι"· 'τιτύςκετο δὲ φρεςὶν ᾗςιν' (N 558). ZYQIG ~ApS 153

2 ἐκεῖνο : ἐκεῖ Y = Γ 128𝔇 ||

Γ 80/Z^s λάεςςι: λίθοις. ZQ

Γ 80/Z^s ἔβαλλον: ἠκόντιζον. ZQ

Γ 81/Z^s αὐτὰρ ὅ: οὗτος δέ. ZYQ

Γ 81/Z^s μακρόν: μέγα. ZYQ

Γ 81/Z^s ἄϋςεν: ἐβόηςεν. ZYQ | 'ἄναξ' δὲ βαςιλεύς. Z = A 7𝔇

duo scholia Z ||

Γ 82/Z^s ἴςχεςθαι (= c 347): παύεςθαι. ZYQ

ἴςχεςθε (= Hom.)· παύεςθε YQ ||

Γ 82/Z^s κοῦροι ’Αχαιῶν: περιφραςτικῶς οἱ Ἕλληνες. ZYQ

Γ 83/Z^s ςτεῦται γάρ τι ἔπος: διαβεβαιοῦται (= A^r) γάρ· ὑπιςχνεῖται λόγον. ZYQG ~ Epim. c 43

Γ 83/Z^s ἐρέειν: ἐρεῖν, λέξειν. ZYQ

Γ 83/Z^s κορυθαίολος: αἰόλλων καὶ κινῶν τὴν περικεφαλαίαν, ἐξ οὗ πολεμικός. ZYQG

κορυθαίολος YQ^λ / κορυθαιόλος Z^λ = vv.ll. Hom. || πολεμικῶς Z ||

Γ 84/Z^s ἔςχοντο: ἐπαύςαντο. ZYQ

Γ 84/Z^s ἀνεώ τ’ ἐγένοντο: ἥςυχοι, ἄνευ ἰωῆς, τουτέςτι φωνῆς καὶ θορύβου. ZYQ G~T^r

Γ 85/Z^s ἐςςυμένως: ςπουδαίως. ZYQT^i

Γ 85/Z^s Ἕκτωρ δὲ μετ’ ἀμφοτέροιςιν: ἐν ἀμφοτέροις· λέγω δὴ Τρωςὶ καὶ Ἕλληςι· ἡ γὰρ μετα̅ ἀντὶ τῆς ε̅ν̅ προθέςεως νῦν. ZYQG cf A 222𝔇 "ἐπὶ", E 264𝔇 "ἀντὶ τοῦ πρός".

ἀμφοτέροιςιν ⟨ἔειπεν⟩ Y^λ || 2 νῦν om Y ||

Γ 85/Z^s ἔειπεν: εἶπεν, ZY | ἔλεξεν. ZYQ

Γ 86/Z^s κέκλυτέ μευ: ἀκούςατέ μου. ZYQ

Γ 87/Z^s τοῦ εἵνεκα: οὗτινος χάριν. ZYQ

Γ 87/Z^s νεῖκος: φιλονεικία. ZYQT

Γ 87/Z^s ὄρωρεν: διεγήγερται. ZYQT

Γ 88/Z^s κέλεται: κελεύει. ZYQ

Γ 89/Z^s τεύχεα: ὅπλα. ZYQ

Γ 89/Z^s ἐπὶ χθονί: ἐπὶ τῆι γῆι. 'πουλυβοτείρηι' δὲ τῆι πολλοὺς τρεφούςηι. ZYQ

lemma 'πουλυβοτείρηι' pro δὲ YQ ||

Γ 91/Z^s οἴους: μόνους. 'ἐν μέςωι' (90) δὲ τουτέςτι μεταξὺ Τρώων καὶ Ἑλλήνων. ZYQ

Γ 92/Z^s ὁππότερος δέ κε: ὅςτις δὲ πρότερος. ZYQ ~ Γ 299𝔇 317𝔇

Γ 94/Z^s φιλότητα: φιλίαν. ZYQ

Γ 94/Z^s^ τάμωμεν: πιστωσώμεθα. ZYQ
πιστωσόμεθα Y ||

Γ 95/Z^s^ ἀκὴν ἐγένοντο σιωπῆι: ἐπ' ἄκρας ἡσυχίας ἐγένοντο· ¦ ἀκὴ γὰρ καλεῖται ἡ ὀξύτης (~G). ZYQT^r^

Γ 96/Z^s^ τοῖσι δὲ καὶ μετέειπε: ἐν αὐτοῖς δὲ εἶπεν. Z A 73𝔇

Γ 97/Z^s^ κέκλυτε νῦν καὶ ἐμεῖο: ἀκούσατε νῦν καὶ ἐμοῦ. ZQ

Γ 97/Z^s^ μάλιστα γάρ: ἐξαιρέτως γάρ. ZYQ

Γ 97/Z^s^ ἄλγος: λύπη. ZYQ

Γ 97/Z^s^ ἱκάνει: καταλαμβάνει. ZYQ

Γ 98/Z^s^ φρονέω: φρονῶ, βουλεύομαι. ZYQ

Γ 98/Z^s^ διακρινθήμεναι: διαχωρισθῆναι. ZYQ

Γ 99/Z^s^ πέποσθε: πεπόνθατε. ZYQT^r^

Γ 100/Z^s^ εἵνεκ' ἐμῆς ἔριδος: ἕνεκα τῆς ἐμῆς φιλονεικίας καὶ ¦ τῆς ὑπὸ Ἀλεξάνδρου γενομένης ἁρπαγῆς· αὕτη γὰρ ἀρχὴ κακῶν (=T^r^). ZYQ

Γ 101/Z^s^ ἡμέων: ἡμῶν. ZYQ

Γ 101/Z^s^ ὁπποτέρωι: ὁποίωι, ὧτινι. ZYQ

Γ 101/Z^s^ θάνατος καὶ μοῖρα τέτυκται: θανεῖν εἵμαρται. ZYQ

Γ 102/Z^s^ τεθναίη: ἀποθάνοι. ZYQ
τεθναίοι ZY^λ^ ||

Γ 102/Z^s^ διακρινθεῖτε: διαχωρισθείητε. ZYQ
διακρινθείητε ZY^λ^ ||

Γ 102/Z^s^ τάχιστα: διὰ τάχους, συντόμως. ZYQ

Γ 103/Z^s^ οἴσετε: κομίσετε, ἀγάγετε. τὸ δὲ 'ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν' ¦ τὰ οἰκεῖα ἑκάστωι θεῶι ἱερουργούμενα εἰσάγει· τῶι μὲν ἡλίωι λαμπρῶι ὄντι καὶ ἄρρενι ἄρρενα φησὶν καὶ λευκὸν ἱερουργηθῆναι ἄρνα, τῆι δὲ γῆι μέλαιναν καὶ θήλειαν, ἐπεὶ τοιαύτη ἡ θεός (= A, ~G). ZYQU^m^*I
1 οἴσεται· κομίσεται ἀγάγεται Z || ἄγετε Y || lemma pro τὸ δὲ L || 2 μὲν ⟨γὰρ⟩ Y || 3 καὶ ἄρρενι ἄρρενά Roemer (Jbb. 111/4, 1876, 450) : καὶ ἄρρενι YQ, καὶ ἄρρενα ZA ||

Γ 103/Z^s^ ἄρνε: ἄρνας δυϊκῶς. ZYQU^m^

Γ 104/Z^s^ Διὶ δ' ἡμεῖς οἴσομεν: τῶι δὲ Διὶ ἡμεῖς ἄλλον κομίσομεν ὡς ξένοι, ἐπεὶ καὶ ξένιος Ζεὺς προσαγορεύεται. ZYQAI^i^
οἴομεν Z^λ^, οἴσομεν ἄλλο Y^λ^ ||

Γ 105/Z^s^ ἄξετε: ἀγάγετε. ZYQ | ἔλαβεν δὲ παρατατικὸν ἀντὶ ὑπερσυντελικοῦ. ZYI^m^
ἀγάγεται Z || συντελικοῦ de Marco, sed cf introd. n. 18 ||

Γ 105/Z^s^+Q^s^ Πριάμοιο βίην: περιφραστικῶς τὸν Πρίαμον. ZYQ~I^i^ | διὰ τί ⟨Διὸς⟩ ὑποσχομένου τὴν ἅλωσιν Ἰλίου συνθήκας ποιεῖται πρὸς Τρῶας; ῥητέον οὖν ὅτι κατ' ἐνίους οὐ πιστεύει τῶι ὀνείρωι, κατὰ δὲ ἑτέρους οὐδὲν διέφερε καὶ δι' ἑνὸς μονομαχίαν νικᾶν. καὶ ἄλλως τε καὶ προσετέτακτο αὐτῶι καθοπλίσαι τοὺς πάντας, οὐ μάχεσθαι. QUIG ~ Porph. 54, 16
1 ⟨Διὸς⟩ L || 4 νικᾶν U : om Q Porph., ἢ ἀντὶ παντὶ τῶι στρατῶι νικῆσαι L || τε Porph. : δὲ Q ||

Γ 105/Z^s^ ὄφρ' ὅρκια: ὅπως τοὺς ὅρκους. ZYQ

Γ 106/Z^s^ ἐπεὶ οἱ παῖδες: ἐπειδὴ οἱ υἱοὶ αὐτοῦ. ZYQ
ἐπειδὴ οἱ YQ : ἐπεὶ Z ||

Γ 106/Z^s^ ὑπερφίαλοι: ὑπερήφανοι, ἄθεοι καὶ παραβαίνοντες τοὺς ὅρκους καὶ τὰς σπονδὰς τὰς διὰ φιαλῶν γιγνομένας. ZYQI~G*
1 ἄθεοι : ἄδικοι Y ≃ O 94𝔇 || 2 φιαλῶ Z ||

Γ 107/Z^s^ ὑπερβασίηι: παραβασίαι, ἀδικίαι. ZYQT^r^,~Epim. υ10 (A^r^ ἐν τῆι ὑπερηφανίηι)
παραβάσει YQT^r^ ||

Γ 107/Z^s Διὸς ὅρκια: τοὺς Διὸς ὅρκους. 'δηλήσεται' δὲ βλάψηι ZYQ | τῶι παρελθεῖν αὐτούς. ZQ (A^r βλάψει)

1 τοὺς : τοῦ Z || lemma 'δηλήσεται' pro δὲ YQ ||

Γ 108/Z^s ὁπλοτέρων: νεωτέρων. ZYQA^r

Γ 108/Z^s ἠερέθονται: "ἀπαιωροῦνται, κρέμανται", οἷον "οὐκ εἰσὶν σταθεραί, ἀλλ' ἀβέβαιοι". ZYQT^rI^i (A^r κρέμανται)

1 ἀπηωροῦνται Z ||

Γ 109/Z^s οἷς δ' ὁ γέρων μετέηισι: ἐν οἷς δ' ἂν ὁ γέρων παρῆι. ZYQ

μετεισιν Y^λ (= N 298) ||

Γ 109/Z^s ἅμα πρόσσω καὶ ὀπίσσω: εἰς τὸ παρὸν καὶ εἰς τὸ μέλλον. ZYQ

Γ 110/Z^s λεύσσει: ὁρᾶι, βλέπει. ZYQ

Γ 110/Z^s ὄχ' ἄριστα: ἐξόχως ἄριστα. ZYQ

Γ 112/Z^s ἐλπόμενοι: ἐλπίζοντες. ZYQ

Γ 112/Z^s ὀϊζυροῦ: ἐπιπόνου, χαλεποῦ. ZYQ

Γ 113/Z^s ἔρυξαν: κατέσχον. Z(κατεσχαν) YQT (A^r ἐκράτησεν)

Γ 113/Z^s ἐπὶ στίχας: ἐπὶ τὰς τάξεις, ZYQ | ἐφεξῆς. ZQ

Γ 113/Z^s ἐκ δ' ἔβαν αὐτοί: ἐξῆλθον δὲ καὶ αὐτοί. ZYQ. T^r κατέβησαν δέ.

Γ 114/Z^s τεύχεα: ὅπλα, παρὰ τὸ τετευχῆσθαι, ὅ ἐστιν κατεσκευάσθαι. ZYQ

τεύχεσθαι ... κατασκευάζεσθαι Y ||

Γ 114/Z^s ἐξεδύοντο: ἀπεδύοντο, ἀπετίθεντο. ZYQ

Γ 115/Z^s πλησίον: ἐκ τοῦ σύνεγγυς. Z(πλήσιοι^λ) YQ

Γ 115/Z^s ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα: βραχὺ δὲ ἦν τὸ μεταξὺ τῶν στρατευμάτων διεῖργον αὐτοὺς χωρίον. ZYQ

Γ 115/Z^s ἄρουρα: γῆ, παρὰ τὸ ἀροτριᾶσθαι. ZYQ

Γ 116/Z^s προτὶ ἄστυ: πρὸς τὴν πόλιν. ZYQ

Γ 117/Z^s καρπαλίμως: ταχέως. ZYQ

Γ 118/Z^s προΐει: προέπεμπεν. ZYQ = A 326𝔇

προάγει Z^λ || προέπεμψεν Y = A 326/Y^s, Epim. ι 52 ||

Γ 119/Z^s γλαφυράς: κοίλας. ZYQ

Γ 119/Z^s ἰέναι: παραγίνεσθαι. ZYQ

παραγενέσθαι Y = A 227𝔇 ||

Γ 120/Z^s οἰσέμεναι: οἴσειν, κομίσειν. ἔλαβεν δὲ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. ZYQ

Γ 121/Z^s Ἶρις δ' αὖτε: ἡ δὲ Ἶρις, ἡ τῶν θεῶν ἄγγελος. ¦ σημαίνει δὲ δύο, αὐτήν τε τὴν σωματοειδῆ θεὸν καὶ τὸ νεφελῶδες σύστημα (=T^r), οἷον 'ἴρισσιν ἐοικότες ἅς τε Κρονίων ἐν νέφεϊ στήριξε τέρας μερόπων ἀνθρώπων' (~ U^mG, Λ 27𝔇). ZYQI | καὶ ὄνομα ποταμοῦ 'ποταμὸν ταχύρροον Ἶριν' (ApR 2,963 ἀγχίρροον Ἶριν, EtM 475,44) λέγουσιν εἶναι. καὶ ἀρωματικὴν πόαν (~ He ι 888). U^m

2 εἴρεσσιν Z ||

Γ 122/Z^s εἰδομένη: ὁμοιωθεῖσα. ZQ

Γ 122/Z^s γαλόωι: γάλωτι· γάλως δέ ἐστιν ἀνδρὸς ἀδελφή. ZYQI~GT^iA^r

Γ 122/Z^s Ἀντηνορίδαο: Ἀντήνορος παιδὶ Ἑλικάονι. ZYQ~T^r

Γ 122/Z^s+Q^s δάμαρτι: γυναικί. ZYQI | παρὰ τὸ δεδμῆσθαι καὶ ὑποτετάχθαι τῶι ἀνδρί (~ ApS 56,13). QIG*

Γ 123/Z^s ἔχε: εἶχεν, ἐγεγαμήκει. ZYQ

Γ 123/Z^s κρείων: βασιλεύς. ZYQ

Γ 123/A^r ⸤Ἑλικάων⸥ ὄνομα κύριον.

Γ 124/Z^s εἶδος ἀρίστην: τὴν μορφὴν καλήν. ZYQ

ἀρίστη Z^λ || .. καλή Z ||

Γ 125/Z$^s$ τὴν δ' εὗρεν: ταύτην δὲ κατέλαβεν· δέον εἰπεῖν "ἥν", ἔλαβεν ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ. ZYQXIG

1 κατέβαλεν Z || 2 ⟨τοῦ⟩ ὑποτακτικοῦ Y ||

Γ 125/Z$^s$ μεγάρωι: ἐν τῶι οἴκωι.ZYQX

Γ 126/Z$^s$ δίπλακα: διπλοΐδα, διπλοῦν ἱμάτιον, ὅ ἐστι χλανίδα. ZYQX

χλαμύδα Y ||

Γ 126/Z$^s$ μαρμαρέην: λαμπράν (= E), λευκήν. ZYQX

Γ 126/Z$^s$ πολέας δέ: πολλοὺς δέ. ZYQX

Γ 126/Z$^s$ ἐνέπασσεν: ἐνεποίκιλλεν, ἐνέπλεκεν. ὅθεν καὶ τὰ ποικίλα παραπετάσματα παστοὶ καλοῦνται. ZYQXG*T$^r$ (A$^r$ ἐστόριζεν)

ἐνέπασεν Z$^\lambda$ ||

Γ 126/Z$^s$ ἀέθλους: νῦν "τοὺς κατὰ τὸν πόλεμον πόνους". ZYQX~G cf δ 241𝔇 "ἆθλοι, ἀγῶνες".

Γ 127/Z$^s$ ἱπποδάμων: ἱππικῶν, πολεμικῶν. ZYQX

Γ 128/Z$^s$ οὓς ἕθεν εἵνεκα: οὕστινας ἕνεκα αὐτῆς ὑπέμενον. ZYQX

αὐτοῖς Z ||

Γ 128/Z$^s$ ὑπ' Ἄρηος παλαμάων: ὑπὸ τῶν τοῦ πολέμου χειρῶν. ὁτὲ δὲ μηχανῶν ὡς ἐκεῖ 'ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος' (E 597), ZYQXI$^i$ | ἀντὶ τοῦ ἀμήχανος. ZYI$^i$

1 ὅτε ZYQ ut semper ||

Γ 129/L$^s$ ἄγχου: πλησίον. = B 172𝔇

Γ 129/Z$^s$ ἱσταμένη: στᾶσα. ZYQX

Γ 129/Z$^s$ προσέφη: εἶπεν. ZYQX

προσεῖπεν Y = A 84𝔇 ||

Γ 129/Z$^s$ πόδας ὠκέα: τοῖς ποσὶν ταχεῖα. ZYQX

Γ 130/Z$^s$ νύμφα: νύμφη, Ἰωνικῶς. ZYQX~TG. A$^{td}$ Ἰωνικῶς νύμφα, τόλμα.

ἰωνικῶς : ἰωνικὸν T, δωρικόν Epim. ν 17 ||

Γ 130/Z$^s$ θέσκελα: θεῖα (= GA$^r$), θαυμαστά. ZYQX

Γ 130/Z$^s$ ἴδηαι: θεάσηι. ZYQX

Γ 131/L$^s$ χαλκοχιτώνων: σιδηροθωράκων. = B 47𝔇

Γ 132/Z$^s$ οἳ πρίν: οἵτινες πρότερον. ZYQX

Γ 132/Z$^s$ ἐπ' ἀλλήλοισι φέρον: ἀλλήλοις ἐπέφερον. ZYQX cf TG

Γ 132/Z$^s$ πολύδακρυν: πολλῶν δακρύων καὶ στεναγμῶν αἴτιον διὰ τοὺς ἐναιρουμένους ἐν αὐτῶι. ZYQ(X)

1 διὰ om Y || 1-2 ἀναιρουμένους Y ||

Γ 133/Z$^s$ ὀλοοῖο: ὀλεθρίου. ZYQX

Γ 133/Z$^s$ λιλαιόμενοι: ἐπιθυμοῦντες. ZYQX

Γ 134/Z$^s$ ἕαται: καθέζονται. ZYQX

εἴαται Z$^\lambda$ = B 137𝔇 ||

Γ 134/L$^s$ σιγῆι: σιωπῆι. = Γ 8𝔇

Γ 135/Z$^s$ ἀσπίσι κεκλιμένοι: ταῖς ἀσπίσιν ἐπικείμενοι. ZYQX

Γ 135/Z$^s$ παρὰ δ' ἔγχεα μακρὰ πέπηγεν: παραπέπηγεν δὲ αὐτοῖς, ὅ ἐστιν παράκειται (~T$^r$), τὰ μακρὰ δόρατα. ZYQX

Γ 137/Z$^s$ μακρῆις ἐγχείηισιν: τοῖς μακροῖς δόρασιν. ZYQX

τοῖς μακροῖς : μεγάλοις Y ||

Γ 137/Z$^s$ περὶ σεῖο: περὶ ¦ σοῦ (Γ 365𝔇). Z

Γ 138/Z$^s$ τῶι δέ κε νικήσαντι: ἀντὶ τοῦ τοῦ δὲ νικήσαντος. ZQX A$^{ts}$ ὅτι ...

unum τοῦ om QA$^t$ ||

Γ 138/Z$^s$ κεκλήσηι: κληθήσηι. ZYQX

Γ 138/$Z^s$ ἄκοιτις: γαμετή, γυνή. ZYQX

Γ 139/$Z^s$ γλυκὺν ἵμερον: γλυκὺν πόθον, ἡδεῖαν ἐπιθυμίαν. ZYQX

Γ 139/$Z^s$ ἔμβαλε: ἐνέβαλε. ZYQX

Γ 139/$Z^s$ θυμῶι: τῆι ψυχῆι. ZYQX

Γ 140/$Z^s$ ἀνδρός τε προτέρου (προτέροιο Hom. = $Y^λ$): ἀνδρὸς Μενελάου. ZYQX

τοῦ προτέρου ἀνδρὸς, ἤγουν τοῦ Μενελάου (Y εἶτ' οὖν) QX ||

Γ 140/$Z^s$ καὶ ἄςτεος: καὶ τῆς πόλεως· ZYQX | λέγει δὲ τῆς Σπάρτης. ZQ

Γ 140/$Z^s$ ἠδὲ τοκήων: καὶ τῶν γονέων, Τυνδάρεω λέγει καὶ Λήδας. ZYQX

τυνδάρεω ⟨δὲ⟩ Y ||

Γ 141/$Z^s$ αὐτίκα: παραχρῆμα, εὐθέως. ZYQX

Γ 141/$Z^s$ ἀργεννῆιςι: λαμπραῖς, ZYQX | λευκαῖς. ZQX

Γ 141/$Z^s$ καλυψαμένη: σκεπασαμένη. 'ὀθόνηισι' δὲ ὀθόναις· λέγει δὲ ὑφάσμασι λινοῖς. ZYQXI

lemma 'ὀθόνηισι' pro δὲ YQX ||

Γ 142/$Z^s$ ὡρμᾶτο: ὥρμα, ἐξήιει. ZYQX

Γ 142/$Z^s$ ἐκ θαλάμοιο: ἐκ τοῦ κοιτῶνος, ZYQ | ἐκ τοῦ οἴκου (~ Γ 174𝔇). ZQX

Γ 142/$Z^s$ τέρεν: τρυφερόν, ἀντὶ τοῦ ὑγρόν. ZYQX

ἀντὶ τοῦ : ἢ Y ||

Γ 142/$Z^s$ δάκρυ χέουσα: δακρύουσα, κλαίουσα. ZYQX

Γ 143/$Z^s$ οὐκ οἴη: οὐ μόνη. ZYQX

Γ 143/$Z^s$ ἅμα τῆι γε: σὺν αὐτῆι. ZYQX

Γ 143/$Z^s$ ἀμφίπολοι: θεράπαιναι, δουλίδες. ZYQX

Γ 143/$Z^s$ ἕποντο: ἠκολούθουν. Z = B 524𝔇

Γ 144/$Z^s$ Αἴθρη Πιτθῆος: ἑτέρα τῆς Θησέως μητρὸς ἐστὶν αὕτη ἡ Αἴθρα. αἰσχρὸν γὰρ ὑπάρχει θεραπαίνης τρόπωι ἀκολουθεῖν τῆι Ἑλένηι τὴν Αἴθραν ἐκυρὰν νομισθεῖσαν, ὡς ἱστορεῖ Ἑλλάνικος. Πειρίθους καὶ Θησεύς, ὁ μὲν Διὸς ὤν, ὁ δὲ Ποσειδῶνος, συνέθεντο γαμήσειν Διὸς θυγατέρας. καὶ ἁρπάσαντες τὴν Ἑλένην κομιδῆι νέαν παρατίθενται εἰς Ἄφιδναν τῆς Ἀττικῆς Αἴθρηι τῆι Πιτθέως μὲν θυγατρί, μητρὶ δὲ Θησέως, οὕτως εἰς Ἅιδου παραγίνονται ἐπὶ τὴν Περσεφόνην. οἱ δὲ Διόσκουροι μὴ ἀπολαμβάνοντες τὴν ἀδελφήν, τὴν Ἀττικὴν σύμπασαν πορθοῦσιν, Αἴθραν δὲ αἰχμαλωτίζουσιν (FGrHist 4F134 = Fowler 168c). ZYQXAUIG

3 ὡς ⟨γὰρ⟩ QXAU || 4 γαμῆσαι QXAU || 5 νέαν ⟨οὖσαν⟩ Y || ἀφ(ε)ίδαν YX(QU) ⟨πόλιν⟩ Y || 7 σύμπασαν om A ||

Γ 144/$Z^s$ Πιτθῆος: Πιτθέως. ZQX

Γ 144/$Z^s$ Κλυμένη τε βοῶπις: καὶ ἡ Κλυμένη· 'βοῶπις' δὲ ἡ εὐόφθαλμος καὶ καλή. ZYQX

lemma 'βοῶπις' pro δὲ YQX || ἡ et καὶ om Y = A 551𝔇 ||

Γ 145/$Z^s$ αἶψα: ταχέως, συντόμως. ZYQX

Γ 145/$Z^s$ ἵκανον: παρεγένοντο. ZYQX

Γ 145/$Z^s$ ὅθι: ἔνθα, ὅπου. ZYQX

Γ 145/$Z^s$ Σκαιαὶ πύλαι: αἱ τῆς Ἰλίου. αὗται δὲ καὶ Δαρδάνιοι προσηγορεύοντο (~ I 354/Ak), δι' ὧν ἐξήιεσαν εἰς τὸ πεδίον οἱ Τρῶες. ¦ Σκαιαὶ δὲ εἴρηνται ἤτοι ἀπὸ Σκαιοῦ τοῦ κατασκευάσαντος αὐτάς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς καὶ ἀριστεροῖς μέρεσι τῆς πόλεως κεῖνται (cf G). οἱ δὲ φασὶν ὅτι ἀπὸ τοῦ σκαιῶς βουλεύσασθαι τοὺς Τρῶας· τὸν γὰρ δούρειον ἵππον κατὰ ταύτας ἐδέξαντο τὰς πύλας. ZYQXAU$I^m$G ~T, Epim. σ 23

1 αἱ ... προσηγορεύοντο : δαρδανίας αὐτὰς ἐνίοτε φησὶν AT || δαρδάνειοι Q, δαρ Z || 2 σκαιαὶ : σκιαὶ Z || 3-4 αὐτάς et τῆς πόλεως om Y || 4 βουλεύεσθαι A || 5 κατ' αὐτὰς Y || ⟨εἰς⟩ἐδέξαντο Y || πόλας Z ||

Γ 146/$Z^s$ οἱ δ' ἀμφὶ Πρίαμον: οἱ δὲ περὶ τὸν Πρίαμον. ZYQX

Γ 146/$Z^s$ Πάνθοον: Πάνθουν. καὶ τὰ ἑξῆϲ δὲ ὁμοίωϲ τούτοιϲ εἰϲὶν ὀνόματα κύρια. ZYQ(X)

1 ἑξῆϲ δὲ : ἐφεξῆϲ Y ||

Γ 147/$Z^s$ ὄζον Ἄρηοϲ: ἀπόγονον Ἄρεωϲ, πολεμικόν. ZYQX

ἄρεωϲ : ἄρεοϲ Y ||

Γ 148/$Z^s$ πεπνυμένω ἄμφω: ἀμφότεροι φρόνιμοι καὶ ϲυνετοί. ZYQX

Γ 149/$Z^s$ εἵατο: ἐκάθηντο. ZYQX

ἐκαθέζοντο QX ||

Γ 149/$Y^s$ δημογέροντεϲ: οἱ τοῦ δήμου ἔντιμοι παρὰ τὸ γῆραϲ. Y (cf Δ 259𝔇 γερούϲιον· ἔντιμον, κατὰ τιμὴν διδόμενον γέραϲ. B 336𝔇 Γερήνιοϲ· ἔντιμοϲ παρὰ τὸ γέραϲ)

Γ 150/$Z^s$ γήραϊ δή: διὰ γῆραϲ. ZYQX

Γ 150/$Z^s$ ἀγορηταί: δημηγόροι, ϲύμβουλοι. ZYQX

Γ 151/$Z^s$ ἐϲθλοί: ἀγαθοί. ZYQX | καλοί. ZY

Γ 151/$Z^s$ τεττίγεϲϲιν ἐοικότεϲ: τέττιξιν παραπλήϲιοι. Τιθωνοῦ τοῦ Λαομέδοντοϲ, Πριάμου δὲ ἀδελφοῦ, ἠράϲθη ἡ Ἡμέρα, ἐξ οὗπερ ἐποίηϲεν τὸν υἱὸν Μέμνονα. μακρῶι δὲ βίωι δαπανηθέντοϲ ἐκείνου, μετέβαλεν αὐτὸν εἰϲ τέττιγα ἡ θεόϲ. διὸ δὴ αὐτοῦ τοὺϲ ϲυγγενεῖϲ δημογέρονταϲ τέττιξιν εἰκάζει ὁ ποιητήϲ. ἱϲτορεῖ Ἑλλάνικοϲ (FGrHist 4F140 = Fowler). ZYQXAUI$^m$ G cf Λ 1𝔇

1 ὅμοιοι Y || 2 ἀδελφοῦ δὲ τοῦ πριάμου Y || ἡ om Z || 4 τοὺϲ αὐτοῦ Y || ἱϲτορεῖ ἑλλάνικοϲ om X ||

Γ 151/$Z^s$ ἐοικότεϲ: ὅμοιοι. ZYQX

Γ 151/$Z^s$ οἵ τε καθ' ὕλην: οἵτινεϲ κατὰ τὴν ὕλην. ZYQX

Γ 152/$Q^s$ δενδρέωι: δένδρωι. QX

Γ 152/$Z^s$ ἐφεζόμενοι: ἐπικαθεζόμενοι. ZYQX

Γ 152/$Z^s$+$Q^s$ ὄπα: φωνήν. ZYQX | ὅτι οἱ ἄρρενεϲ τῶν τεττίγων ἄιδουϲι. QX~A, EtGu 527,2

Γ 152/$Z^s$ λειριόεϲϲαν: ἐπιθυμητήν, ἡδεῖαν. ZYQX

Γ 152/$Z^s$+$Y^s$ ἱεῖϲιν: ἀφιᾶϲι, ZYQX | πέμπουϲι. YX

ἱᾶϲιν $Y^\lambda$ || ἀφίηϲιν Z ||

Γ 153/$Z^s$ τοῖοι ἄρα: τοιοῦτοι δή. ZYQX

Γ 153/$Z^s$ ἡγήτορεϲ: ἡγεμόνεϲ. ZYQX

Γ 153/$Z^s$ ἧντο: ἐκαθέζοντο. ZYQX

Γ 153/$Z^s$ ἐπὶ πύργωι: ἐπὶ τῶι τείχει. ZYQX

Γ 154/$Z^s$ εἴδονθ': ἐθεάϲαντο. ZYQX

Γ 154/$Z^s$ ἰοῦϲαν: παραγινομένην, ἐρχομένην. ZYQX

Γ 155/$Z^s$ ἦκα: ἠρέμα, ἡϲύχωϲ. ZYQXT

Γ 155/$Z^s$ πρὸϲ ἀλλήλουϲ: πρὸϲ ἑαυτούϲ. 'ἀγόρευον' δὲ ἔλεγον. ZYQX

lemma 'ἀγόρευον δὲ' Z, duo scholia YQX || ἠγόρευον Y ||

Γ 156/$Z^s$ οὐ νέμεϲιϲ: οὐ μέμψιϲ. ZYQX

Γ 157/$Z^s$ τοιῆιδ' ἀμφὶ γυναικί: περὶ τοιαύτηϲ γυναικόϲ. ZYQX

Γ 158/$Z^s$ αἰνῶϲ: νῦν λίαν (~ E), πάνυ. ZYQX, cf A 555𝔇 "δεινῶϲ χαλεπῶϲ".

Γ 158/$Z^s$ θεῆιϲ: θεαῖϲ. ZYQX

Γ 158/$Z^s$ εἰϲ ὦπα: τὴν πρόϲοψιν. ZYQX

Γ 158/$Z^s$ ἔοικεν: ὁμοία ἐϲτίν. ZYQX

Γ 159/$Z^s$ ἀλλὰ καὶ ὥϲ: ἀλλὰ καὶ οὕτωϲ, τοιαύτη εὐειδὴϲ ὑπάρχουϲα. ZYQX

Γ 159/$Z^s$ νεέϲθω: ϲὺν τοῖϲ Ἕλληϲι πορευέϲθω. ZYQX

Γ 160/$Z^s$ τεκέεϲϲί τε: καὶ ¦ τοῖϲ τέκνοιϲ (T$^r$). ZYQ

Γ 160/$Z^s$+$Y^s$ πῆμα: κακόν, ZQ | βλάβη. YQ = Z 282𝔇

Γ 160/$Z^s$ λίπηται (λίποιτο Hom. = $Q^\lambda$): καταλειφθείη. ZYQ = δ 710𝔇

Γ 161/$Z^s$ ὣc ἄρ' ἔφαν: οὕτωc εἶπον. ZYQ
οὕτωc ⟨δὴ⟩ Y = B 265𝔇 ||

Γ 161/$Z^s$ ἐκαλέccατο: ἐκάλεcεν. ZYQ
καλέccατο $YQ^{λ}$ = A 54𝔇 ||

Γ 162/$Z^s$ πάροιθεν: τὸ ἑξῆc ἐcτὶν παρελθοῦcα ZYQ | {ἐν} πρόcω, δεῦρο. ZQ

Γ 162/$Z^s$ φίλον τέκοc: προcφιλέcτατον τέκνον. Z = A 86𝔇 + 202𝔇

Γ 162/$Z^s$ ἵζευ: καθέζου. ZYQ

Γ 163/$Z^s$ ὄφρα ἴδηιc: ὅπωc θεάcηι. ZYQ

Γ 163/$Z^s$ πρότερόν τε πόcιν: τὸν πρότερόν cου ἄνδρα. ZYQ
⟨καὶ⟩ τὸν Y ||

Γ 163/$Z^s$ πηούc τε: καὶ τοὺc κατ' ἐπιγαμίαν cυγγενεῖc. ZYQ cf G

Γ 164/$Z^s$ οὔ τί μοι αἰτίη ἐccί: κατ' οὐθέν μοι αἰτία ὑπάρχειc. ZYQ
οὐδὲν YQ || ὑπάρχηc Z ||

Γ 164/$Z^s$ θεοί νύ μοι: οἱ θεοὶ δή μοι. ZYQ
μοι ⟨αἴτιοι εἰcίν⟩ $Y^{λ}$ || .. μοι ⟨αἴτιοι ὑπάρχ(ουcιν)⟩ Y ||

Γ 165/$Z^s$ οἵ μοι: οἵτινέc μοι. ZYQ

Γ 165/$Z^s$ ἐφώρμηcαν: ἐπελθεῖν καὶ ἐφορμῆcαι ἐποίηcαν. ZYQ
καὶ ἐφορμῆcαι om Y ||

Γ 166/$Z^s$ ὥc μοι: ὅπωc μοι. ZYQ

Γ 166/$Z^s$ πελώριον: μέγιcτον. ZYQ

Γ 166/$Z^s$ ἐξονομήνηιc: ἐξ ὀνόματοc εἴπηιc. ZYQ

Γ 167/$Z^s$ Ἀχαιόc: Ἕλλην. ZYQ

Γ 167/$Z^s$ ἠΰc τε μέγαc τε: πλατύc τε καὶ μέγαc. ZYQ
{τε} καὶ YQ ||

Γ 168/$Z^s$ κεφαλῆι: τῶι εἰc ὕψοc ἀναcτήματι. ZYQ

Γ 168/$Z^s$ μείζονεc: ὑψηλότεροι. ZYQ

Γ 168/$Z^s$ ἔαcιν: εἰcίν, ὑπάρχουcιν. ZYQ

Γ 170/$Z^s$ γεραρόν: ἔντιμον τὴν πρόcοψιν. ZYQ

Γ 170/$Z^s$ ἔοικεν: ὅμοιόc ἐcτιν. ZYQ | ἐζήτηται δὲ πῶc ὁ Πρίαμοc τῶι δεκάτωι ἔτει πυνθάνεται περὶ τῶν ἀρίcτων. ἐπειδὴ πρότερον περὶ τὰc ἀcτυγείτοναc πόλειc ἐπλανῶντο, ὥc που καὶ ὁ ποιητὴc φηcὶν 'κατὰ ληΐδα ὅπηι ἄρξειεν Ἀχιλλεύc' (~ γ 106), νῦν δὲ προcκάθηνται τῆι Ἰλίωι. ἢ ὅτι πρότερον μὲν οὐκ ἦγεν cχολὴν πυθέcθαι περὶ αὐτῶν, τοῦ Ἀχιλλέωc ἰcχυρῶc αὐτοῖc ἐγκειμένου καὶ μόνον ἑαυτὸν αὐτοῖc ἐπιδεικνύντοc καὶ τῶι φόβωι κατακλείcτουc ποιῶν. ἐφρόντιζεν γὰρ τὸ τηνικαῦτα ὁ Πρίαμοc οὐ περὶ τούτων, ἀλλὰ περὶ τοῦ cώζεcθαι τὴν πόλιν, νῦν δὲ μηνιῶντοc ἐκείνου καὶ ἰcορρόπου τῆc μάχηc γεγενημένηc ὡc καὶ τοῦ τείχουc χωρὶc πολεμεῖν τοὺc Τρῶαc εἰκότωc περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δὲ φαcὶν ὅτι ἀπὸ τῆc πανοπλίαc καὶ τῶν ἵππων αὐτοὺc ἐγνώριζον ὡc καὶ Πάνδαροc ἐπὶ τοῦ Διομήδουc λέγει 'ἀcπίδι γιγνώcκων αὐλώπιδί τε τρυφαλείηι' (E 182), πρότερον δὲ οὐ τεθέατο οὕτωc πάνταc ἀόπλουc ὡc νῦν. $ZYQAT^{r}UIG$ (cf Γ $166^{T}$)
2 ἀρίcτων : ἑλλήνων Y || 5 μόνον αὐτοῖc ἑαυτὸν Y || 5 αὐτοῖc om A || 11 οὗτοc A || 12 ἀόπλουc $YQT^{r}$ : ἐνόπλουc ZAU ||

Γ 172/$Z^s$ αἰδοῖοc: αἰδοῦc καὶ τιμῆc ἄξιοc. ZYQI ~ ApS 15,8

Γ 172/$Z^s$ ἐccί: εἶ, ὑπάρχειc. ZYQ

Γ 172/$Z^s$ ἑκυρέ: πενθερέ· ¦ ἑκυρὸc δὲ ἐκαλεῖτο καὶ παρὰ τοῖc ἀρχαίοιc ὁ τοῦ ἀνδρὸc πατήρ (~$T^{r}$). ZYQIG*

Γ 172/$Z^s$ δεινόc τε: καὶ φοβερόc. ZYQ
δεινῶc $Z^{λ}$ || φοβερῶc Z ||

Γ 173/$Z^s$ ὡc ὄφελέν μοι: εἴθε ὤφελέν μοι. ZYQ

Γ 173/$Z^s$ ἁδεῖν: ἀρέσαι. ZYQ = ApS 9,14

ἀδδεῖν Y ||

Γ 173/$Z^s$ ὁππότε: ὅτε. ZYQ

Γ 173/$Z^s$ δεῦρο: ἐνταῦθα. ZYQ

Γ 174/$Z^s$ υἱέϊ σῶι: ἅμα τῶι σῶι παιδί. ZYQ

Γ 174/$Z^s$ ἑπόμην: ἠκολούθησα. ZYQ

Γ 174/$Z^s$ θάλαμον: νῦν τὸν οἶκον, περιφραστικῶς. ZYQ cf Γ 142𝔇 "κοιτῶνος".

Γ 174/$Z^s$ γνωτούς: ἀδελφούς· λέγει δὲ Κάστορα καὶ Πολυδεύκην. ZYQ

δὲ om Z ||

Γ 174/$Z^s$ λιποῦσα: καταλιποῦσα. ZYQ

Γ 175/$Z^s$ παῖδά τε: καὶ τὴν θυγατέρα. λέγει δὲ τὴν Ἑρμιόνην. ὁ δὲ Πορφύριος ἐν τοῖς Ὁμηρικοῖς ζητήμασιν οὕτως φησίν· Ἑλένης τε καὶ Μενελάου ἱστορεῖ Ἀρίαιθος παῖδα Μορράφιον (FGrHist 316F6), ἀφ᾽ οὗ τὸ τῶν Μορραφίων γένος ἐν Πέρσαις. ὡς δὲ Κιναίθων Νικόστρατον (Cinaetho fr. 3 Davies)· παρὰ δὲ Λακεδαιμονίοις Ἑλένης δύο παῖδες τιμῶνται, Νικόστρατος καὶ Αἰθιόλας. ZYQAIG (cf Schrader p. 302,15 annot., Wilamowitz, Hom. Unters. 175 annot.)

3 Ἀρίαιθος Preller sec. Δ 319𝔇 : δίαιθος ZYQ, δίεθ(ος) A (υἱοὺς ... Δίαιθον καὶ Μαράφιον ... Μαραφίων Eust. 400,34, Μαράφιοι Hdt. 1,125,3, Steph. Byz.) || 4 νικόστρατος YA || 5 αἰθίολας ZA ||

Γ 175/$Z^s$ τηλυγέτην: ἀγαπητήν, μονογενῆ. καταχρηστικῶς δὲ εἶπεν· κυρίως γὰρ τηλύγετοι καλοῦνται οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν οἱ ἐκ γεροντικῆς ἡλικίας σπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιίας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι. ZYQA$T^r$U$I^m$G

1 γὰρ : δὲ A || 2 τηλυγέται ZYQA ||

Γ 175/$Z^s$ καὶ ὁμηλικίην ἐρατεινήν: καὶ τὰς ἐπηράστους μου ὁμήλικας. ZYQ

ἐπεράστους ZY ||

Γ 176/$Z^s$ ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο: ἀλλὰ ταῦτα οὐκ ἐγένοντο. ZYQ

Γ 176/$Z^s$ τὸ καὶ κλαίουσα τέτηκα: διόπερ κλαίουσα ¦ ἐκτέτηκα (=$T^r$). ZYQ

τὸ : τῶ $Y^λ$ (= Z 353) ||

Γ 177/$Z^s$ ὅ μ᾽ ἀνείρεαι: ὅ με ἀνερωτᾶις. ZYQ

Γ 177/$Z^s$+$Q^s$ ἠδὲ μεταλλᾶις: καὶ πολυπραγμονεῖς. ZYQ | καὶ ἐπιζητεῖς. Q = K 125𝔇 ($A^r$ ἐρευνᾶις)

Γ 179/$Z^s$ ἀμφότερον: κατὰ ἀμφότερα. ZYQ

Γ 179/$Z^s$ ἀγαθός: ἰσχυρός, γενναῖος. ZYQ

Γ 179/$Z^s$ αἰχμητής: πολεμιστής. ZYQ

Γ 180/$Z^s$+$U^m$ δαήρ: ἀνδρὸς ἀδελφός. ZYQ$I^s$$T^r$ = ApS 56,17 | τούτου δὲ τὸ θηλυκὸν οὐ "δάειρα", ἀλλὰ "γάλως" (=G). διὰ δὲ τοῦ δαέρος λεληθότως τὸν ἄνδρα ὀλοφύρεται. $U^m$*$I^s$=$T^s$

Γ 180/$Z^s$ ἔσκε: ἦν, ὑπῆρχεν. ZYQ

Γ 180/$Z^s$+$Q^s$ κυνώπιδος: ἀναιδεστάτης (~ Θ 423𝔇) ἐμοῦ, Z(Y)Q | ὡς κύων Q.

Γ 180/$Z^s$ εἴ ποτ᾽ ἔην γε: ὅτε ποτὲ ἦν. ZYQ

Γ 181/$Z^s$ ἠγάσσατο: ἐθαύμασεν. 'γέρων' δὲ ἀντὶ τοῦ ὁ Πρίαμος. ZYQ

1 'γέρων' cum δὲ (om ἀντὶ τοῦ) Y, duo scholia Q ||

Γ 181/$Z^s$ φώνησέν τε: καὶ εἶπεν. ZYQ

Γ 182/$Z^s$ ὦ μάκαρ: ὦ μακαριώτατε. ZYQI

Γ 182/$Z^s$ μοιρηγενές: ἀγαθῆι μοίραι γεγενημένε. ZYQ~$A^r$

Γ 182/$Z^s$ ὀλβιόδαιμον: εὐδαιμονέστατε. ZYQI

Γ 183/$Z^s$ ἦ ῥά νύ τοι: εὐλόγως δή σοι. ZYQ

Γ 183/$Z^s$ δεδμήατο: ὑποτεταγμένοι εἰσίν (= $A^r$$T^r$). ἡ μεταφορὰ ἀπὸ τῶν ἀλόγων ζώιων (cf Δ 126𝔇). "δαμάζονται" γὰρ κυρίως ταῦτα. ZYQAIG

Γ 183/$Z^s$ κοῦροι Ἀχαιῶν: περιφραστικῶς οἱ Ἕλληνες. ZY = Γ 82𝔇

υἷες Ἀχαιῶν $Y^λ$ = A 162𝔇 ||

Γ 184/$Z^s$ ἤδη καὶ Φρυγίην εἰςήλυθον ἀμπελόεσσαν: πάλαι γὰρ εἰς τὴν Φρυγίαν παρεγενόμην τὴν πολλὰς ἀμπέλους ἔχουσαν. τοὺς δὲ περὶ Ἀπάμειαν τόπους λέγει· οὗτοι γὰρ πολυάμπελοι ἦσαν, τῆς λοιπῆς Φρυγίας μόνον σιτοφορούσης. ZYQIG

Γ 185/$Z^s$ αἰολοπώλους: ποικίλως ἱππαζομένους, πολεμικούς, ἢ ταχεῖς ἵππους ἔχοντας. ZYQI

Γ 186/$Z^s$ λαοὺς Ὀτρῆος: Ὀτρεὺς καὶ Μύγδων παραδίδονται ἡμῖν παῖδες τοῦ Δύμαντος, ἀδελφοὶ τῆς Ἑκάβης, βασιλεῖς Φρυγίας. $ZYQT^r$~$I^m$

Γ 186/$Z^s$ ἀντιθέοιο: ἰσοθέου. ZY ≃ A 264𝔇

Γ 187/$Z^s$ οἵ ῥα: οἵτινες δή. ZYQ

Γ 187/$Z^s$ ἐστρατόωντο: ἐστρατοπεδεύοντο. ZYQ

Γ 187/$Z^s$ παρ' ὄχθας Σαγγαρίοιο: παρὰ τὰ χείλη (=$U^mT^r$) τοῦ Σαγγαρίου ποταμοῦ· | ὁ δὲ Σαγγάριος ποταμὸς πρότερον μὲν ἦν Φρυγίας, νῦν δὲ Γαλατίας (=$U^m$). ZYQG

2 ἦν om Y || φρυγία Z ||

Γ 188/$Z^s$ καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐών: ὤν, ὑπάρχων. ZYQX

Γ 188/$Z^s$ ἐπίκουρος: ἀπὸ ξένης σύμμαχος καὶ βοηθός. ἐπίκουροι γὰρ λέγονται οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. ZYQIG

Γ 188/$Z^s$ μετὰ τοῖσιν: ἐν τούτοις. ZYQ

Γ 188/$Z^s$ ἐλέχθην: συγκατηριθμήθην, ZYQ | κατετάγην. ZQ

Γ 189/$Z^s$ ἤματι τῶι: ἐν ἐκείνηι τῆι ἡμέραι. ZYQ

Γ 189/$Z^s$ Ἀμάζονες ἀντιάνειραι: αἱ ἴσαι κατὰ δύναμιν ἀνδράσιν, ἢ ἐναντιούμεναι ἀνδράσιν, ἐξ οὗ πολεμικαί (~ ApS 31,16). αἱ δὲ Ἀμάζονες λέγονται εἶναι Ἄρεως καὶ Ἀφροδίτης θυγατέρες, τραφεῖσαι παρὰ Θερμώδοντι ποταμῶι τῆς Σκυθίας· ἐκλήθησαν δὲ οὕτως διὰ τὸ τὸν δεξιὸν μασθὸν ἐκτέμνεσθαι ὡς ἐμποδίζοντα αὐταῖς ἐν τῶι τοξεύειν. ZYQXUG | Μελανίππη καὶ Ἱππολύτη θυγατέρες Ἄρεως, τῶν Ἀμαζονίδων προηγούμεναι τῆς στρατιᾶς. αὗται δὲ πειρώμεναι τὴν Φρυγίαν ὑπ' αὐταῖς ποιῆσαι διὰ τὸ τὴν χώραν ἱπποτρόφον εἶναι καὶ ἀμπελώδη, παντὶ τῶι στρατεύματι παρασκευασθεῖσαι παρέτυχον εἰς τὴν προειρημένην χώραν καὶ στρατόπεδον ἔθεντο πρὸς τὸν Σαγγάριον ποταμόν. τῶν δὲ Φρυγῶν βασιλεῖς ὑπὸ τὸν αὐτὸν χρόνον ἦσαν Μύγδων καὶ Ὀτρεύς, οἵτινες τὴν σφῶν αὐτῶν στρατείαν ἐξήνεγκαν καὶ πρὸς τὸν αὐτὸν τόπον παρεγένοντο τῶν Ἀμαζονίδων πρὸς τὸ κωλῦσαι αὐτὰς μὴ ἐπιβῆναι τοῖς ἑαυτῶν ὅροις. καὶ ὁ Πρίαμος τῆς Τροίας βασιλεὺς ἐστρατεύετο κατὰ Ἀμαζόνων σὺν αὐτοῖς, κατ' ἐκεῖνον ἀκμάζων τὸν καιρόν. $ZYQAUI^mG$ cf T

2 et 5 ἄρεος Y || 3 ἀφροδίτης : ἁρμονίας T || 6 στρατείας A || ὑπ' αὐτὰς A, ὑφ' αὐταῖς Y || 9 τῶ σαγγαρίω ποταμῶ Y || βασιλεῖς om A || 10 προσήνεγκαν Q || 11 τῶν ἀμαζονίδων om Y || 13 ⟨τῶν⟩ ἀμαζόνων YQ || γρ' κατ' ἐκεῖνον τὸν τῶν Ἀμαζόνων καιρόν add. $U^2$ ||

Γ 190/$Z^s$ ἀλλὰ οὐδ' οἵ: ἀλλὰ οὐδὲ οὗτοι. ZYQ

Γ 190/$Z^s$ τόσσοι: τοσοῦτοι. ZYQX

Γ 190/$Z^s$ ὅσοι: ὁπόσοι. ZYQX

ὅσσοι Y = B 249𝔇 ||

Γ 190/$Z^s$+$X^s$ ἑλίκωπες: μελανόφθαλμοι, ZYQX | καλοί. ZQ | ἑλικὸν γὰρ τὸ μέλαν. X = A 389𝔇

μεγαλόφθαλμοι Z ≃ Δ 50𝔇 βοῶπις ||

Γ 191/$Z^s$ ἐρέεινε: ἀνηρώτα. ZYQX

Γ 192/$Z^s$ εἴπ' ἄγε μοι: ἄγε, εἰπέ μοι. ZYQX

Γ 193/$Z^s$ μείων: μικρότερος. ZYQX

Γ 194/$Z^s$ εὐρύτερος: πλατύτερος. ZYQX

Γ 194/$Z^s$ ἰδὲ στέρνοισι: καὶ τοῖς στήθεσι. ZYQX

Γ 194/$Z^s$ ἰδέσθαι: ἐν τῶι ὁρᾶσθαι. ZYQX

Γ 195/Z^s οἱ: αὐτοῦ. ZYQX

Γ 195/Z^s ἐπὶ χθονί: ἐπὶ τῆι γῆι. ZYQX

Γ 195/Z^s πουλυβοτείρηι: πολλοὺς τρεφούσηι. ZYQX

Γ 196/Z^s+Q^s κτίλος ὡς: ὡς πρᾶος καὶ χειροήθης ¦ κριὸς (=T^r) ἀφηγούμενος τῆς ποίμνης. εἴρηται δὲ κτίλος ἀπὸ τοῦ ἄγειν τὰ λοιπὰ θρέμματα, οἱονεὶ ἀκτίλος τις ὤν. ZYQXI(T) ~ G, ApS 104,30 | παρὰ τὸ κίειν. QXIT ~ Epim. κ 47

1 ὡς Z^λ, cf A 162𝔇 : ὥς YQX^λ || 2 ἀκτίλος : κίλος T ||

Γ 196/Z^s ἐπιπωλεῖται: ἐπέρχεται. ZYQX

Γ 196/Z^s στίχας: τὰς στρατιωτικὰς τάξεις. ZYQX

Γ 197/Z^s ἀρνειῶι: κριῶι. διὰ τούτου δὲ ἐπαινεῖ τὸ πρᾶον καὶ ἀτάρακτον αὐτοῦ. ZYQXIG (cf AT τῶι πραϋτάτωι δὲ εἴκασται διὰ τὸ ἀτάραχον)

Γ 197/Z^s ἐΐσκω: ὁμοιῶ, ἀπεικάζω. ZYQXI

Γ 197/Z^s πηγεσιμάλλωι: βαθυμάλλωι, καλὸν ἔριον ἔχοντι· ἢ μέλανι. πηγὸν γὰρ τὸ μέλαν. ZYQX ~ Epim. π 76. T^r εὐπαγεῖς μαλλοὺς ἔχοντι, ApS 131.

Γ 198/Z^s ὀΐων: προβάτων. ZYQX

Γ 198/Z^s πῶϋ: ποίμνιον. ZYQX

Γ 198/Z^s ἀργεννάων: λαμπρῶν, λευκῶν. ἀπὸ δὲ τοῦ πλείονος εἶπεν· οὐ γὰρ πάντα τὰ πρόβατα λευκά εἰσιν. ZYQI^mG

1 ⟨ἢ⟩ λευκῶν YQ ||

Γ 199/Z^s ἐκγεγαυῖα: ἡ ἐκ τοῦ Διὸς γεννηθεῖσα. ZYQX

⟨διὸς⟩ ἐκγεγαυῖα YQX^λ ||

Γ 200/Z^s οὗτος δ' αὖ: οὗτος δὲ πάλιν. ZYQX

Γ 200/Z^s πολύμητις: πολύβουλος, συνετός. ZYQX

Γ 201/Z^s ὃς τράφη: ὅστις ἀνετράφη. ZYQX

Γ 201/Z^s ἐν δήμωι Ἰθάκης: περιφραστικῶς ἐν τῆι Ἰθάκηι. ἔστι δὲ νῆσος τῆς Κεφαλληνίας. καὶ τόπος δέ ἐστιν ἐν Ἰθάκηι κυρίως Δῆμος λεγόμενος· ὁτὲ δὲ ἡ λέξις δηλοῖ τὸ πολὺ σύστημα καὶ πλῆθος τῶν ἀνδρῶν. ZYQ(X)AU^mI^mG cf B 547𝔇 "ὄχλον".

2 κυρίως om A || καλούμενος A || ὁτὲ I : ὅτε ZYQA ut semper || 3 ἀνδρῶν : ἑλλήνων Y ||

Γ 201/Z^s κραναῆς περ ἐούσης: καίτοι τραχείας ὑπαρχούσης. ZYQX

Γ 202/Z^s εἰδώς: ἐπιστάμενος, ἔμπειρος ὤν. ZYQX

Γ 202/Z^s παντοίους: παντοδαπούς. ZYQX

Γ 202/Z^s μήδεα: βουλεύματα. ZYQX, Epim. μ 6

Γ 202/Z^s πυκνά: πολλά, συνετά. ZYQX

Γ 203/Z^s τὴν δ' αὖτε: ταύτην δὲ δή. ZYQX

Γ 203/Z^s πεπνυμένος: συνετός. Z = H 347𝔇

Γ 204/Z^s ἦ μάλα: πάνυ δή. ZYQX

Γ 204/Z^s νημερτές: ἀληθές. ZYQX

Γ 205/Z^s ἤλυθε: ἦλθε, παρεγένετο. ZYQX

Γ 206/Z^s σεῦ ἕνεκα: σοῦ ἕνεκα, σοῦ χάριν. πρὸ γὰρ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος ἀπαιτοῦντες Ἑλένην· ἐν οἷς τῶν ἄλλων αὐτοὺς μεθ' ὕβρεως διωξάντων μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως. ZYQXAU^mI^mG

σευ εἵνεκα Y^λ ≃ B 161𝔇 ||

Γ 206/Z^s ἀγγελίης: πρεσβευτής, ἄγγελος. ἡ διάλεκτος Ἰάς. ZYQX

ἀγγελίην· πρεσβευτήν, ἄγγελον YQX ~ Λ 140𝔇 καὶ τὸν ἄγγελον ἤτοι τὸν πρέσβιν ||

Γ 207/Z^s ξείνισα (ἐξείνισσα Hom.): ἐξενοδόχησα. ZYQX

ξείνισσα Q^λ ||

Γ 207/$Z^s$ ἐνιμμεγάροιc: ἐν τοῖc ἐμοῖc οἴκοιc. 'φίληcα' δὲ μετὰ φιλοφροcύνηc ἀπεδεξάμην. ZYQX

ἐνιμμεγάροιc $Z^λ$ : ἐν μεγάροιcι Hom., ἐνὶ μεγάροιc Q, ἐνὶ μεγάροιcιν YX = A 396𝔇 || 1 ἐμοῖc om Y || lemma 'φίληcα' pro δὲ YQX ||

Γ 208/$Z^s$ φυήν: τὴν φύcιν. ZYQX

Γ 208/$Z^s$ ἐδάην: ἔμαθον. ZYQX

Γ 209/$Z^s$ ἀγρομένοιcιν: ἀθροιζομένοιc. ZYQX

Γ 209/$Z^s$ ἔμιχθεν: ἐμίγηcαν. ZYQX

Γ 210/$Z^s$ cτάντων μέν: ἱcταμένων ὀρθῶν. ZYQX

Γ 210/$Z^s$ ὑπείρεχεν: ὑπερεῖχεν, μακρότεροc ἦν. ZYQX

Γ 210/$Z^s$ εὐρέαc: πλατεῖc, μεγάλουc· διὰ τούτου δηλοῖ περὶ τὴν διάπλαcιν ὄντα ἀνάκωλον τὸν Μενέλαον. ZYQXG

Γ 211/$Z^s$ ἄμφω δέ: ἀμφότεροι δέ, τουτέcτιν ἀμφοτέρων δὲ ὁμοῦ καθεcθέντων. ZYQ(X), ~ Ak ὅτι ...

Γ 211/$Z^s$ γεραρώτεροc: ἐντιμότεροc πρὸc ὄψιν. ZYQX

ἔντιμοc τὴν ὄψιν Y ||

Γ 211/$Z^s$ ἦεν: ἦν, ὑπῆρχεν. ZYQX

Γ 212/$Z^s$ ὕφαινον: φανερὰ ἐποίουν, ἔλεγον. ZYQX cf ι 145𝔇 προὔφαινεν· ἔφαινεν

ἔφαινον $Z^λ$ = δ 12 ||

Γ 213/$Z^s$ ἐπιτροχάδην: cυντόμωc (=$A^{ti}$, Epim.), ἐcπευcμένωc, ἐν βραχεῖ. βραχύλογοι γὰρ οἱ Λάκωνεc αἰεί. δηλοῖ δὲ εὐφυέcτερον ὡc ἀπὸ μὲν Μενελάου τὸν παρὰ τοῖc ῥήτορcι καλούμενον ἄνετον τρόπον, ἀπὸ δὲ Ὀδυccέωc τὸν cύντονον· ἐπ' ἐκείνου μὲν γὰρ εἶπεν 'παῦρα μέν', ἐπὶ δὲ Ὀδυccέωc προcέθηκεν τὸ 'καὶ ἔπεα νιφάδεccιν ἐοικότα', τουτέcτιν πυκνὰ καὶ πολλά. ZYQAU*$I^m$G cf Γ 212$^T$

1 ἐcπευμένωc Z || ἐν βραχεῖ om Q || 2 μὲν om YQAU || 3 τρόπον : τόπον A || cύντονον Q (= 222𝔇) : cύντομον ZYAU ex l.1, cf E 9/$Q^s$ ||

Γ 213/$Z^s$ ἀγόρευεν: ἔλεγεν. ZYQX

ἀγόρευον· ἔλεγον Y = Γ 155𝔇 ||

Γ 214/$Z^s$ παῦρα μέν: ὀλίγα μέν. ZYQX

Γ 214/$Z^s$+Q λιγέωc: ἡδέωc. ZYQX | ὀξέωc (= Ψ 218𝔇). QX

Γ 214/$Z^s$ ἐπεὶ οὐ πολύμυθοc: ἐπεὶ οὐκ ἦν πολλοῖc λόγοιc χρώμενοc. ZYQX

Γ 215/$Z^s$ οὐδ' ἀφαμαρτοεπήc: οὐδὲ ἀποτυγχάνων τοῦ cκοποῦ τῶν λόγων. ZYQX

ἀμφαμαρτρεπήc $Z^λ$ ||

Γ 215/$Z^s$ γένει: τῆι ἡλικίαι. ZYQX$T^r$

Γ 215/$Z^s$ ὕcτεροc: νεώτεροc (=$T^r$) ἦν. ZYQX

Γ 216/$Z^s$ ἀλλ' ὅτε δή: ὅτε δέ. ZYQX

δέ $ZY^λ$ ||

Γ 216/$Z^s$ ἀναΐξειεν: ἀνορμήcειεν. ZYQX | ἀναcτῆι. ZQX

Γ 217/$Z^s$ cτάcκεν: εἱcτήκει. ZYQX. $T^r$ ἵcτατο.

Γ 217/$Z^s$ ὑπαὶ δὲ ἴδεcκεν: ὑπ' αἰδοῦc δὲ εἰc γῆν ἔβλεπεν. ZYQX. $T^r$ ὑπέβλεπεν.

Γ 217/$Z^s$ κατὰ χθονόc: κατὰ τῆc γῆc. ZYQX

Γ 217/$Z^s$ ὄμματα: ὀφθαλμούc. ZYQX

Γ 217/$Z^s$ πήξαc: ἐρείcαc. ZYQX

ἐρίcαc Z ||

Γ 218/$Z^s$ cκῆπτρον: cημειωτέον ὅτι ἕκαcτοc τῶν ἡγεμόνων cκῆπτρον εἶχεν ἴδιον, ὡc καὶ Ἀχιλλεὺc ἐν τῆι A (234) ὄμνυcιν κατ' αὐτοῦ. ZYQX$A^{ts}U^mI^sGT^r$

Γ 218/$Z^s$ προπρηνέc: εἰc τοὔμπροcθεν. ZYQX$T^r$

Γ 218/$Z^s$ ἐνώμα: ἐκίνει. ZYQX

Γ 219/$Z^s$ ἀcτεμφέc: ἀcφαλὲc καὶ ἀμετακίνητον. ZYQX ~ Ak ὅτι ...

Γ 219/$Z^s$ ἔχεσκεν: εἶχεν. ZYQX

Γ 219/$Z^s$ ἀίδρεϊ: ἀπείρωι (~ ApS 18,13)· ἀπειρίαν λόγων προσποιούμενος ἕνεκα τοῦ μὴ ἀπάτης ὑπόνοιαν ἐμποιῆσαι τοῖς Τρωσίν. ZYQXI

ἀϊδρι $Z^{\lambda}$ || 1 λόγω Z ||

Γ 219/$Z^s$ φωτί: ἀνδρί. ZYQX

Γ 219/$Z^s$ ἐοικώς: ὅμοιος ὤν. ZYQX

Γ 220/$Z^s$ φαίης κεν: εἶπες ἄν, ἢ ὑπέλαβες. ZYQX

Γ 220/$Z^s$ ζάκοτον: πάνυ ὀργίλον. ZYQX$T^r$ ($A^r$ ἄγαν ὀργίλον)

Γ 220/$Z^s$ ἔμμεναι: εἶναι, ZYQX | ὑπάρχειν. QX = B 783𝔇

Γ 220/$Z^s$ αὔτως: ὡσαύτως, ὁμοίως. ZYQX

Γ 221/$Z^s$ ὄπα: φωνήν. ZYQX

Γ 221/$Z^s$ ἐκ στήθεος: ἀπὸ τοῦ στήθους. ZYQX

Γ 221/$Z^s$ ἵει: ἀφίει, ἀπέπεμπεν. ZYQX

Γ 222/$Z^s$ καὶ ἔπεα νιφάδεσσι: καὶ λόγους πολλοὺς καὶ πυκνούς. τὴν γὰρ συνεχῆ καὶ σύντονον φράσιν τοῦ Ὀδυσσέως νιφάδων βολῆι εἰκάζει διὰ τὸ πυκνὸν αὐτῶν· ὁ δὲ τρόπος μεταφορά. ZYQX$U^mI^m$+$I^s$

1 λόγους QX : τοὺς ZY ||

Γ 222/$Z^s$ χειμερίῃσιν: χειμεριναῖς. ZYQX

Γ 223/$Z^s$ ἐρίσσειεν: φιλονεικήσειεν, ἐξισωθείη. ZYQX

ερίσειεν $Z^{\lambda}$ ||

Γ 223/$Z^s$ βροτός: ἄνθρωπος. ZYQX

Γ 224/$Z^s$ οὐ τότε γ' ὧδε Ὀδυσῆος ἀγασσάμεθ' εἶδος ἰδόντες: οὐχ οὕτως τότε τοῦ Ὀδυσσέως ἐθαυμάσαμεν τὸ εἶδος, ὡς τοὺς λόγους (=G). ἔστι γὰρ σχῆμα· ἀπὸ γὰρ τοῦ ἑνικοῦ (scil. φαίης κεν 220) μετῆλθεν εἰς τὸ πληθυντικόν. ZYQX

οὐ τότ' ἐγὼ δ' οδυσσῆος $Z^{\lambda}$, οὐ τό γ' ὧδ' ὀδυσσῆος $Y^{\lambda}$ || ἀγασσάμεθα $Z^{\lambda}$ || 2 ἔστι δὲ Y ||

Γ 225/$Z^s$ τὸ τρίτον αὖτε: τὸ τρίτον δὲ δή. ZYQX

Γ 226/$Z^s$ ἠΰς: πλατύς, μέγας, ἀφ' οὗ γενναῖος. ZYQX

Γ 227/$Z^s$ ἔξοχος: ἐξοχώτατος καὶ ὑπερέχων. ZYQX

Γ 228/$Z^s$ τανύπεπλος: περιτεταμένον ἔχουσα τὸν πέπλον (=G) ἕως ἄκρων ποδῶν καθειμένον, μέγαν. πέπλος δὲ κυρίως τὸ γυναικεῖον ἱμάτιον, ZYQI~G | χιτὼν δὲ τὸ ἀνδρεῖον. ZQX$U^m$IG

2 καθικνούμενον Y, καθειμένον ⟨καὶ καθικνούμενον⟩ QX ||

Γ 229/$Z^s$ πελώριος: μέγας. ZYQX

Γ 229/$Z^s$ ἕρκος Ἀχαιῶν: τὸ περίφραγμα καὶ τεῖχος τῶν Ἑλλήνων. ZYQX

Γ 230/$Z^s$ ἑτέρωθεν: ἐκ τοῦ ἑτέρου μέρους. ZYQX

Γ 230/$Z^s$ θεὸς ὥς: ὡς θεός· ἀναστροφὴ ὁ τρόπος. ZYQX

τρόπος : λο(γος) Z ||

Γ 230/$Z^s$ ἐν Κρήτεσσι: ἐν τοῖς Κρησίν. ZYQX

Γ 231/$Z^s$ ἀμφὶ δέ μιν: περὶ αὐτὸν δέ. ZYQX

Γ 231/$Z^s$ Κρητῶν ἀγοί: οἱ τῶν Κρητῶν ἡγεμόνες, παρὰ τὸ ἄγειν τοὺς ὑποτεταγμένους. ZYQXI

Γ 231/$Z^s$ ἠγερέθοντο: περὶ αὐτὸν ἠθροίζοντο. ZYQX

ἠγερέθονται / ἠγερέθοντο (= B 304𝔇) vv.ll. Hom. ||

Γ 232/$Z^s$ πολλάκι μιν ξείνισσεν: ἐκ τούτου καὶ τοὺς λοιποὺς Ἕλληνας ἐπεγίνωσκεν ἡ Ἑλένη, ἐκ τοῦ ξενίζεσθαι αὐτοὺς παρὰ τῶι Μενελάωι. ZYQXIG

ξείνισεν $Z^{\lambda}$ = Z 217𝔇 ||

Γ 233/$Z^s$ οἴκωι ἐν ἡμετέρωι: ἐν τῆι Σπάρτηι. ZYQX

Γ 233/$Z^s$ Κρήτηθεν: ἀπὸ τῆς Κρήτης. ZYQX

Γ 233/$Z^s$ ἵκοιτο : παρεγένετο. ZYQX

Γ 234/$Z^s$ νῦν: ἐπὶ τοῦ παρόντος· ἔςτιν δὲ ἐπίρρημα χρόνου δηλωτικόν. ZYQX

Γ 235/$Z^s$ οὕς κεν: οὕςτινας ἄν. ZYQX

Γ 235/$Z^s$ ἐὺ γνοίην: ἀκριβῶς γνωρίςαιμι. ZYQX

Γ 235/$Z^s$ μυθηςαίμην: εἴποιμι. ZYQX

Γ 236/$Y^s$ ἰδέειν: θεάςαςθαι. YQXI

Γ 237/$Z^s$ ἱππόδαμον: ἵππους δαμάζοντα, πολεμικόν. ZYQX

Γ 237/$Z^s$+$Q^s$ πὺξ ἀγαθόν: ἐν πυγμῆι ἀνδρεῖον καὶ γενναῖον. οὗτος γὰρ καὶ τὸν ἀφόρητον πύκτην Ἄμυκον ἀναιρεῖ, ὡς Ἀπολλώνιός φηςιν ἐν δευτέρωι Ἀργοναυτικῶν (2, 94). ZYQXAIG | ἐζήτηται πῶς τοὺς ἀδελφοὺς πρῶτον οὐκ ἐπιζητεῖ ἡ Ἑλένη· ῥητέον δὲ ὅτι ἴςως μὲν ἐπεζήτηςεν, εὐχερῶς δέ, ὅτε ἔγραφεν, Ὅμηρος ἐπεμνήςθη. QXAUI$^{m}$G ~ Porph. 59, 31

3 ἐπεζήτει A ||

Γ 238/$Z^s$ αὐτοκαςιγνήτω: τοὺς ἐξ ἀμφοτέρων τῶν γονέων γνηςίους μοι ἀδελφούς· καςίγνητοι γὰρ λέγονται οἱ καθ᾽ ἕτερον τῶν γονέων ἀδελφοί. ZYQXG

2 ἑτέρων Y ||

Γ 238/$Z^s$ τώ μοι: οὕςτινάς μοι. ZYQX

Γ 238/$Z^s$ γείνατο: ἐγέννηςεν. ZYQX

Γ 239/$Z^s$ οὐχ ἑπέςθην (~ E 551): ἢ οὐκ ἐπηκολούθηςαν τοῖς Ἕλληςιν. ZYQX

οὐκ $Z^{\lambda}$ || ἑςπέςθην Hom. = $L^{\lambda}$ || 1 ἢ om YQX ||

Γ 240/$Z^s$ δεῦρο: ἐνθάδε. ZYQX

Γ 240/$Z^s$ ἕποντο: ἠκολούθηςαν. ZYQX

ἕπον $Z^{\lambda}$ ||

Γ 240/$Z^s$ νέεςς᾽ ἔνι: ἐν ταῖς ναυςί. ZYQX

Γ 240/$Z^s$ ποντοπόροιςι: θαλαςςοπλόοις. ZYQX

Γ 241/$Z^s$ νῦν αὖτε: νῦν δὲ δή. 'πόνον' (μάχην Hom.) δὲ 'ἀνδρῶν' φηςιν περιφραςτικῶς τὸν πόλεμον (~ N 239𝔇). ZYQX

1 lemma 'πόνον ἀνδρῶν' pro δὲ et φηςιν Y || ἀνδρῶν φηςιν om QX ||

Γ 241/$Z^s$ καταδύμεναι: κατελθεῖν. ZY

Γ 242/$Z^s$ αἴςχεα: αἰςχύνας, ὕβρεις. Ἑλένη ἁρπαςθεῖςα ὑπὸ Ἀλεξάνδρου, ἀγνοοῦςα τὸ ςυμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοςκούροις κακόν, ὑπολαμβάνει δι᾽ αἰςχύνην αὐτῆς μὴ πεπορεῦςθαι τούτους εἰς Ἴλιον, ἐπειδὴ πρότερον ὑπὸ Θηςέως ἡρπάςθη, καθὼς προείρηται (Γ 144𝔇). διὰ γὰρ τὴν τότε γενομένην ἁρπαγὴν Ἄφιδνα πόλις Ἀττικῆς πορθεῖται καὶ τιτρώςκεται Κάςτωρ ὑπὸ Φίδνου τοῦ τότε βαςιλέως κατὰ τὸν δεξιὸν μηρόν· οἱ δὲ Διόςκουροι Θηςέως μὴ τυχόντες λαφυραγωγοῦςιν τὰς Ἀθήνας. (=G) | ἡ ἱςτορία παρὰ τοῖς Πολεμωνίοις (fr. 10* Preller cum pp. 15-18) ἢ τοῖς Κυκλικοῖς (Cypria fr. 12 Davies) καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι τῶι λυρικῶι (PMG 21). ZYQXAUI

1 ἁρπαγεῖςα UG || ἀλεξάνδρου : μενελάου Y || 2 ὑπελάμβανε Y, ὑπολαμβάνειν A || 3 πορεύεςθαι Y || ⟨καὶ⟩ πρότερον Y, προτέρως A || 4 γινομένην A || 5 πορθῆται Z || 7 ἀθήνας (cf Γ 144𝔇 Ἀττικὴν) : Ἀφύδνας L || 7-8 ἢ τοῖς : ἤτοι QXU ||

Γ 242/$Z^s$ πόλλ᾽ ἅ μοι ἐςτίν: ἀντὶ τοῦ τὰ πολλὰ ἐκεῖνα ¦ ἃ δι᾽ ἐμὲ αὐτοῖς ἐςτιν (=$T^r$). ZYQXI

Γ 243/$Z^s$ ὣς φάτο, τοὺς δ᾽ ἤδη κάτεχεν: οὗτοι δὲ φηςὶν ἦςαν μεταςτάντες ἐξ ἀνθρώπων καὶ ὑπὸ γῆς διετέλουν ὁτὲ μὲν ζῶντες ὁτὲ δὲ τεθνηκότες κατ᾽ αὐτὸν τὸν ποιητὴν λέγοντα 'ἄλλοτε μὲν ζώους' ἑτερήμεροι ἄλλοτε δ᾽ αὖτε / τεθνᾶςιν, τιμὴν δὲ λελόγχαςιν ἶςα θεοῖςι' (λ 303-4). ZYQXAUIG | 'φυςίζοος' δὲ ἤτοι ἡ τὰ πρὸς τὸ ζῆν φύουςα καὶ δωρουμένη, ἢ ὅτι τῶι ὄντι λέγεται χώρα ἐν Λακεδαίμονι οὕτως φυςίζοος, ἐπεὶ ἐκεῖ δοκοῦςιν οἱ Διόςκουροι καταποθέντες πάλιν ἀναδοθῆναι. ZQXAUI$^{m}$G

2 ὁτὲ[1] et ὁτὲ[2] X : ὅτε ZYQAUI ut semper || κατὰ {αὐτὸν} Y || 3 δ᾽ αὖτε : δὲ A || 4 duo scholia QX ||

Γ 243/$Z^s$ ὣς φάτο, τοὺς δ' ἤδη κάτεχεν: Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως παῖδες γάμους θύοντες τῶν Λευκίππου θυγατέρων Φοίβης καὶ Ἱλαείρας ἐκάλεσαν τοὺς Διοσκούρους συγγενεῖς ὄντας· ὁ γὰρ Τυνδάρεως Ἀφάρεως ἀδελφὸς ἦν. λέγεται δὲ τοὺς Διοσκούρους ἐξαρπάσαι τὰς κόρας ἔτι παρθένους οὔσας. μαχομένων δ' αὐτῶν περὶ τοῦ γάμου καρτερῶς ἀναιρεῖται Κάστωρ, ὅθεν ὁ Ζεὺς ὀργισθεὶς κεραυνῶι βάλλει τὸν Ἴδαν, παραμυθεῖται δὲ Πολυδεύκην καὶ τίθεται αὐτῶι αἵρεσιν, πότερον θέλει ἀθάνατος εἶναι, ἢ σὺν τῶι ἀδελφῶι ἓξ μῆνας τελευτᾶν καὶ τοὺς ἴσους ζῆν. ὁ δὲ μᾶλλον αἱρεῖται μετὰ Κάστορος ἀποθανεῖν καὶ ζῆν. ἡ ἱστορία παρὰ Πινδάρωι (N. 10, 55-90) ZYQXAUIG

6 αὐτῶι : αὐτῆι ZA || 8-9 ἱστορεῖ πίνδαρος Y ||

Γ 243/$Z^s$ αἶα: ἡ γῆ. ZYQX

Γ 244/$Z^s$ αὖθι: αὐτόθι. ZYQX

Γ 244/$Z^s$ φίληι ἐν πατρίδι γαίηι: ἐν τῆι προσφιλεστάτηι πατρικῆι αὐτῶν γῆι. ZYQX

Γ 245/$Z^s$ ἀνὰ ἄστυ: κατὰ τὴν πόλιν. ZYQX

κατὰ : ἀνὰ Y ||

Γ 245/$Z^s$ ὅρκια πιστά: τοὺς πιστοὺς ὅρκους τῶν θεῶν. ZYQX

Γ 246/$Z^s$ ἄρνε δύω: δύο ἄρνας. ZYQX

Γ 246/$Z^s$ καὶ οἶνον ἐύφρονα: τὸν εὖ τὰς φρένας διατιθέντα, τὸν εὐφραντικόν. ZYQ. $T^r$ τὸν εὐφραίνοντα.

⟨καὶ⟩ τὸν εὖ τὰς φρένας διατιθέντα ⟨οἶνον⟩ YQ ||

Γ 246/$Z^s$ καρπὸν ἀρούρης: τῆς γῆς, παρὰ τὸ ἀροτριᾶσθαι αὐτήν. ZYQ(X)

Γ 247/$Z^s$ ἀσκῶι ἐν αἰγείωι: ἐν αἰγείωι ἀσκῶι. ZYQ

Γ 247/$Z^s$ φέρεν: ἔφερεν, ἐκόμιζεν. ZYQX

Γ 247/$Z^s$ κρητῆρα: κρατῆρα. ZYQX

Γ 247/$Z^s$ φαεινόν: ἀργυροῦν, λαμπρόν. ZYQX

Γ 248/$Z^s$ ἠδὲ χρύσεια κύπελλα: καὶ χρυσᾶ ποτήρια περιφερῆ. ZYQXI (cf A 584𝔇 ἀμφικύπελλον· ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές)

Γ 249/$Z^s$ ὄτρυνεν δέ: ἐσπούδασεν δέ, παρώρμα. ZYQX

Γ 249/$Z^s$ παριστάμενος: παραστάς. ZYQX

Γ 250/$Z^s$ ὄρσεο: διεγείρου, ἀνάστα. Z Δ 204𝔇

Γ 250/$Z^s$ Λαομεδοντιάδη: Λαομέδοντος παῖ Πρίαμε. μήτηρ δὲ Πριάμου, ὥς φησι Πορφύριος ἐν τῶι Περὶ τῶν παραλελειμμένων τῶι ποιητῆι ὀνομάτων (384 F Smith; cf Erbse, Beiträge 73ss), κατὰ μὲν Ἀλκμᾶνα τὸν μελοποιὸν Ζευξίππη (PMG 71), κατὰ δὲ Ἑλλάνικον Στρυμώ (FGrHist 4 F 139). ZYQA$U^m$I | Σκάμων δὲ ἐν τῶι περὶ Λέσβου φησὶν Θόωσαν τὴν Τεύκρου (FGrHist 476 F 1). ZYQ$U^m$IG

3 μὲν om A || 4 στάμων Z ||

Γ 250/$U^m$ ⌊Λαομεδοντιάδη⌋ τελεία ἐστὶ μετὰ τὴν προσαγόρευσιν. $U^m$=$G^s$, ~$T^s$$A^t$:Ni

Γ 250/$Z^s$ καλέουσιν: καλοῦσιν. ZYQX

Γ 252/$Z^s$ καταβήμεναι: κατελθεῖν. ἐφ' ὕψους γάρ ἐστιν ἡ πόλις. ZYQX

ἐστιν: ἦν Y ||

Γ 252/$Z^s$ ἵνα: ὅπου. Z = B 604𝔇

Γ 254/$Z^s$ μακρῆις ἐγχείηισιν: τοῖς μακροῖς δόρασιν. ZYQX

Γ 254/$Z^s$ μαχήσονται: μαχοῦνται. ZYQX

Γ 254/$Z^s$ ἀμφὶ γυναικί: περὶ τῆς γυναικός. ZYQX

Γ 255/$Z^s$ ἕποιτο: ἀκολουθήσει. Z ≃ 314𝔇 "ἠκολούθει".

Γ 257/$Z^s$ ναίοιμεν: κατοικοῖμεν. Z ≃ Γ 74𝔇

Γ 257/$Z^s$ τοὶ δὲ νέονται: οὗτοι δὲ παραγενήσονται. Z ~ Σ 101𝔇

Γ 258/$Z^s$ Ἄργος ἐς: εἰς τὴν Πελοπόννησον. Z = Γ 75𝔇 + B 559𝔇

Γ 259/$Z^s$ ῥίγησεν: ἐφοβήθη. ZYQX

Γ 259/$Z^s$ ἐκέλευcεν: προcέταξεν. ZYQX

κέλευcε $Y^λ$ = B 50𝔇 ||

Γ 260/$Z^s$ ζευγνύμεναι: ζευγνύειν, ὑπὸ ζυγὸν ἄγειν. ZYQX

Γ 260/$Z^s$ ὀτραλέωc: cπουδαίωc, ταχέωc. ZYQX

Γ 260/$Z^s$ ἐπίθοντο: ἐπείcθηcαν. Z ≃ E 201𝔇

Γ 261/$Z^s$ ἂν δ' ἄρ ἔβη: ἀνέβη δέ. ZYQX

Γ 261/$Z^s$ κατὰ δ' ἡνία τεῖνεν ὀπίccω: κατέτεινεν δὲ τὰc ἡνίαc ἐπὶ τὰ ὀπίcω. ZYQX

Γ 262/$Z^s$ πὰρ δέ οἱ: παρ' αὐτὸν δέ. ZYQX. $T^r$ αὐτῶι.

Γ 262/$Z^s$ περικαλλέα: πάνυ καλόν. ZYQX

Γ 262/$Z^s$ βήcατο: ἐπέβη, ἀνῆλθεν. ZYQX

Γ 262/$Z^s$ δίφρον: τὸ ἅρμα. δίφροc δὲ εἴρηται ὅτι δίφορόν ἐcτιν· δύο γὰρ φέρει, τόν τε ὁπλίτην καὶ τὸν ἡνίοχον. ZYQXI ~ G, Epim. δ 32

1 {δίφροc δὲ} εἴρηται δὲ παρὰ τὸ β' φέρειν Y || δίφορόν : δίφρον Z ||

Γ 263/$Z^s$ τὼ δέ: οὗτοι δέ. ZYQX$T^r$

Γ 263/$Z^s$ πεδίον δέ: εἰc τὸ πεδίον. ZYQX

Γ 263/$Z^s$ ἔχον: ἤλαυνον. ZYQX

Γ 263/$Z^s$ ὠκέαc: ταχεῖc. ZYQX

Γ 264/$Z^s$ ἵκοντο: παρεγένοντο. ZYQX

Γ 264/$Z^s$ μετὰ Τρῶαc: ἐπὶ τοὺc Τρῶαc. ZYQX

Γ 267/$Z^s$ ὤρνυτο: διηγέρθη, ἀνέcτη. ZYQX

Γ 268/$Z^s$ ἂν δ' Ὀδυcεὺc πολύμητιc: ἀνέcτη δὲ καὶ ὁ πολύβουλοc καὶ cυνετὸc Ὀδυccεύc. ZYQX

Γ 268/$Z^s$ ἀτὰρ κήρυκεc: καὶ οἱ κήρυκεc. ZYQX

Γ 268/$Z^s$ ἀγαυοί: νῦν θαυμαcτοὶ ZYQX | καὶ καλοί. Z(Y) cf E 277𝔇 "ἀγαθοῦ, λαμπροῦ", K 563𝔇 "νῦν ἐν εἰρωνείαc μέρει κεῖται".

Γ 269/$Z^s$ ὅρκια: τὰ πρὸc τοὺc ὅρκουc. ZYQX | ἔcτι δὲ μεταπλαcμὸc ὁ τρόποc. ZY

Γ 269/$Z^s$ cύναγον: cυνῆγον, cυνέφερον. ZYQX

Γ 269/$Z^s$ κρητῆρι δὲ οἶνον μίcγον: ἀνεμίγνυον δὲ εἰc τὸν κρατῆρα ¦ τὸν ἐξ ἀμφοτέρων τῶν μερῶν κεκομιcμένον (~$T^r$) οἶνον. ZYQX

Γ 270/$Z^s$ ἀτὰρ βαcιλεῦcιν: καὶ τοῖc βαcιλεῦcι. ZYQX

Γ 270/$Z^s$ ἔχευαν: ἐπέχεαν, ἐπέβαλλον. ZYQX

ἔχευαν $Z^λ$ / ἔχευον $YQX^λ$ = vv.ll. Hom. || ἐπέχεον QX || ἐπέβαλον Y ||

Γ 271/$Z^s$ ἐρυccάμενοc: cπαcάμενοc. ZYQX

Γ 271/$Z^s$ μάχαιραν: νῦν τὸ παρὰ τὸ ξίφοc μικρὸν μαχαίριον λέγει. ZYQX

Γ 272/$Z^s$ ἥ οἱ: ἥτιc αὐτῶι. ZYQX

Γ 272/$Z^s$ πὰρ ξίφεοc μέγα κουλεόν: παρὰ τὴν τοῦ ξίφουc θήκην. ZYQX

Γ 272/$Z^s$ αἰὲν ἄωρτο: διὰ παντὸc ¦ ἀπεκρέματο (=$T^r$). ZYQX

Γ 273/$Z^s$ ἀρνῶν ἐκ κεφαλέων τάμνεν τρίχαc: ἀπέτεμνεν τῶν ἀρνῶν τοὺc κορυφαίουc μαλλούc. ZYQXI$T^r$

Γ 274/$Z^s$ νεῖμαν: ἔνειμαν, διέδωκαν. ZYQX

Γ 275/$Z^s$ μεγάλ' εὔχετο: μεγάλωc ηὔχετο. ZYQX

Γ 275/$Z^s$ χεῖραc ἀναcχών: τὰc χεῖραc ἀνατείναc. ZYQX

Γ 276/$Z^s$ Ἴδηθεν μεδέων: τῆc Ἴδηc (= $A^t$) βαcιλεύων, ἢ ἐξ Ἴδηc, ὥc τινεc (= Δ 475𝔇)· τὸ γὰρ θεν μόριον ἤτοι παρέλκεται, ἢ ἀντὶ τῆc ἐξ προθέcεωc λαμβάνεται. ZYQ(X) $U^m$*IG*

Γ 277/$Z^s$ Ἠέλιόc τε: ἀντὶ τοῦ "καὶ cὺ ὦ Ἥλιε" (~ Ak ὅτι ...). ἔcτι δὲ τὸ cχῆμα παρὰ τὰc πτώcειc· ὀρθὴ ἀντὶ κλητικῆc. ZYQXIG

1 παρὰ τὰc πτώcειc Z (= Dion. Hal. Thuc. 37,27) : παράπτωcιc || 2 γενικῆc Z ||

Γ 277/$Z^s$ ἐφορᾶιc: ἐπιβλέπειc. ZYQX

Γ 278/$Z^s$ καὶ οἱ ὑπένερθε: καὶ οἱ καταχθόνιοι δαίμονες· ¦ λέγει δὲ Πλούτωνα, Περσεφόνην καὶ τὰς Ἐρινῦς (=$U^i$). ZYQXG

Γ 278/$Z^s$ καμόντας: τελευτήσαντας (=$T^r$), ἀποθανόντας. ZYQX

Γ 279/$Z^s$ τίνυσθον: τιμωρεῖσθε. $ZYQXU^m$

τιμωρεῖσθαι Z ||

Γ 279/$Z^s$ ὅτις κ' ἐπίορκον ὀμόσσηι: ὃς ἂν ἐπιορκήσηι. δυϊκῶι δὲ ἀριθμῶι κέχρηται εἰπὼν 'τίνυσθον'· ἔστι γὰρ ὁ λόγος πρὸς Πλούτωνα καὶ Περσεφόνην. ἀντὶ τοῦ καὶ ὑμεῖς οἱ καταχθόνιοι δαίμονες, οἵτινες τοὺς ἐν τῶι ζῆν παρορκήσαντας τιμωρεῖσθε καὶ μετὰ θάνατον. $ZYQXU^m$*, ~$G^sA^s$

Γ 280/$Z^s$ φυλάσσετε: τηρεῖτε. ZYQX

φυλάσσεται· τηρεῖται Z ||

Γ 281/$Z^s$ εἰ μέν κεν: ἐὰν μέν. ZYQX

Γ 281/$Z^s$ καταπέφνηι: φονεύσηι. ZYQX

Γ 284/$Z^s$ κτείνηι: ἀποκτείνηι. ZYQX

κτείνει· ἀποκτείνει Y ||

Γ 286/$Z^s$ τιμήν: πρόστιμον τοῦ πολέμου (=X). λέγει δὲ τὸ ἥμισυ τῶν ἐν τῆι πόλει κτημάτων (cf Σ 510𝔇). $ZYQU^i$*IG

Γ 286/$Z^s$ ἀποτινέμεν: ἀποδιδόναι. ZYQ

Γ 286/$Z^s$ ἥντιν' ἔοικεν: ἣν πρέπει, ἣν δεῖ. ZYQX

Γ 287/$Z^s$ ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι: ἥτις καὶ τοῖς μετὰ ταῦτα ἐσομένοις ἀνθρώποις φανερὰ γενήσεται καὶ μενεῖ καθάπερ νόμος. ZYQX

⟨ἐν⟩ τοῖς ⟨μεταγενεστέροις καὶ⟩ μετὰ Y ||

Γ 287/$Z^s$ πέληται: γένηται. ZYQX

Γ 289/$Z^s$ τίνειν: ἐκτιννύειν, ἀποδιδόναι. ZYQX

Γ 289/$Z^s$ πεσόντος: ἀναιρεθέντος. ZYQX

Γ 290/$Z^s$ αὐτὰρ ἐγὼ καὶ ἔπειτα: ἐγὼ δὲ καὶ μετὰ ταῦτα. ZYQX

Γ 290/$Z^s$ ποινῆς: ἀντεκτίσεως, τιμωρίας. ZYQXI ~ Epim. π 86

Γ 291/$Z^s$ αὖθι μένων: ἐνταῦθα παραμένων. ZYQX

Γ 291/$Z^s$ εἵως κε: ἕως ἄν. ZYQX

Γ 291/$Q^s$ κιχείω: καταλάβω. QX = A 26𝔇

Γ 292/$Z^s$ ἦ: ἔφη, εἶπεν. ZYQX

Γ 292/$Z^s$ στομάχους: φάρυγγας, λαιμούς, ἐπεὶ συνέζευκται ὁ στόμαχος τῶι λαιμῶι. $ZYQXT^r$

Γ 292/$Z^s$ τάμεν: ἀπέκοψεν. ZQX

Γ 292/$Z^s$ νηλέϊ: ἀνηλεεῖ (=$T^r$), σκληρῶι. ZYQX

Γ 292/$Z^s$ χαλκῶι: καταχρηστικῶς σιδήρωι, ἐπεὶ πρότερος ηὑρέθη ὁ χαλκὸς τοῦ σιδήρου. ZYQXI~G

εὑρέθη YQX ||

Γ 293/$Z^s$ ἀσπαίροντας: ψυχορραγοῦντας, σκαρίζοντας. ZYQX

Γ 294/$Z^s$ δευομένους: ἐνδεομένους καὶ χρήιζοντας τοῦ θυμοῦ, ὅ ἐστιν τῆς ψυχῆς, τεθνηκότας. ZYQX

Γ 295/$Z^s$ ἀφυσσάμενοι: ἀπαντλήσαντες. ZYQX ($A^r$ "ἀντλήσαντες")

Γ 295/$Z^s$ δεπάεσσιν: ἐκπόμασι, Z | ποτηρίοις. ZYQX

Γ 296/$Z^s$ ἔκχεον: ἐξέχυνον, ZYQX | ἔσπενδον. ZQX

Γ 296/$Z^s$ ἠδ' εὔχοντο: καὶ ηὔχοντο. ZYQX

Γ 296/$Z^s$ αἰειγενέτηισιν: διὰ παντὸς οὖσιν, ἀθανάτοις, ἢ τοῖς ἀεί τι ποιοῦσιν καὶ ἐνεργοῦσιν. ZYQ(X)

Γ 299/$Z^s$ ὁππότεροι: οἵτινες πρότεροι. ZYQX

Γ 299/Z$^s$ πημήνειαν: βλάψειαν διὰ τὸ παρελθεῖν αὐτούϲ. ZYQXI. T$^i$ "ὑπερβάντεϲ τὰ ὅρκια".

Γ 300/Z$^s$ ὧδέ cφ' ἐγκέφαλοϲ: οὕτωϲ αὐτῶν ὁ ἐγκέφαλοϲ. ZYQX

Γ 300/Z$^s$ χαμάδιϲ: ἐπὶ τῆϲ γῆϲ. ZYQX

Γ 300/Z$^s$ ὡϲ ὅδε οἶνοϲ: ὡϲ οὗτοϲ ὁ οἶνοϲ. ZYQX

Γ 301/Z$^s$ αὐτῶν καὶ τεκέων: αὐτῶν τε τῶν ἐφιορκηϲάντων καὶ τῶν τέκνων αὐτῶν. ZYQX.

ἐφιορκηϲάντων Z ~ Δ 269𝔇, E 292𝔇, K 332𝔇 (cf Gignac 1,137) : ἐπιορκηϲάντων YQX ||

Γ 301/Z$^s$ ἄλοχοι δ' ἄλλοιϲι μιγεῖεν: καὶ αἱ γυναῖκεϲ αὐτῶν αἰχμαλωτιϲθεῖϲαι ἄλλοιϲ μιγῶϲιν ἐν ϲυνουϲίαι. ZYQXI

δὲ Z$^λ$ ||

Γ 302/Z$^s$ οὐδ' ἄρα πώ ϲφιν: οὐδέπω δὲ αὐτοῖϲ. ZYQX

Γ 302/Z$^s$ ἐπεκραίαινε: ἐπετέλεϲεν. ZYQX

ἐπεκράανε Z$^λ$ ||

Γ 303/Z$^s$ Δαρδανίδηϲ: Δαρδάνου ἀπόγονοϲ Πρίαμοϲ. ZYQX

Γ 305/Z$^s$ ἤτοι ἐγών: ἐγὼ μὲν οὖν. ZYQX

Γ 305/Z$^s$ εἶμι: ἄπειμι, ἀπέρχομαι. ZYQX

Γ 305/Z$^s$ προτὶ Ἴλιον: ἐπὶ τὴν Ἴλιον. ZYQX

Γ 305/Z$^s$ ἠνεμόεϲϲαν: ὑψηλὴν καὶ ὑπὸ ἀνέμων καταπνεομένην. ZYQX

Γ 306/Z$^s$ ἐπεὶ οὔπω: ἐπειδὴ οὐδαμῶϲ. ZYQX

Γ 306/Z$^s$ τλήϲομαι: καρτερήϲω, ὑπομείνω. ZYQX

Γ 306/Y$^s$ ὁρᾶϲθαι: ὁρᾶν· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. YQXA, cf A 56𝔇 ὁρᾶτο· ἑώρα, ἔβλεπεν".

Γ 307/Z$^s$ μαρνάμενον: μαχόμενον. ZYQX

Γ 308/Z$^s$ τό γε οἶδε: τοῦτο ἐπίϲταται. ZYQX

Γ 309/Z$^s$ ὁπποτέρωι θανάτοιο τέλοϲ: ὁποίωι αὐτῶν τὸ τοῦ θανάτου τέλοϲ ἐϲτίν. ZYQX

Γ 309/Z$^s$ πεπρωμένον ἐϲτίν: ἀντὶ τοῦ πέπρωται, εἵμαρται. ZYQX

Γ 310/Z$^s$ ἦ ῥα: ἔφη δή. ZYQX

Γ 310/Z$^s$ θέτο: κατέθετο. 'ἰϲόθεοϲ' δὲ 'φὼϲ' ὁ ἰϲόθεοϲ ἀνήρ. ZYQX

lemma 'ἰϲόθεοϲ δὲ φὼϲ' Z, duo scholia YQX ||

Γ 310/U$^s$ ⌊ἐϲ δίφρον ἄρναϲ θέτο⌋ εἰϲ τὴν πόλιν ὁ Πρίαμοϲ τοὺϲ ἄρναϲ τεθυμένουϲ ἔχων ἄπειϲιν, ἵν' αὐτοὺϲ περιϲτείληι. ἔθοϲ γὰρ τὰ ἐπὶ τοῖϲ ὅρκοιϲ γινόμενα ἱερεῖα τοὺϲ μὲν ἐγχωρίουϲ ⟨γῆι A⟩ περιϲτέλλειν, τοὺϲ δὲ ἐπηλύδαϲ εἰϲ θάλαϲϲαν ῥίπτειν (= Γ ⌊306/ex, ~T 267-8, cf Paus. 3,20,9; 5,24,10-1), οἱ μὲν ἰδίωϲ ὡϲ ἔχοντεϲ αὐτῶν πατρίδα, οἱ δὲ τὸ ἀποπλεῦϲαι πάλιν (scil. ἔχοντεϲ). UI$^m$ ~ G$^s$

Γ 311/Z$^s$ ἂν δ' ἄρ' ἔβαιν' αὐτόϲ: ἀνέβαινε δὲ καὶ αὐτόϲ. ZYQX

Γ 313/Z$^s$ τὼ μέν: οὗτοι μέν. ZYQX

Γ 313/Z$^s$ ἄψορροι: εἰϲ τοὐπίϲω ὁρμήϲαντεϲ· 'ἀπονέοντο' δὲ ἀπηλάϲϲοντο, ἀνεχώρουν. ZYQXI | διὰ τί χωρίζεται ὁ Πρίαμοϲ; καὶ οἱ μέν φαϲιν ὅτι ἵνα ἀφ' ὕψουϲ κρεῖϲϲον θεωρήϲηι ἀπὸ τῆϲ πόλεωϲ τὴν μονομαχίαν, οἱ δὲ ἵνα φυλάξηι τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύϲιν παρίϲχονται τὸ "οὔπω τλήϲομαι ὀφθαλμοῖϲιν ὁρᾶϲθαι", ὅπερ ἄμεινον. ZYQXAUIG

1 lemma 'ἀπονέοντο' pro δὲ YQX || 3 κρεῖττον Y, κρείϲϲων A || 4 προΐϲχουϲιν de Marco || τὸ ⟨γὰρ⟩ οὔπω Z ||

Γ 314/Z$^s$ Πριάμοιο πάϊϲ: ὁ τοῦ Πριάμου υἱόϲ. Πορφύριοϲ δὲ ἐν τοῖϲ παραλελειμμένοιϲ (385 F Smith; cf Erbse, Beiträge 73ss) φηϲὶν ὅτι τὸν Ἕκτορα Ἀπόλλωνοϲ υἱὸν παραδίδωϲιν Ἴβυκοϲ (PMG 295), Ἀλέξανδροϲ (Aetolus fr. 13 Powell), Εὐφορίων (56 Powell), Λυκόφρων (Alex. v. 265). ZYQXAU$^m$IG

3 παραδίδωϲιν ⟨ἡμῖν⟩ Y || ἴβυκοϲ : ϲτηϲίχοροϲ (PMG 224) schol. Ω 258$^T$ ||

Γ 315/$Z^s$ χῶρον: τὸν τόπον. ἀναγκαίως δὲ διεμέτρουν πᾶν τὸ χωρίον ἐν ὧι ἔμελλον μονομαχήσειν, ὥcτε μὴ μόνον τὸν διὰ τῶν ὅπλων ἡττηθέντα νενικῆcθαι, ἀλλὰ καὶ τὸν ἀπολείποντα τὸ ἀποδεδειγμένον χωρίον, ὥcπερ καὶ ἐπὶ τῶν ἀθλητῶν. ZYQXAU ~G | ἄλλοι δὲ φαcὶν ὅτι ἵνα μὴ πρὸς τὰ ἑαυτῶν πλήθη χωριcθῶcιν, ἀλλ' ἵνα ὥcπερ ἐν εἱρκτῆι τῆι περιγραφῆι μένωcι. ZYQAUI$^m$G

1 ἤμελλον A || 3 ἀπολιπόντα Y || 4 {ἵνα} μὴ A ||

Γ 315/$Z^s$+$U^s$ αὐτὰρ ἔπειτα κλήρους: δεόντως καὶ κλῆρον ἐποιήcαντο περὶ τῆc ἀφέcεως τοῦ δόρατος, ὥcτε μὴ θόρυβον ἐμπεcεῖν τοῦ ἑτέρου φθάcαντος διὰ τῆc πρώτης βολῆc ἀνελεῖν τὸν πολέμιον. ZYQXAUI$^m$G | ψῆφοι δέ τινες ἦcαν οἱ κλῆροι, εἰc οὓc ἐcημειοῦτο ἕκαcτος (~G)· οὓc οὕτως ὠνόμαcαν διὰ τὸ καλεῖcθαι ὑπ' αὐτῶν εἰc τὰc πράξειc. UI$^m$=A$^s$, ~ G$^s$

1 ⟨μετὰ ταῦτα δὲ⟩ δεόντως YQX(A om δὲ) || 2 ἑτέρου L : ὑcτέρου ZYQXAU, def. Dindorf in Addendis 4,401 || 3 πρώτης om Y || 4 ἐcημειοῦντο U ||

Γ 316/$Z^s$ ἐν κυνέηι: ἐν τῆι περικεφαλαίαι. ZYQX

ἐν om Z$^λ$ ||

Γ 316/$Z^s$ χαλκήρεϊ: χαλκῶι ἡρμοcμένηι, ZYQXI | χαλκῆι. ZQXI

Γ 316/$Z^s$ πάλλον: ἐκίνουν, ἔcειον. ZYQX

πάλλων· κινῶν cείων Y = Γ 19𝔇 ||

Γ 316/$Z^s$ ἑλόντες: λαβόντες. ZQX

Γ 317/$Z^s$ ὁππότερος δὴ πρόcθεν: ὅcτις δὴ πρῶτος. ZYQX

πρότερος Y ||

Γ 318/$Z^s$ ἠρήcατο: ηὔξατο. ZYQX = A 351𝔇

ἠρήcαντο (= Hom.)· ηὔξαντο QXA$^r$ ||

Γ 318/$Z^s$ ἀνέcχον: ἀνέτειναν. ZYQX

Γ 320/$Z^s$ Ζεῦ πάτερ: ὦ Ζεῦ, ὁ τῆc Ἴδης βασιλεύc. τιμᾶται γὰρ ἐν τῶι ἀκρωτηρίωι τῆc Ἴδης Ζεύc, καὶ βωμὸc αὐτοῦ ἐcτιν, ὡc καὶ αὐτὸc ὁ ποιητὴc φηcὶν 'Γάργαρον ἔνθα δέ οἱ τέμενος βωμός τε θυήειc' (Θ 48). ZYQXUIG

2 ἐcτιν : ἵδρυται Y || 3 τέμενόc τε ZY ||

Γ 321/$Z^s$ τάδε ἔργα: ταῦτα τὰ ἔργα, τὰ τοῦ πολέμου. ZYQX

τὰ$^2$ om YQX ||

Γ 321/$Z^s$ ἔθηκεν: ἐποίηcεν. ZYQX

Γ 322/$Z^s$ τὸν δόc: τοῦτον πάραcχε. ZYQX

Γ 322/$Z^s$ ἀποφθίμενον: ἀναιρεθέντα, φθαρέντα. ZYQX

Γ 322/$Z^s$ δῦναι: καταδῦναι, κατελθεῖν. ZYQX

Γ 322/$Z^s$ δόμον Ἄϊδος: περιφραcτικῶc, ἔcω τοῦ Ἅιδου. ZYQX

Γ 323/$Z^s$ φιλότητα: φιλίαν. ZYQX

Γ 324/$Z^s$+$U^m$ κορυθαίολος: ἤτοι ὁ ποικίλος τὸν ὁπλιcμόν, ἀπὸ μέρους τὸ πᾶν. ἢ ὁ εὐκίνητος ἀπὸ τοῦ παρεπομένου· αἰόλλειν γὰρ τὸ κινεῖν. ZYQXU$^m$IG | ὁ τρόπος cυνεκδοχή (= Δ 343𝔇). U$^m$IG

Γ 325/$Z^s$ ἂψ ὁρόων: εἰc τοὐπίcω ἀφορῶν, ἵνα μή τι πανουργεῖν δόξηι. ZYQ(X)I~G*

ἀφορῶν Z : βλέπων YQX ||

Γ 325/$Z^s$ Πάριος: Ἴωνες οὕτως, ἡμεῖc δὲ Πάριδος (~T$^r$). Πάριc δὲ ὁ Ἀλέξανδρος ἐκλήθη παρὰ τὸ ἐκτεθῆναι αὐτὸν ἐν τῆι Ἴδηι εὐθὺc τεχθέντα καὶ αὐξηθῆναι καὶ παρελθεῖν τὸν μόρον οὕτως· κατὰ γαcτρὸc αὐτὸν ἔχουcα ἡ Ἑκάβη ἐνόμιcεν κατ' ὄναρ καιόμενον δαλὸν τίκτειν, ὅcτις κατέφλεξεν πᾶcάν τε τὴν πόλιν καὶ τὴν ἐν τῆι Ἴδηι ὕλην ἑcτῶcαν. τοῦτο δὲ τὸ ἐνύπνιον ἀκούcαντες οἱ μάντειc καὶ οἱ περὶ τοὺc ὀνείρους δεινοὶ εἶπον τὸ τεχθὲν παιδίον εὐθέωc μικρὸν ὂν ῥιφῆναι θηρcὶν βοράν· τεχθέντα δὲ τὸν Ἀλέξανδρον ἐξέθηκαν ἐν τῆι Ἴδηι, ὃν ποιμὴν ἑωρακὼc cφόδρα εὐειδέcτατον ἀνελόμενος ἀνέθρεψεν. ZYQXUI$^m$A cf M 93𝔇, O 341𝔇

1 ἐκλήθη ὁ Ἀλέξανδρος Y || 2-3 αὐξηθῆναι καὶ παρελθεῖν : αὐξηθέντα παρελθεῖν A ||

Γ 325/Z$^s$ θοῶϲ: ταχέωϲ. ZYQX

Γ 325/Z$^s$ ἐκ κλῆροϲ ὄρουϲεν: ἐξέπεϲεν ὁ κλῆροϲ. ZYQX

Γ 326/Z$^s$ ἵζοντο: ἐκαθέζοντο. ZYQX

Γ 326/Z$^s$ κατὰ ϲτίχαϲ: κατὰ τὰϲ τάξειϲ. ZYQX

Γ 326/Z$^s$ ἦχι: ἔνθα, ὅπου. ZYQX

Γ 327/Z$^s$ ἀερϲίποδεϲ: αἴροντεϲ εἰϲ ὕψοϲ τοὺϲ πόδαϲ, ταχεῖϲ (~ Epim. α 199). ζωγραφικῶϲ δὲ ἐκτετύπωκε τοῦτο· τοιοῦτοι γὰρ οἱ κωλυόμενοι τοῦ τρέχειν ἵπποι (=I$^s$), καὶ ἔϲτιν ἰδίωμα. ZYQXAUG

2 τοῦ om YQX || ἵπποι : ἱππῶται ZA ||

Γ 328/Z$^s$ ἐδύϲατο: ἐνεδύϲατο. ZYQX

Γ 330/Z$^s$ περὶ κνήμηιϲι: περὶ ταῖϲ κνήμαιϲ. 'ἔθηκεν' δὲ περιέθηκεν, ἔβαλεν. ZYQX

lemma 'ἔθηκεν δὲ' Z : duo scholia YQX ||

Γ 331/Z$^s$ ἀργυρέοιϲιν: ἀργυροῖϲ, καλοῖϲ. ¦ 'ἐπιϲφυρίοιϲ' δὲ τοῖϲ τῶν ϲφυρῶν καλύμμαϲι (=T$^r$). ZYQX

lemma 'ἐπιϲφυρίοιϲ δὲ' Z : duo scholia YQX ||

Γ 331/Z$^s$ ἀραρυίαϲ: ἡρμοϲμέναϲ. ZYQX

Γ 332/Z$^s$ ἔδυνεν: ἐνεδύϲατο. ZYQX

ἔνδυνε (= B 42) pro lemmate YQX ||

Γ 333/Z$^s$ οἷο καϲιγνήτοιο: τοῦ ἰδίου ἀδελφοῦ. ZYQX. T$^r$ αὐτοῦ.

Γ 333/Z$^s$ ἥρμοϲε: ἁρμοδίωϲ ἐποίηϲεν. ZYQX

Γ 335/Z$^s$ ϲάκοϲ: τὴν ἀϲπίδα. εἴρηται δὲ ϲάκοϲ ¦ ἐπεὶ παρὰ πρώτοιϲ τοῖϲ Cάκαιϲ ηὕρηται· Cάκαι δὲ μέροϲ Θράικηϲ (~T$^r$). ZYQXUIG, Epim. ϲ 29

Γ 335/Z$^s$ ϲτιβαρόν: ἰϲχυρόν. τὸ δὲ 'βάλετο' (334) εἶπεν ἐπεὶ καὶ τὰϲ ἀϲπίδαϲ διὰ τελαμώνων ἐφόρουν (~ A$^t$T), ὡϲ καὶ τὰ ξίφη. ZYQXUIG*

Γ 336/Z$^s$ κρατὶ δ' ἔπι: ἐπὶ δὲ τῆϲ κεφαλῆϲ. ZYQX

Γ 336/Z$^s$ εὔτυκτον: καλῶϲ κατεϲκευαϲμένην. ZYQX

κατεϲκευαϲμένην Y : κατεϲκευαϲμένον ZQX ||

Γ 336/Z$^s$ ἔθηκεν: ἐπέθηκεν. ZYQXI

Γ 337/Z$^s$ ἵππουριν: ἐξ ἱππείων τριχῶν τὸν λόφον ἔχουϲαν (=T$^r$). ¦ 'λόφοϲ' δὲ τὸ προνεῦον τῆϲ περικεφαλαίαϲ ἀνάϲτημα (=T$^r$) κόϲμου καὶ καταπλήξεωϲ χάριν ὄν (=UI). ZYQX~G

1 ἔχουϲα Z || lemma 'λόφοϲ' pro δὲ L ||

Γ 337/Z$^s$ δεινόν: φοβερόν. ZYQX

δεινὸν ⟨δὲ⟩· φοβερὸν ⟨δὲ⟩ QX ||

Γ 337/Z$^s$ καθύπερθεν: ἄνωθεν. ZYQX

Γ 337/Z$^s$ ἔνευεν: ἐϲείετο. ZYQX

Γ 338/Z$^s$ εἵλετο: ἔλαβεν. ZYQX

Γ 338/Z$^s$ ἄλκιμον: ἰϲχυρόν. ZYQX

Γ 338/Z$^s$ ὅ οἱ: ὅπερ αὐτῶι. ZYQX

Γ 338/Z$^s$ παλάμηφι: τῆι χειρί· ἡ λέξιϲ παράγωγοϲ, ἡ διάλεκτοϲ Αἰολίϲ. ZYQXIG

ἡ διάλεκτοϲ αἰολίϲ Z : ἡ διάλεκτοϲ ἰάϲ Y, αἰολικῶϲ QX ||

Γ 338/Z$^s$ ἀρήρει: ἥρμοϲτο. ZYQX

Γ 339/Z$^s$ ὣϲ δ' αὔτωϲ: ὁμοίωϲ. ZYQX

Γ 339/Z$^s$ ἀρήϊοϲ: πολεμικόϲ. ZYQX

Γ 339/Z$^s$ ἔντεα: ὅπλα· εἴρηται δὲ ἀπὸ τοῦ ἐντὸϲ περιέχειν καὶ ϲκέπειν τὸ ϲῶμα· λέγεται δὲ καὶ τὰ πρὸϲ τὴν εὐωχίαν ϲκεύη ἔντεα, ὡϲ ἐκεῖ, 'μνηϲτῆρεϲ δ' ἀπεκόϲμεον ἔντεα δαιτόϲ' (η 232𝔇 ἀμφίπολοι). ZYQXAUI$^m$G ~ ApS 69,17, Epim. ε 118

Γ 339/Z$^s$ ἔδυνεν: ἐνεδύετο, ὡπλίζετο. ZYQX

Γ 340/Z$^s$ οἱ δ' ἐπεὶ οὖν: ἐπειδὴ δὲ οὗτοι. ZYQX

Γ 340/Z$^{s}$ ἑκάτερθεν ὁμίλου: ἐξ ἑκατέρου τοῦ πλήθους. ZYQX
πλάτους Z ||

Γ 340/Z$^{s}$ θωρήχθησαν: καθωπλίσθησαν. ZYQX

Γ 342/Z$^{s}$ δερκόμενοι: βλέποντες. ZYQX

Γ 342/Z$^{s}$ θάμβος: ἔκπληξις. ZYQX

Γ 342/Z$^{s}$ ἔχεν: εἶχεν. ZYQX

Γ 342/Z$^{s}$ εἰσορόωντας: ὁρῶντας, βλέποντας. ZYQX

Γ 344/Z$^{s}$ στήτην: ἔστησαν δυϊκῶς. ZYQX

Γ 344/Z$^{s}$ διαμετρητῶι: ἐν τῶι διαμεμετρημένωι εἰς τὴν μονομαχίαν χωρίωι. ZYQX
τὴν et χωρίωι om Y ||

Γ 345/Z$^{s}$ σείοντες: κινοῦντες. ZYQX

Γ 345/Z$^{s}$ ἐγχείας: τὰ δόρατα. ZYQX

Γ 345/Z$^{s}$ κοτέοντες: ὀργιζόμενοι. ZYQX

Γ 346/Z$^{s}$ πρόσθεν: νῦν πρότερος. ZYQX cf B 359𝔇 "ἢ ἔμπροσθεν".

Γ 346/Z$^{s}$ προΐει: προέπεμπεν. ZYQX

Γ 346/Z$^{s}$ δολιχόσκιον: μέγα, μακρὰν σκιὰν ἀποτελοῦν, ἢ μακρὰν πορευόμενον. ZYQXI

↑ Γ 346/U$^{m}$ ⌞δολιχόσκιον ἔγχος⌟ μακροπόρευτον δόρυ. ἤτοι τὸ μέγα, καὶ μακρὰν σκιὰν ἀποτελοῦν. ¦ οἱ μὲν παρὰ τὸ κίειν ἐν πλεονασμῶι (sc. τοῦ σ̄), οἱ δὲ παρὰ τὴν σκιάν. τοῦτο δὲ παρὰ τὸ κίω τὸ πορεύομαι· "ἡ συμπορευομένη τινί" (=I$^{s}$). U$^{m}$

Γ 347/Z$^{s}$ πάντοσε ἴσην: πανταχόθεν ἴσην, ¦ κυκλοτερῆ (=T$^{r}$). κατὰ τοὺς γεωμέτρας κύκλου φανέντος ἀρχὴ οὐχ εὑρέθη. ZYQXI$^{m}$

Γ 348/Z$^{s}$ οὐδ' ἔρρηξεν: οὐδὲ διέκοψεν. ZYQX

Γ 348/Z$^{s}$ ἀνεγνάμφθη δ': ἀνεκάμφθη δέ. ZYQX
δ' ... δέ om YQX ||

Γ 348/Z$^{s}$ αἰχμή: ἡ ἐπιδορατίς. ZYQX

Γ 349/Z$^{s}$ ἀσπίδι ἐνὶ κρατερῆι: ἐν τῆι ἰσχυρᾶι ἀσπίδι. ZYQX
ἐν / ἐνὶ vv.ll. Hom. ||

Γ 349/Z$^{s}$ ὤρνυτο χαλκῶι: ὥρμα ἐπὶ τὸ ἀκοντίσαι ZYQX | τὸ δόρυ. ZY

Γ 350/Z$^{s}$ ἐπευξάμενος: εὐξάμενος. ZYQX

Γ 351/Z$^{s}$ ἄνα: βασιλεῦ· ἀποκοπὴ τὸ πάθος. ZYQXI

Γ 351/Z$^{s}$ δός: παράσχε. ZYQXI

Γ 351/Z$^{s}$ τίσασθαι: τιμωρήσασθαι. ZYQX Epim. τ 32

Γ 351/Z$^{s}$ ὅ με: ὅστις με. ZYQX. T$^{r}$ ὅς με.

Γ 351/Z$^{s}$ κάκ' ἔοργε: πρῶτος κακὸν εἰργάσατο. ZYQX
κακὸς Z ||

Γ 352/Z$^{s}$ δῖον: νῦν φοβερόν, παρὰ τὸ δέος. ZYQ = μ 104𝔇 de Charybdi, cf A 7𝔇 "θεῖος, εὐγενής, ἢ ἀπὸ Διὸς ἔχων τὸ γένος".

Γ 352/Z$^{s}$ καὶ ἐμῆς ὑπὸ χερσὶ δάμασσον: καὶ ὑπὸ τῶν ἐμῶν αὐτὸν χειρῶν φονευθῆναι ποίησον. ZYQX
δάμασον ZY$^{\lambda}$ || αὐτὸν Z : om YQX ||

Γ 353/Z$^{s}$ ἐρρίγησιν: εὐλαβηθῆι, φοβηθῆι. ZYQXI

↑ Γ 353/U$^{m}$ ⌞ἐρρίγησι⌟ ῥιγῶ ῥιγᾶις ἐπὶ τοῦ ψύχους (cf. Λ 254/U$^{m}$), ῥιγῶ ῥιγεῖς ἐπὶ τοῦ φόβου. U$^{m}$=I$^{s}$G$^{s}$

Γ 353/Z$^{s}$ ὀψιγόνων: τῶν βράδιον καὶ μετὰ ταῦτα ἐσομένων ἀνθρώπων. ZYQXI
βράδιον = Erga 528 : βραδέως Y ||

Γ 354/Z$^{s}$ ξεινοδόκον: ξενοδόχον. ZYQX

Γ 354/Z$^{s}$ κακὰ ῥέξαι: κακῶς πρᾶξαι. Z(Y κακὸν) QX

Γ 354/Z$^{s}$ ὅ κεν: ὅϲτιϲ. ZYQX. T$^{r}$ ὅϲ κεν.

Γ 354/Z$^{s}$ φιλότητα: φιλίαν, ξενίαν (= A$^{t}$ ὅτι ..., T$^{s}$). ἀπελθόντα γὰρ ὡϲ πρέϲβιν εἰϲ τὸ Ἄργοϲ τὸν Ἀλέξανδρον ἐξενοδόχηϲεν ὁ Μενέλαοϲ, ὅθεν καὶ εὔχεται τῶι ξενίωι Διὶ τῶι ὑπ' αὐτοῦ καταφρονηθέντι. ZYQXAUG(bis)

2 ξενίωι : ξένω Z, ξένωι A ||

Γ 355/Z$^{s}$ ἀμπεπαλών: ἀνατείναϲ, ϲείϲαϲ. ZYQ

Γ 356/Z$^{s}$ Πριαμίδαο: Πριάμου παιδὸϲ Ἀλεξάνδρου. ZYQ

Γ 357/Z$^{s}$ διὰ μὲν ἀϲπίδοϲ ἦλθεν: διῆλθεν μὲν διὰ τῆϲ ἀϲπίδοϲ. ZYQ

Γ 357/Z$^{s}$ φαεινῆϲ: λαμπρᾶϲ. ZYQ

Γ 357/Z$^{s}$ ὄβριμον: τὸ ἰϲχυρόν. ZYQ

Γ 358/Z$^{s}$ πολυδαιδάλου: πολυκαταϲκευάϲτου, ποικίληϲ. ZYQ

Γ 358/Z$^{s}$ ἠρήρ‹ε›ιϲτο: διελήλατο, ἐνεπήγη. Z ~ Δ 136𝔇

Γ 359/Z$^{s}$ ἀντικρύ: ἐξ ἐναντίαϲ. διαφέρει δὲ τὸ ἀντικρὺ τοῦ ἄντικρυϲ προπαροξυτόνου· τὸ μὲν γὰρ δηλοῖ τὸ ἐξ ἐναντίαϲ, τὸ δὲ τὸ φανερῶϲ. ZYQAU*I$^{m}$G

2 γὰρ ‹ἀντικρὺ› A || τὸ δὲ : τὸ ἄντικρυϲ A ||

Γ 359/Z$^{s}$ παραὶ λαπάρην: παρὰ τὴν ¦ λαγόνα (=T$^{r}$). ZYQ

Γ 359/Z$^{s}$ διάμηϲε: διέτεμε, διέκοψε. 'χιτῶνα' δὲ νῦν τὸν θώρακα. ZYQG* cf B 42𝔇 "ἱμάτιον".

lemma 'χιτῶνα' pro "δὲ νῦν" YQ ||

Γ 360/Z$^{s}$ ὃ δ' ἐκλίνθη: ὁ δὲ ¦ ἐνέκλινεν τὸ πλευρόν (=T$^{r}$). ZYQ

Γ 360/Z$^{s}$ καὶ ἀλεύατο: καὶ ἐξέκλινεν, ἐφυλάξατο. ZYQ

Γ 360/Z$^{s}$ κῆρα: θάνατον. ZYQ

Γ 361/Z$^{s}$ ἀργυρόηλον: ἀργυροῖϲ ἥλοιϲ διαπεπαρμένον. ZYQ

Γ 362/Z$^{s}$ ἀναϲχόμενοϲ: ἀνατείναϲ (=T$^{r}$). ZYQ

Γ 362/Z$^{s}$+L$^{s}$ κόρυθοϲ φάλον: τὸ προμετωπίδιον ἀνάϲτημα τῆϲ περικεφαλαίαϲ. ἔϲτι δέ τι προκόϲμημα· γίνονται γὰρ ἐπὶ τῶν περικεφαλαιῶν λαμπροί τινεϲ ἧλοι ἕνεκα προκοϲμήματοϲ. φαλὸν δὲ τὸ λαμπρόν· ἐντεῦθεν καὶ φαλακρὸϲ ὁ ἔχων φαλιὸν τὸ κάρα. ZYQAT$^{r}$UI$^{m}$G | καὶ 'φαληριῶϲα πέτρα' (Lycophr. 188) καὶ 'φαληριόωντα κύματα' (N 799). L ~ Eust. 424,9

1 ἀνάϲτεμα Z || 2 τι om YT$^{r}$ || προκόμημα A || 3 φαλιὸν Q : φάλειον ZYT$^{r}$, φάλον A ||

Γ 362/Z$^{s}$ ἀμφὶ δ' ἄρ αὐτῶι: περὶ αὐτὸν δέ. ZYQ

Γ 363/Z$^{s}$ τριχθά τε καὶ τετραχθά: εἰϲ τρία καὶ τέϲϲαρα μέρη. ZYQ

Γ 363/Z$^{s}$ διατρυφέν: διακλαϲθέν. ZYQI

διατρυφθέν YQ ||

Γ 363/Z$^{s}$ ἔκπεϲε: ἐξέπεϲε. ZYQ

Γ 364/Z$^{s}$ ὤιμωξεν: ἐϲτέναξεν. ZYQ

Γ 365/Z$^{s}$ οὔ τιϲ ϲεῖο: οὐδεὶϲ ϲοῦ. ZYQ

Γ 365/Z$^{s}$ ὀλοώτεροϲ: ὀλεθριώτεροϲ, ¦ ἐμοὶ (=T$^{r}$) τῶι Μενελάωι δηλονότι· ἐνόμιϲαν γάρ τινεϲ διὰ τούτου βλαϲφημεῖν τὸν Μενέλαον. ῥητέον οὖν ὅτι οὐ βλαϲφημεῖ ὁ ἥρωϲ, ἀλλὰ νεμεϲᾶι· ἀρετῆι γὰρ οἰκείαι ‹* * *› οἶδέν τε πάϲχων ἅπερ οὐκ ἔδει, καὶ νεμεϲᾶι δικαίωϲ ἐπὶ τῶι παρ' ἀξίαν ϲωζομένωι. ZYQAUIG

1 ὀλεθριώτεροϲ om A || 3 νεμεϲϲᾶι ZA || οἰκεῖα ZY$^{1}$, οἰκεία QAUI || .. οἰκεία ‹νέμεϲιϲ› L || τε om A ||

Γ 366/Z$^{s}$ ἦ τ' ἐφάμην: ἐλογιϲάμην γὰρ δή. ZYQ

Γ 366/Z$^{s}$ τείϲαϲθαι: τιμωρήϲαϲθαι. ZYQ

τίϲαϲθαι YQ$^{\lambda}$ = Hom. ||

Γ 366/Z$^{s}$ κακότητοϲ: κακίαϲ, ἀδικίαϲ. ZYQG

Γ 367/Z$^{s}$ ἄγη: κατεάγη, ¦ ϲυνετρίβη (=A$^{r}$). ZYQ

Γ 368/Z$^{s}$ ἠΐχθη: ἐξέδραμεν, ἠνέχθη. ZYQ. T$^{r}$ διέδραμεν.

Γ 368/Zˢ παλάμηφι: ἐκ τῆς χειρός. ZYQ

Γ 368/Zˢ ἐτώσιον: μάταιον. ZYQ

Γ 368/Zˢ οὐδ' ἐδάμασσα: οὐδὲ ¦ ἀπέκτεινα (=Tʳ) αὐτόν. ZYQ

οὐδ' ἐδάμασσα Zλ (Di-Ammonius E 191 οὐκ) : οὐδ' ἔβαλόν μιν YQλ = Hom. ||

Γ 369/Zˢ ἦ: ἔφη, εἶπεν. 'ἐπαΐξας' δὲ ἐπιδραμών, ἐφορμήσας. ZYQ

lemma 'ἐπαΐξας δὲ' Z : duo scholia YQ ||

Γ 369/Zˢ κόρυθος: τῆς περικεφαλαίας. ZYQ | διὰ τί, φασίν, ὁ Μενέλαος συγκλασθέντος αὐτῶι τοῦ ξίφους οὐκ ἐσπάσατο τὸ τοῦ Ἀλεξάνδρου; ῥητέον οὖν ὅτι ἢ ἔκφρων ἐγένετο τῶι κινδύνωι τὸν λογισμὸν ἐκκλαπείς, ἢ πάντως ⟨ζῶντα εἰς⟩ Ἕλληνας ἑλκύσαι ἠθέλησεν αὔξων τὸ κατόρθωμα, ἢ καὶ δι' οἰκονομίαν ὁ ποιητὴς σεσώκει δι' Ἀφροδίτης τὸν Πάριν. ἐλέλυτο γὰρ τὰ τῆς ὑποθέσεως τῶι ἐκείνου θανάτωι. ZYQAUJIG

1 φησιν YA || διατὶ δὲ ὁ μενέλαος A || 2 τὸ om A || 2-3 ἢ (om Y) ἔκφρων .. ἐκκλαπεὶς de Paride dicta deleverim || 3 τῶν λογισμῶν A || 3-4 πάντως .. ἑλκῦσαι J : πάντας .. ἐκλῦσαι || 3 suppl. Bekker, cf ι370ᵀ ἢ ζῶντα αὐτὸν ἑλεῖν βουλόμενος || 4 ἠθέλησεν ZAU : ἐθέλησεν YQ ||

Γ 369/Zˢ λάβε: ἔλαβεν, ἐκράτησεν. ZYQ

Γ 370/Zˢ ἐπιστρέψας: ἐπιστραφείς. ZYQ

Γ 370/Zˢ μετ' Ἀχαιούς: εἰς τοὺς Ἕλληνας. ZYQ

Γ 371/Zˢ ἄγχε: ἦγχε, ἔπνιγεν. ZYQ

Γ 371/Zˢ πολύκεστος: πολυκέντητος, πολύρραφος, ποικίλος· ἐντεῦθεν καὶ ὁ τῆς Ἀφροδίτης ἱμὰς προσηγορεύθη κεστός. ZYQIG, ~ Ak ὅτι ...

Γ 371/Zˢ ἱμάς: λῶρος. ZYQ

Γ 371/Zˢ ἁπαλήν: τρυφεράν· αἰνίττεται δὲ διὰ τῆς λέξεως τὸ ἀσθενὲς τοῦ Ἀλεξάνδρου. ZYQI~G

Γ 371/Zˢ ὑπὸ δειρήν: ὑπὸ τὸν τράχηλον. ZYQ

Γ 372/Zˢ ὅς οἱ: ὅστις αὐτῶι. ZYQ

Γ 372/Zˢ ὑπ' ἀνθερεῶνος: ὑπὸ τὸ γένειον τόπου· εἴρηται δὲ ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐξανθεῖν τὰ γένεια. ZYQIG

1 ⟨τοῦ⟩ ὑπὸ Y = A 501𝔇 || .. τόπος QL ||

Γ 372/Zˢ ὀχεύς: ὁ συνέχων (=Aʳ) καὶ σφίγγων τὴν περικεφαλαίαν ἱμάς. ZYQ

ἱμὰς τῆς περικεφαλαίας ApS ||

Γ 372/Zˢ τέτατο: ὑπετέτατο, ἔσφιγκτο. ZYQ

Γ 372/Zˢ τρυφαλείης: τῆς περικεφαλαίας τρεῖς φάλους ἐχούσης. ZYQ

τῆς γ' λόφους ἐχουσης περικεφαλαίας Y ||

Γ 373/Zˢ καί νύ κεν: καὶ παρ' ὀλίγον ἄν. ZYQ

Γ 373/Zˢ εἴρυσεν (= β 389𝔇, εἴρυσσεν Hom. = Qλ): εἵλκυσεν. ZYQ

Γ 373/Zˢ καὶ ἄσπετον: καὶ πολύ. ZYQ

πολύν Z ≃ Π 300𝔇, πολλήν YQ ||

Γ 373/Zˢ ἤρατο: ἀπηνέγκατο, ἐκτήσατο. ZYQ

Γ 373/Zˢ κῦδος: δόξαν. ZYQ

Γ 374/Zˢ εἰ μὴ ἄρ': εἰ μὴ δή. ZYQ

Γ 374/Zˢ ὀξὺ νόησεν: ὀξέως καὶ ταχέως ἐθεάσατο. ἰστέον δὲ ὅτι κατὰ μὲν Ἡσίοδον ἡ Ἀφροδίτη γίνεται ἐκ τοῦ Οὐρανοῦ τῶν αἰδοίων καὶ τῆς θαλάσσης (Theog. 188ss.), κατὰ δὲ Ὅμηρον Διώνης καὶ Διός (E 370s et 428). ZYQU~IˢG

Γ 375/Zˢ ἥ οἱ: ἥτις αὐτῶι. ZYQ

Γ 375/Zˢ ῥῆξε: διέρρηξεν, ἔκοψεν. ZYQ

Γ 375/Zˢ ἶφι κταμένοιο: ἰσχυρῶς καὶ μετὰ βίας ἀναιρεθέντος, τουτέστιν σφαγέντος· τὰ γὰρ τῶν θνησιμαίων ζώιων δέρματα ἀσθενῆ ἐστιν, ὡς ἂν προδιαφθαρέντα ὑπὸ τῆς νόσου. ZYQAUIᵐ ~ Epim. κ 66

Γ 376/$Z^s$+$Q^s$ κεινή: κενή Ἰακῶς. ZYQ$T^r$ | δίχα τῆς τοῦ Ἀλεξάνδρου κεφαλῆς. QG ($A^r$ ματαία ~ Θ 230𝔇, EtM 503,22)

Γ 376/$Z^s$ ἕσπετο: ἠκολούθει. ZYQ

Γ 376/$Z^s$ παχείηι: τῆι ἰσχυρᾶι. ZYQ$T^r$

Γ 378/$Z^s$ ῥίψε (ῥίψ' codd. Hom.): ἔρριψεν. ZYQ

Γ 378/$Z^s$ ἐπιδινήσας: δινήσας, ἐπιστραφείς. ZYQ

ἐπιδεινήσας $Z^λ$ || δεινήσας Z ||

Γ 378/$Z^s$ κόμισαν: ἦραν, ἐβάστασαν. ZYQ

Γ 378/$Z^s$ ἐρίηρες: εὐάρμοστοι, σπουδαῖοι. ZYQ

Γ 379/$Z^s$ ἂψ ἐπόρουσε: ἐκ δευτέρου ἐφώρμησεν. ZYQ

ἀπόρουσεν (= Ε 836) $Q^λ$ ||

Γ 379/$Z^s$ κατακτάμεναι: ἀποκτεῖναι. ZYQ

Γ 379/$Z^s$ μενεαίνων: προθυμούμενος. ZYQ (etiam post 375 ἶφι κταμένοιο ZY)

Γ 381/$Z^s$ ῥεῖα: ῥαδίως, εὐκόλως. ZYQ

Γ 381/$Z^s$ ὥς τε θεός: ὡς θεός. ZYQ

Γ 381/$Z^s$ ἠέρι: ἀορασίαι, σκότει. 'ἐξήρπαξεν' (380) δὲ ἀφανῆ ἐποίησεν. ZYQ

lemma 'ἐξήρπαξεν'pro δὲ YQ ||

Γ 382/$Z^s$ εἷσεν: ἐκάθισεν δέ. ZYQ ≃ Α 311𝔇

εἷσεν (= Ι 200) $Z^λ$ : κὰδ' δ' εἷσ' ἐν $YQ^λ$ = Hom. ||

Γ 382/$Z^s$ θαλάμωι: οἴκωι. Z = Δ 143𝔇

Γ 382/$Z^s$ εὐώδεϊ: εὐόδμωι. ZYQ

Γ 382/$Z^s$ κηώεντι: τεθυμιαμένωι, ἢ πρὸς τὸ κεῖν, τουτέστι κοιμᾶσθαι, ηὐτρεπισμένωι. ZYQ$I^i$

2 εὐτρεπισμένωι YQ ||

Γ 383/$Z^s$ καλέουσα: ἀντὶ τοῦ καλέσουσα (= $T^i$), ἄξουσα. ZYQ

Γ 383/$Z^s$ ἴε: παρεγίνετο, ἐπορεύετο. ZYQ

παρεγένετο YQ ||

Γ 383/$Z^s$ κίχανε: κατέλαβεν, εὗρεν. ZYQ

Γ 384/$Z^s$ πύργωι: ἐπὶ τῶι τείχει. ZYQ

Γ 384/$Z^s$ περὶ δέ: περὶ αὐτὴν δέ. ZYQ

Γ 384/$Z^s$ Τρωιαί: αἱ Τρωϊκαὶ γυναῖκες. ZYQ$T^r$

Γ 384/$Z^s$ ἅλις: ὁμοῦ πολλαί. ZYQ

Γ 385/$Z^s$ νεκταρέου: θείου. ZYQ$A^r$$T^r$

Γ 385/$Z^s$ ἑανοῦ: λεπτοῦ ἱματίου, παρὰ τὸ ἕννυσθαι, ὅ ἐστιν ἐνδύεσθαι (~$I^s$$T^r$). 'ἐτίναξε' δὲ ἔσεισεν. ZYQ ($A^r$ ποικίλον)

1 λεπτοῦ : λευκοῦ $T^r$ || 1-2 lemma 'ἐτίναξε δὲ' Z : duo scholia YQ ||

Γ 386/$Z^s$ γρηΐ: γραΐδι. ZYQ

Γ 386/$Z^s$ μιν: αὐτήν. ZYQ

Γ 386/$Z^s$ εἰκυῖα: ὁμοιωθεῖσα. ZYQ

Γ 386/$Z^s$ παλαιγενέϊ: πρὸ πολλοῦ χρόνου γεναμένηι (~G), πρεσβύτιδι. ZYQ

γενομένη Y, γεγεννημένη Q ||

Γ 387/$Z^s$ εἰροκόμωι: ἐρίων ἐπιμελουμένηι, ἐριουργῶι. εἴρια γὰρ τὰ ἔρια. ZYQ

εἰρίων Y ||

Γ 387/$Z^s$ ἥ οἱ: ἥτις αὐτῆι. ZYQ

Γ 387/$Z^s$ ναιεταώσηι: κατοικούσηι. ZYQ

Γ 388/$Z^s$ ἤσκειν: εἰργάζετο. ZYQ$T^r$

ἤσκει $Z^λ$ 0 v.l. ||

Γ 388/$Z^s$ καλά: ἀντὶ τοῦ καλῶς. ZYQ

Γ 388/Z$^{s}$ φιλέεσκεν: ἐξαιρέτως δὲ αὐτὴν ἐφίλει. ZYQ
δὲ αὐτὴν om Y ||

Γ 389/Z$^{s}$ τῆι: ταύτηι τῆι γραΐ. ZYQ
γραΐδι YQ ||

Γ 389/Z$^{s}$ ἐειδομένη (~ Γ 122𝔇, ἐειcαμένη Hom. = YQ$^{λ}$): ὡμοιωμένη. ZYQ
ὁμοιωμένη Z, ὁμοιωθεῖcα Y = Γ 122𝔇 ||

Γ 390/Z$^{s}$ δεῦρ' ἴθι: δεῦρο ἄπιθι. ZYQ

Γ 390/Z$^{s}$ οἶκον δέ: εἰc τὸν οἶκον. ZYQ

Γ 391/Z$^{s}$ κεῖνοc: ἐκεῖνοc. ZYQ

Γ 391/Z$^{s}$ δινωτοῖcι: ἤτοι πεποικιλμένοιc, ἢ κατὰ cυcτροφὴν τετορνευμέναιc κοίταιc. ZYQI ~ Epim. δ 48. A$^{ti}$ τετορνευμένοιc.
δεινωτοῖcι Z$^{λ}$ || 1 τετορευμέναιc Z ||

Γ 392/Z$^{s}$ κάλλεϊ: κάλλει. ZYQ

Γ 392/Z$^{s}$ cτίλβων: λάμπων. ZYQ

Γ 392/Z$^{s}$ καὶ εἵμαcι: καὶ τοῖc ἱματίοιc. ZYQ

Γ 392/Z$^{s}$ οὐδέ κε φαίηc: οὐδὲ ἂν εἴποιc. ZYQ

Γ 393/Z$^{s}$ μαχεccάμενον: μαχεcθέντα. ZYQ

Γ 393/Z$^{s}$ χορόνδε ἔρχεcθαι: ἀλλὰ εἰc χορὸν ἀπέρχεcθαι. ZYQ
ἀλλὰ om Y ||

Γ 394/Z$^{s}$ ἠὲ χοροῖο: ἢ ἐκ χοροῦ. ZYQ

Γ 394/Z$^{s}$ νέον: νεωcτί. ZYQ
νεωcτει Z ||

Γ 394/Z$^{s}$ λήγοντα: πεπαυμένον. ZYQ

Γ 394/Z$^{s}$ χατίζειν (καθίζειν Hom.): χρήιζειν. ZYQ ≃ B 225𝔇

Γ 395/Z$^{s}$ τῆι δ' ἄρα: ταύτηι δή. ZYQ
ταύτηι δή : ταυτα Z ||

Γ 395/Z$^{s}$ θυμόν: τὴν ψυχήν. ZYQ

Γ 395/Z$^{s}$+Q$^{s}$ ὄρινεν: διετάραξεν, τουτέcτιν εἰc ἔρωτα αὐτὴν ἤγαγεν. ZYQI ~ ApS 122 | τὸ $\overline{ο}$ μικρὸν διὰ τὸ μέτρον. Q = Δ 208/Q$^{s}$
1 αὐτοῦ Y ||

Γ 396/Z$^{s}$ καί ῥ' ὡc οὖν ἐνόηcεν: καὶ δὴ ὡc ἐθεάcατο. ZYQ

Γ 396/Z$^{s}$ περικαλλέα: τὸν πάνυ καλόν. ZYQ = Γ 262𝔇
πάνυ καλήν Y ||

Γ 396/Z$^{s}$ δειρήν: τράχηλον. ZYQ

Γ 397/Z$^{s}$ ἱμερόεντα: ἐπιθυμητά, ἐράcμια. ZYQ

Γ 397/Z$^{s}$ ὄμματα: ὀφθαλμούc. Z = Γ 217𝔇 | 'μαρμαίροντα' δὲ λάμποντα. ZYQ
lemma 'μαρμαίροντα δὲ' Z : duo scholia YQ ||

Γ 399/Z$^{s}$ δαιμονίη: μακαρία. ZYQT$^{r}$

Γ 399/Z$^{s}$ λιλαίεαι: ἐπιθυμεῖc. ZYQ

Γ 399/Z$^{s}$ ἠπεροπεύειν: ἀπατᾶν. ZYQX

Γ 400/Z$^{s}$ ἦ πῄ με: ἢ πάλιν πώποτέ με. ZYQXI

Γ 400/Z$^{s}$ προτέρω: πορρωτέρω (=T$^{r}$), ἐcωτέρω. ZYQX

Γ 400/Z$^{s}$ εὖ ναιομενάων: καλῶc οἰκουμένων. ZYQX

Γ 401/Z$^{s}$+Y$^{s}$ ἄξειc: ἀπαγάγοιc. Z | ἀπάξειc. YQX

Γ 401/Z$^{s}$ Μηιονίηc: Λυδίαc. Μήιονεc γὰρ ἐκαλοῦντο οἱ Λυδοὶ (=T$^{r}$) τὸ παλαιόν, εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυοc, ὥc φηcιν Ἡρόδοτοc ἐν A (1,7,3). ZYQ(X)AI
1 εἶτα λυδοὶ om Y || 2 ἡρόδοτοc ἐν $\overline{α}$ : ἡρωδιανόc A ||

Γ 402/Z$^{s}$ κἀκεῖθι: κἀκεῖ. ZYQX

Γ 404/Z$^s$ στυγερήν: μισητήν. ZYQX

Γ 404/Z$^s$ ἄγεσθαι: ἀπαγαγεῖν. ZYQX

ἀγέσθαι YQX$^λ$ ||

Γ 405/Z$^s$ δολοφρονέουσα: δόλια φρονοῦσα. ZYQX

Γ 406/Z$^s$ ἧσο: κάθησο. 'παρ' αὐτὸν' δὲ ἀντὶ τοῦ ἐγγὺς αὐτοῦ. ZYQX

κάθισο Z || lemma 'παρ' αὐτὸν δὲ' Z : duo scholia QX ||

Γ 406/Z$^s$ ἰοῦσα: πορευθεῖσα. ZYQX

Γ 406/Z$^s$ θεῶν δ' ἀπόειπε κελεύθους: ἀπάρνησαι (=T$^r$) δὲ καὶ ἐπιλαθοῦ δι' αὐτὸν τὴν συνδιαγωγὴν τῶν θεῶν. ZYQXIG

Γ 406/Z$^s$ κελεύθους: τὰς ὁδούς. ZYQX

Γ 407/Z$^s$ μηδ' ἔτι σοῖσι πόδεσσι: καὶ μηκέτι τοῖς ποσίν σου ὑποστρέψῃς εἰς τὸν Ὄλυμπον. ZYQX

1 ὑποστρέψεις Z : ὑπόστρεφε YQX ||

Γ 408/Z$^s$ περὶ κεῖνον: περὶ ἐκεῖνον, τὸν Ἀλέξανδρον. ZYQX

Γ 408/Z$^s$ ὀΐζυε: κακοπάθει (=T$^r$), ταλαιπώρει καὶ φύλασσε αὐτόν. ZYQX

ταλαιπώρει κακοπάθει YX || αὐτὸν om Y ||

Γ 409/Z$^s$ εἰς ὅ κεν: ἕως ἄν. ZYQX

Γ 410/Z$^s$ κεῖσε δ': εἰς ἐκεῖνον δὲ τὸν τόπον, ὅπου ἐκεῖνός ἐστιν, οὐκ ἄπειμι. τὸ δὲ πάθος ἀποκοπή. ZYQXI

Γ 410/Z$^s$ οὐκ εἶμι: οὐ παραγίνομαι. ZYQX

Γ 410/Z$^s$ νεμεσσητόν δέ κεν εἴη: μέμψεως γάρ μοι τοῦτο ἄξιόν ἐστιν. ZYQ

Γ 411/Z$^s$ πορσανέουσα: ἑτοιμάσουσα (= A$^r$), παρασκευάσουσα. ZYQX

Γ 411/Z$^s$ ὀπίσσω: εἰς τὸν μετὰ ταῦτα χρόνον. ZYQX

ὀπίσω Z$^λ$ ||

Γ 412/Z$^s$+Q$^s$ πᾶσαι: ὅλαι. 'μωμήσονται' δὲ ψέξουσιν, ZYQX | μέμφονται (≃ ζ 274𝔇). QX

lemma 'μωμήσονται δὲ' Z : duo scholia YQX ||

Γ 412/Z$^s$ ἄχεα: λύπας. ZYQX

Γ 412/Z$^s$ ἄκριτα: ἀδιαχώριστα (ApS 19,30), πολλά. ZYQX

Γ 414/Z$^s$ μή μ' ἔρεθε: μή με παρόξυνε. ZYQXI

ἐρέθιζε Y$^λ$ = A 32𝔇 ||

Γ 414/Z$^s$ σχετλίη: σχετλιασμοῦ καὶ μίσους ἀξία. ZYQX

Γ 414/Z$^s$ χωσαμένη: ὀργισθεῖσα. ZYQX

Γ 414/Z$^s$ μεθείω: ἀμελήσω, καταλείψω σε. ZYQXI

Γ 415/Z$^s$ τὼς δέ σε: οὕτως δέ σε. ZYQX

Γ 415/Z$^s$ ἀπεχθήρω: μισήσω. ZYQXT$^r$

Γ 415/Z$^s$ ἔκπαγλα: ἐκπληκτικῶς, ἐξόχως. ZYQX

Γ 416/Z$^s$ μητίσομαι: βουλεύσομαι, μηχανήσομαι. ZYQX

Γ 416/Z$^s$ ἔχθεα: ἔχθρας, μίση. ZYQX

Γ 416/Z$^s$ λυγρά: χαλεπά. ZYQXI

Γ 417/Z$^s$ κακὸν οἶτον: κακὸν μόρον. ZYQX (A$^r$ θάνατον = Θ 34𝔇)

Γ 417/Z$^s$ ὄληαι: ἀπόληι. ZYQX

ἀπώλῃ Z ||

Γ 419/Z$^s$ κατασχομένη: κατακαλυψαμένη. ZYQXT$^r$

Γ 419/Z$^s$ ἑανῶι: λεπτῶι ἱματίωι. ZYQX

Γ 419/Z$^s$ ἀργῆτι: λαμπρῶι, λευκῶι. ZYQXT$^r$

Γ 419/Z$^s$ φαεινῶι: στιλπνῶι. ZYQX

Γ 420/Z$^s$ Τρωιάς: Τρωϊκάς. ZYQX

Γ 420/Z$^s$ λάθεν: ἔλαθεν. ἀφαίρεσις τοῦ $\overline{ε}$. ZYQ

Γ 420/$Z^s$ ἦρχεν: προηγεῖτο. ZYQX$T^r$

Γ 420/$Z^s$ δαίμων: ἡ θεά. Z ≃ A 222𝔇

Γ 422/$Z^s$ ἀμφίπολοι: θεραπαινίδες. ZYQ

Γ 422/$Z^s$ θοῶς: ταχέως. ZYQ

Γ 422/$Z^s$ ἐπὶ ἔργα: ἐπὶ τὴν ἱστουργίαν. ZYQX

ἐπὶ$^λ$ om $Z^λ$ ||

Γ 422/$Z^s$ τράποντο: ἐτράπησαν, ὥρμησαν. ZYQ

Γ 423/$Z^s$ ὑψόροφον: ὑψηλόν. ZYQX

Γ 423/$Z^s$ ἵκεν (κίε Hom. = B 588𝔇): παρεγένετο. Z = B 458𝔇

↑ Γ 423/$Y^s$+$X^s$ κίε: ἐπορεύετο. YQ | παρεγένετο. X

Γ 424/$Z^s$ φιλομμειδής: ἡ φιλόγελως, ἱλαρὰ καθ' Ὅμηρον, κατὰ δὲ Ἡσίοδον 'ὅτι μηδέων ἐξεφαάνθη', ὅ ἐστιν τῶν αἰδοίων (Theog. 200). ZYQ$U^i$*$I^m$G

1 ⟨ἡ⟩ ἱλαρὰ Y ||

Γ 425/$Z^s$ ἀντία: ἐξ ἐναντίας. ZYQX

Γ 425/$Z^s$ κατέθηκεν: ἔθηκεν. ZYQX

Γ 425/$Z^s$ φέρουσα: ἐνεγκοῦσα. ἔλαβε δὲ ἐνεστῶτα ἀντὶ παρεληλυθότος. ZYQX~GI. cf N 229$^T$ ἐνεστὼς ἀντὶ τοῦ παρωιχημένου, ἀντὶ μέλλοντος.

Γ 427/$Z^s$ ὄσσε πάλιν κλίνασα: εἰς τοὐπίσω ἀποκλίνασα ZYQX | καὶ ἀποβλέψασα. ZQX

Γ 427/$Z^s$ ὄσσε: ὀφθαλμούς δυϊκῶς. ZQX

Γ 427/$Z^s$ πάλιν: εἰς τὰ ὀπίσω. ZYQX

Γ 427/$Z^s$ πόσιν: τὸν ἄνδρα. ZYQX

Γ 427/$Z^s$ ἠνίπαπε: ἐκακολόγησεν (= $T^i$), ὕβρισεν. ZYQX

Γ 428/$Z^s$ ἤλυθες: ἦλθες, παρεγένου. ZYQX

Γ 428/$Z^s$ ὡς ὤφελες: εὐκτικῶς 'εἴθ' ὄφελες'. ZYQX. $T^i$ τὸ ω͞ς ἀντὶ τοῦ εἴθε.

ὄφελες $Z^λ$, A 415𝔇 αἴθ' ὄφελες "εἴθ' ὤφειλες" || εὐκτικῶς om Y || ὄφειλες Y ||

Γ 428/$Z^s$ αὐτόθι: ἐκεῖσε. ZYQX

Γ 428/$Z^s$ ὀλέσθαι: ἀπολέσθαι, ἀποθανεῖν. ZYQX

Γ 429/$Z^s$ δαμείς: δαμασθείς, ἀναιρεθείς. 'ἀνδρὶ' δὲ ἀντὶ τοῦ ὑπὸ τοῦ ἀνδρός. ZYQX

lemma 'ἀνδρὶ' pro δὲ QX || τοῦ om YQX ||

Γ 429/$Z^s$ πρότερος: πρῶτός μου. ZYQX

μου L : σου ZYQX ||

Γ 430/$Z^s$ εὔχεο: ἐκαυχῶ. ZYQX

ἐγκαυχῶ Y ||

Γ 431/$Z^s$ σῆι τε βίηι: τῆι σῆι δυνάμει. ZYQX

Γ 433/$Z^s$ ἐξαῦτις: ἐκ δευτέρου. ZYQX

Γ 434/$Z^s$ κέλομαι: κελεύω. (Z κελεύσω) YQX

Γ 435/$Z^s$ ἀντίβιον: ἐξ ἐναντίας. ZYQX

Γ 436/$Z^s$ ἀφραδέως: ἀπροόπτως, ¦ ἀπείρως (= $T^i$). ZYQX

↑ Γ 436/$Z^s$ ἀφραδέως: ἀπείρως, ἀβούλως. (post 415) ZYQX

Γ 436/$Z^s$ δαμασθῆις: ἀναιρεθῆις. ZYQX

δαμασθείς (= Π 816)· ἀναιρεθείς Y ||

Γ 438/$Z^s$ χαλεποῖσιν: δεινοῖς. ZYQX

Γ 438/$Z^s$ ἔνιπτε: ἐπίπληττε (= $T^i$), ὀνείδιζε. ZYQX

ἔνιπε Y, ἔνιππε QX ||

Γ 439/$Z^s$ σὺν Ἀθήνηι: σὺν τῆι γνώμηι τῆς Ἀθηνᾶς. ZYQX

Γ 440/$Z^s$ πάρα γὰρ θεοί εἰσιν καὶ ἡμῖν: πάρεισιν καὶ ἡμῖν συμμαχοῦντες καὶ συναγωνιζόμενοι θεοί. ZYQX

Γ 441/Z$^{s}$ φιλότητι τραπείομεν: εἰς ἀφροδίσια τραπῶμεν. ZYQX

Γ 441/Z$^{s}$ εὐνηθέντες: συγκοιμηθέντες, κατακλιθέντες. ZYQX

Γ 442/Z$^{s}$ ἀμφεκάλυψεν: περιέλαβεν, κατέσχεν. ZYQX

Γ 443/Z$^{s}$ οὐδ' ὅτε σε πρῶτον: οὐδὲ ὁπότε σε τὴν ἀρχήν. ZYQX | 'Αλέξανδρος υἱὸς Πριάμου Τροίας βασιλέως, ὁ καὶ Πάρις ἐπικαλούμενος, 'Αφροδίτης ἐπιταγῆι ναυπηγήσαντος αὐτῶι ναῦς 'Αρμονίδου ἢ κατά τινας τῶν νεωτέρων Φερέκλου τοῦ τέκτονος μετὰ 'Αφροδίτης ἦλθεν εἰς Λακεδαίμονα τὴν Μενελάου πόλιν. ἐνταῦθα δὲ τὴν 'Ελένην ὀφθαλμοβολήσας 'Αφροδίτης αἱρέσει βληθεῖσαν {'Ελένην} δι' ἀλληλομαχίαν "Ερωτος, ἀναλαβὼν αὐτὴν σὺν τοῖς ἐν τῶι οἴκωι χρήμασιν ἦλθεν εἰς Σιδῶνα τῆς Φοινίκης. κἀκεῖ γάμου συζυγίαν ποιησάμενος ἧκεν ἔχων αὐτὴν εἰς "Ιλιον – μητρόπολις δὲ αὕτη τῆς Τροίας – ἔκ τε τῆς ἐνταῦθα διὰ τῶν ὅρκων καὶ συνθηκῶν ἀδικίας αὐτῆς πάλιν 'Αφροδίτης αἱρέσει κομίσας οἴκαδε συνεκοιμήθη ἀπροσδοκήτως πάλιν σύνευνον παρειληφώς, ὡς δηλοῖ ὁ ποιητὴς διὰ τῶν ἑαυτοῦ λόγων. ZYQXAUI$^{m}$G

3 ἢ κατά τινας : κατά τινας δὲ Y || 5 del. Dindorf || 6-7 ἦλθεν .. ποιησάμενος om Y || 7 συνουσίαν A || 8 {τῆς} τροίας YQXU ||

Γ 443/Z$^{s}$ Λακεδαίμονος: ἐκ τῆς Πελοποννήσου. ZYQX

ἐκ τῆς πελοποννήσου : ἐκ τῆς λακεδαίμονος Z ||

Γ 445/Z$^{s}$ νήσωι δ' ἐν Κρανάηι: παροξυτόνως, ἵνα κύριον ὄνομα γένηται (cf B 592𝔇+Hd, P 40𝔇+Hd)· δοκεῖ δὲ ἡ νῆσος τῆς 'Αττικῆς εἶναι, ὅθεν καὶ οὕτως πρότερον ἐκαλεῖτο ἀπὸ Κρανάου τοῦ βασιλέως τῆς 'Αττικῆς, νῦν ἀπὸ τῆς τοιαύτης μίξεως 'Ελένη καλεῖται. ZYQXUI$^{m}$G cf Ak

3 τοῦ om YQXU || νῦν ⟨δὲ⟩ Y ||

Γ 445/Z$^{s}$ φιλότητι καὶ εὐνῆι: φιλίαι, συνουσίαι. ZYQX

Γ 445/U$^{s}$ ⌞φιλότητι καὶ εὐνῆι⌟ ἐπὶ μὲν τῶν ἀξιόχρεων γάμων 'εὐνὴν καὶ φιλότητα' (≃ κ 335) ὀνομάζει· ἐπὶ δὲ Πηνελόπης καὶ πλέον τι 'λέκτροιο παλαιοῦ θεσμόν' (ψ 296)· ἐπὶ δὲ τῶν παρανόμων 'πλυνούσηι τις πρῶτον' (ο 420 πρῶτα), 'ἐμισγέσκοντο πάροιθεν' (υ 7). UIMG = 448/T$^{s}$

2 ἠλέκτροιο U || 3 πλυνοὺς ἢ τισὶ U ||

Γ 446/Z$^{s}$ ὥς σεο: ὡς σοῦ. ZYQX

Γ 446/Z$^{s}$ ἔραμαι: ἐρῶ, ἐπιθυμῶ. ZYQX

Γ 446/Z$^{s}$ ἵμερος: πόθος. ZYQX

↑ Γ 446/Z$^{s}$ ἵμερος: ἐπιθυμία, ἔρως. (post 441) ZYQX = Λ 89𝔇

Γ 446/Z$^{s}$ αἱρεῖ: καταλαμβάνει, κρατεῖ. ZYQX

Γ 447/Z$^{s}$ ἄρχε λέχοσδε: προηγεῖτο τῆς ἐπὶ τὴν κοίτην ὁδοῦ. ZYQXIT$^{r}$

Γ 447/Z$^{s}$ εἵπετο: ἠκολούθει. ZYQX

Γ 447/Z$^{s}$ ἄκοιτις: γαμετή, παράκοιτις. ZYQX

Γ 448/Z$^{s}$ τρητοῖς: τετρημένοις πρὸς τὴν τῶν σχοινίων δέσιν. ZYQX

Γ 448/Z$^{s}$ κατεύνασθεν: κατεκλίθησαν, Z (cf K 350𝔇 κλινθήτην) | ἐκοιμήθησαν. ZYQX

κατεκοιμήθησαν YQX ||

Γ 449/Z$^{s}$ ἀν' ὅμιλον: κατὰ τὸ πλῆθος. ZYQX

Γ 449/Z$^{s}$ ἐφοίτα: ἐνθουσιαστικῶς περιήρχετο. ZYQX

Γ 449/Z$^{s}$ θηρὶ ἐοικώς: λέοντι παραπλήσιος κατ' ἐξοχήν. ZYQX

Γ 450/Z$^{s}$ ἐσαθρήσειεν: ἴδοι, θεάσηται. ZYQX

Γ 451/Z$^{s}$ κλειτῶν: ἐνδόξων. ZYQX

Γ 453/Z$^{s}$ οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον: οὐ γὰρ διὰ φιλίαν αὐτὸν ἔκρυπτον. ZYQXG

Γ 453/Z$^{s}$ εἴ τις ἴδοιτο: εἴ τις αὐτὸν ἐθεάσατο. ZYQX

εἴ τις om Z$^{\lambda}$ ||

Γ 454/$Z^{s}$ ἶcον γάρ cφιν ⌊πᾶcιν⌋ἀπήχθετο κηρὶ μελαίνηι: πάντεc γὰρ αὐτὸν ἐμίcουν ὡc τὴν θανατηφόρον μοῖραν. ZYQX

Γ 454/$Z^{s}$ ἶcον: ἐξ ἴcηc. ZYQX

Γ 454/$Z^{s}$ cφιν: αὐτοῖc. ZYQX

Γ 454/$Z^{s}$ ἀπήχθετο: ἐμιcεῖτο. ZYQX

Γ 457/$Z^{s}$ νίκη μὲν δή: ἡ μὲν νίκη. ZY

Γ 457/$Z^{s}$ φαίνεται: φανερά ἐcτι. ZYQX. $T^{r}$ ὡμολόγηται.

φαίνετο $Z^{\lambda}$ ||

Γ 457/$U^{s}$ ⌊νίκη .. Μενελάου⌋ ὑπερέβη γὰρ τὸ μετρητὸν (scil. ὅ Ἀλέξανδροc) καὶ καλούμενοc ἄπεcτιν (=G). καὶ Τρῶεc μὲν ἕξουcι τὴν Ἀγαμέμνονοc ἐπίκουρον φωνὴν τὴν 'εἰ δέ κ' Ἀλέξανδρον κτείνηι' (Γ 284), Ἀχαιοὶ δὲ τὴν Ἕκτοροc, 'ὁππότεροc δέ κε νικήcηι' (Γ 71). καὶ γίνεται ἡ cτάcιc ῥητὸν καὶ διάνοια (Hermog. 1,9; Volkmann 88)· διὸ ἀμφοτέρων εὔλογον αἰτίαν ἐχόντων ἐπίcχεcιc καὶ πρὸc ὀλίγον ἐπίcκεψιc γίνεται τοῦ πολέμου. UI = $T^{s}A^{s}$, cf Porph. 66,16-67,20

ἐπίcκεψιc καὶ πρὸc ὀλίγον ἐπίcχεcιc TAI ||

Γ 459/$Z^{s}$+$Y^{s}$ ἔκδοτε: ἀποδώcατε. Z | ἀπόδοτε. YQX

Γ 459/$Z^{s}$ τιμήν: πρόcτιμον τοῦ πολέμου, ὅ ἐcτιν φόρον τινὰ καὶ cυντέλειαν. ZYQXI

Γ 459/$Z^{s}$ ἀποτινέμεν: ἐκτιννύειν, ἀποδιδόναι. ZYQX

ἐκτινύειν $ZY^{1}$ ||

Γ 459/$Z^{s}$ ἥν τιν' ἔοικεν: ἥντινα προcῆκεν. ZYQX

Γ 460/$Z^{s}$ πέληται: γένηται. ZYQX

Γ 461/$Z^{s}$ ἐπὶ δ' ἤινεον: ἐπῄνουν καὶ cυγκατετίθεντο τῆι γνώμηι αὐτοῦ. ZYQX

ΤΕΛΟC ΤΗC Γ.

ΑΡΧΗ ΤΗϹ Δ.

Δ 0/$Z^s$ ἔδοξε τοῖϲ θεοῖϲ τὴν Ἴλιον ἁλῶναι. διὸ Ἀθηνᾶ μὲν Μενέλαον τοξευθῆναι παρεϲκεύαϲεν. καὶ οὕτωϲ ϲυγχυθέντων τῶν ὅρκων Μαχάων μὲν ἰᾶται Μενέλαον, Ἀγαμέμνων δὲ ἀπελθὼν τὴν ϲτρατιὰν παρορμᾶι εἰϲ τὸν πόλεμον. ϲυμβολῆϲ δὲ γενομένηϲ πολλοὶ ἑκατέρωθεν ἀναιροῦνται. ZYQXUI

Δ 0/$Z^s$ τοῦ Ἀλεξάνδρου ἡττηθέντοϲ καὶ τοῦ Ἀγαμέμνονοϲ ἀπαιτοῦντοϲ κατὰ τὰϲ ϲυνθήκαϲ τήν τε Ἑλένην καὶ τὰ ϲὺν αὐτῆι ἁρπαγέντα κτήματα καὶ τὴν ὑπὲρ τοῦ ἀδικήματοϲ τιμωρίαν, ἐν Διὸϲ οἱ θεοὶ βουλεύονται περὶ τῆϲ Ἰλίου. καὶ Ζεὺϲ προτραπεὶϲ ὑπὸ τῆϲ Ἥραϲ ἀποϲτέλλει τὴν Ἀθηνᾶν εἰϲ τὸ τῶν Τρώων ϲτράτευμα, ϲύγχυϲιν τῶν ὅρκων ἐργαϲομένην. ἡ δὲ παραγενομένη πείθει Πάνδαρον τὸν Ζελείτην τοξεῦϲαι τὸν Μενέλαον. καὶ βληθέντοϲ αὐτοῦ Ἀγαμέμνων ὀδύρεται καὶ Μαχάονα τὸν ἰατρὸν μεταπέμπεται. καὶ ἔτι περὶ τὴν θεραπείαν τοῦ Μενελάου ἀϲχολουμένων τῶν ἀρίϲτων ἐπίαϲιν οἱ Τρῶεϲ ϲὺν ὅπλοιϲ. Ἀγαμέμνων δὲ ἐπιὼν τὸ ϲτρατόπεδον τοὺϲ μὲν ἤδη παραταϲϲομένουϲ παρακαλεῖ καὶ ἐπαινεῖ, τοῖϲ δὲ ἀγνοοῦϲι τὴν ἔφοδον τῶν πολεμίων ἐπιπλήϲϲει. καὶ οὕτωϲ ϲυμπεϲόντων αὐτῶν εἰϲ τὴν μάχην ἑκατέρωθεν πίπτουϲι πολλοί. ZYQXUI

2 χρήματα Y || 3 ἐν : ἐκ Z || 7 τοῦ om YQX ||

Δ 1/$Z^s$+$Y^s$ πὰρ Ζηνί: παρὰ τῶι Διί. παρεϲχημάτιϲται δὲ τὸ Ζεύϲ, ὁ Ζήν (Hd. Mon. lex. 6,15 = Hd 3,2,922,13). ZYQXI | τὸ πάθοϲ ἀποκοπή (= A 426𝔇 δῶ). YQXTI

1 παρεϲχημάτιϲθαι Z ||

Δ 1/$Z^s$ ἠγορόωντο: διελέγοντο, ἐκκληϲιάζοντο. ἀπὸ τοῦ ἀγορεύειν, ἐξ οὗ ἠθροίζοντο. ZYQ$U^m$*I

Δ 2/$Z^s$+$Q^s$ χρυϲέωι ἐν δαπέδωι: ἀντὶ τοῦ ἐν τῶι κεχρυϲωμένωι καὶ καλῶι ἐδάφει, οἴκωι. ZYQX$U^m$$I^i$ ~$I^s$ | καταχρηϲτικῶϲ δὲ φηϲίν· κυρίωϲ γὰρ δάπεδον ἐπὶ γῆϲ λέγεται. ZIG(Y$U^m$) | πῶϲ οὖν τὸν οὐρανὸν πολύχαλκον λέγει (E 504) καὶ πάλιν χρυϲοῦν, ὡϲ τὸ 'χρυϲέωι ἐν δαπέδωι' (=G); ἰϲτέον οὖν ὅτι ὅταν μὲν ϲτερεὸν λέγειν βούληται, τότε πολύχαλκόν φηϲιν, ὅταν δὲ καλόν, χρυϲοῦν QXAUIG = Porph. 82,20 | λέγει τὸν οὐρανόν, 'χρυϲέωι ἐν δαπέδωι'. QX

1-2 {ἐδάφει} οἴκω. ⟨ἐν δαπέδω· ἐν τῶ ἐδάφει⟩ Y || 3 πῶϲ ... δαπέδωι om Q, cf finem scholii || .. οὖν om A || 4 οὖν : δὲ A || βούλεται λέγειν A || 4-5 ὅταν μὲν .. ὅταν δὲ = 𝔓Ryl 1,26 (Apio) s.vv. ὀμφαλόϲ, ὄνειροϲ, ὅπλα ||

Δ 2/$Z^s$ μετὰ δέ ϲφιϲιν: ἐν αὐτοῖϲ δέ. ZYQX

Δ 2/$Z^s$ πότνια: ϲεβαϲμία, ἔντιμοϲ. ZYQX

Δ 2/$Z^s$ Ἥβη: Ἥραϲ θυγάτηρ, Ἡρακλέουϲ δὲ γυνή. ἐζήτηται δι' ἣν αἰτίαν οὐ πάρεϲτιν Γανυμήδηϲ, ὢν οἰνοχόοϲ τοῦ Διόϲ· ἔνιοι μὲν οὖν φαϲὶν ὅτι Διὸϲ μόνου ὢν διάκονοϲ, οὐκ ἐξῆν αὐτὸν κοινῶϲ πᾶϲιν οἰνοχοεῖν, ἡ δὲ Ἥβη εὐλόγωϲ, ὅτι κοινὴ πᾶϲιν ἐϲτίν. ἔνιοι δέ φαϲιν ὅτι ϲκέψεωϲ περὶ τῆϲ Ἰλίου πορθήϲεωϲ γιγνομένηϲ εὐοικονομήτωϲ ἄπεϲτιν τοῦ ϲυνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸϲ αὐτὸν χάριν, ἢ μόνωι δόξηι τι οἰκτίζεϲθαι. διὰ τί δὲ καὶ μόνωι τῶι Διὶ Γανυμήδηϲ ὑπηρετεῖ; ῥητέον οὖν ὅτι Ἥβη μὲν ἅπαϲι διακονεῖ, ἐπεὶ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾶι· τοῦτο γὰρ βούλεται αὐτοῖϲ ἥ τε ἀμβροϲία τιϲ οὖϲα καὶ τὸ νέκταρ, παρὰ τὸ "νεάζειν" γεγενημένον. Γανυμήδηϲ δὲ ὑπηρετεῖ μόνωι τῶι Διί, ὅτι ὁ μὲν Ζεὺϲ ὁ πρῶτοϲ ἐϲτὶ νοῦϲ, μόνοϲ δὲ νοῦϲ οἰκεῖον ἔχει τὸ τοῖϲ μήδεϲι γάνυϲθαι· τοῦτο γὰρ ὁ Γανυμήδηϲ. ZYQXUIG$T^r$

1 διὰ ποίαν Y || 2 ὢν : ὁ Y || μόνου : μόνοϲ Z || 3 κοινῶϲ om YQX || 4 γενομένηϲ Y || 6 δόξει Z : δείξῃ YQX || 7 ὑπερετεῖ Z || ἥβη μὲν ἅπαϲι : ἅπαϲι ἡ ἥβη Y || 8 ἀμβροϲία ⟨ἀβροϲία⟩ L = EtGu "οἱονεὶ ἀβροϲία" || 9 ὑπηρετῆ Z || ὅτι om QX ||

Δ 3/$Z^s$ νέκταρ: τὸ πόμα τῶν θεῶν. ZYQX

τῶν θεῶν πόμα YQX ||

Δ 3/$Z^s$ ἐωινοχόει: ἀντὶ τοῦ ἐνέχει, ἐκίρνα. ἔϲτι δὲ ὁ τρόποϲ κατάχρηϲιϲ (~$T^s$)· κυρίωϲ γὰρ οἰνοχοεῖν ἐπὶ οἴνου λέγεται. ZYQXIG

Δ 3/Z^s τοὶ δέ: οὗτοι δέ. 'δεπάεσσι' δὲ ἐκπώμασι, ποτηρίοις. ZYQX
lemma 'δεπάεσσι δὲ' Z : duo scholia YQX ||

Δ 4/Z^s δειδέχατο: ἐφιλοφρονοῦντο, ¦ ἐδεξιοῦντο (=I^s). ZYQX

Δ 4/Z^s Τρώων πόλιν: τὴν Ἴλιον. ZYQX

Δ 4/Z^s εἰσορόωντες: ὁρῶντες, βλέποντες. ZYQX

Δ 5/Z^s ἐπειρᾶτο: ἀπόπειραν ἐποιεῖτο. ZYQX

Δ 5/Z^s ἐρεθιζέμεν: ἐρεθίζειν, παροξύνειν. ZYQX

Δ 6/Z^s κερτομίοις: ἐρεθιστικοῖς, χλευαστικοῖς. ἢ ἀποτόμοις, τὸ κέαρ τέμνουσιν, ὅ ἐστι τὴν ψυχήν. ZYQX
κερτομίους Z^λ ||

Δ 6/Z^s παραβλήδην: παραβολάδην, ἀπατητικῶς (~ ApS 128,5) {οἷον παραβαλὼν τὴν ἀρχὴν τοῦ λόγου πρὶν ἐκείνην ἀποσιωπῆσαι}. ZYQXI~G
1-2 delevi interpretationem hic non idoneam, cf A 292𝔇 ὑποβλήδην· ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονος πρὶν ἢ σιωπήσει αὐτὸς εἰπών || σιωπῆσαι Y ||

Δ 7/Z^s δοιαί: δύο. ZYQX

Δ 7/Z^s ἀρηγόνες: βοηθοί. ZYQX

Δ 7/Z^s θεάων: τῶν θεῶν. ZYQX

Δ 8/Z^s Ἥρη τ' Ἀργείη: ἡ ἐν Ἄργει τῆς Πελοποννήσου πολὺ τιμωμένη Ἥρα. ZYQXU

Δ 8/Z^s καὶ Ἀλαλκομενηΐς: ἡ ἀλάλκουσα τῶι μένει, ὅ ἐστιν ἐπιβοηθοῦσα τῆι δυνάμει (~ ApS 22,8). ἢ ἡ ἐν Ἀλαλκομεναῖς πόλει τῆς Βοιωτίας τιμωμένη, ἔνθα καὶ Ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν, ¦ ἢ ἀπὸ Ἀλαλκομενηΐου ὄρους τῆς Ἀττικῆς (~ ApS), ἢ παρὰ Ἀλαλκομένει τραφεῖσα Βοιωτῶι. ZYQXUIGT^r ~ EtM 56, 8
1 τῆι δυνάμει om YQXUT^r || 2 ἡ om YQXU || ἀλαλκομεναῖ Z || 3 ἀλαλκομενίου Y || ἀλαλκομένηϊ Y ||

Δ 9/Z^s ἀλλ' ἤτοι ταί: ἀλλὰ γὰρ αὗται μέν. ZYQX
ταί om Z^λ ||

Δ 9/Z^s νόσφι: χωρίς. ZYQX

Δ 9/Z^s εἰσορόωσαι: ὁρῶσαι, βλέπουσαι. ZYQX

Δ 10/Z^s τέρπεσθον: τέρπονται δυϊκῶς. ZYQX

Δ 10/Z^s τῶι δ' αὖτε: τούτωι δὲ δή. ZYQX

Δ 10/Z^s φιλομμειδής: ἡ φιλοῦσα τὰ μήδεα κατὰ Ἡσίοδον, ὅτι μηδέων ἐξεφαάνθη (Theog. 200), ἢ ἡ φιλόγελως. ZYQX
1 ⟨ἢ⟩ κατὰ Y ||

Δ 11/Z^s παρμέμβλωκεν: παραμένει (=T^r), πάρεστιν. ZYQX

Δ 11/Z^s ἀμύνει: ἀποτρέπει, ἀποσοβεῖ. ZYQX

Δ 12/Z^s ἐξεσάωσεν: ἔσωσεν. ZYQ
ἐξέσωσεν Y ||

Δ 12/Z^s ὀϊόμενον: ὑπολαμβάνοντα, προσδοκῶντα. ZYQ

Δ 12/Z^s θανέεσθαι: ἀποθανεῖν. ZYQ

Δ 13/Z^s ἀλλ' ἤτοι νίκη μέν: ἀλλ' ἡ μὲν νίκη. ZYQ

Δ 14/Z^s φραζώμεθα: βουλευώμεθα, σκεπτώμεθα. ZYQ

Δ 14/Z^s ὅπως: ὃν τρόπον. ZYQ

Δ 15/Z^s ἤ ῥ' αὖτις: ἢ ἐκ δευτέρου. ZYQT^r

Δ 15/Z^s φύλοπιν: μάχην τὴν κατὰ τὰ πλήθη. ZYQ

Δ 15/Z^s αἰνήν: δεινήν, χαλεπήν. ZYQ

Δ 16/Z^s ὄρσομεν: διεγείρωμεν, ἐμβαλοῦμεν. ZYQ
ὀρσωμεν Z^λ || διεγείρομεν Y ||

Δ 16/Z^s μετ' ἀμφοτέροισιν: ἐν ἀμφοτέροις, ¦ Τρωσὶν καὶ Ἕλλησιν (=T^r). ZYQ

Δ 17/$Z^s$ εἰ δ' αὔτωϲ: εἰ δὲ οὕτωϲ. ZYQ

Δ 18/$Z^s$ ἤτοι μὲν οἰκέοιτο: οὕτωϲ γὰρ ἂν οἰκοῖτο. ZYQ

Δ 19/$Z^s$ ἄγοιτο: ἐπανάγοιτο. ZYQ

Δ 20/$Z^s$ ἐπέμυξαν: μεμυκόϲι τοῖϲ χείλεϲιν ἐπεϲτέναξαν (~T), ὃ πάϲχουϲιν οἱ ὀργιζόμενοι (=$I^i$) καὶ μηδὲν ποιεῖν δυνάμενοι. ZYQG

Δ 21/$Z^s$ πληϲίαι: ἐγγύϲ. ZYQ

Δ 21/$Z^s$ αἵ γε: αὗται. ZQ

Δ 21/$Z^s$ ἥϲθην: ἐκαθέζοντο δυϊκῶϲ. ZYQ

Δ 21/$Z^s$ μεδέϲθην: ἐβουλεύοντο, διενοοῦντο. ZYQ

Δ 22/$Z^s$ ἦτοι Ἀθηναίη: ἡ μὲν Ἀθηνᾶ. ZYQ

Δ 22/$Z^s$ ἀκέων: ἀντὶ τοῦ ἀκέουϲα (= Ak ὅτι ...) καὶ ἥϲυχοϲ ἦν. ZYQI~G | κεῖται δὲ ἀντὶ μεϲότητοϲ τῆϲ ἀκήν· τίθηϲι γὰρ αὐτὸ καὶ ἐπὶ πληθυντικῶν 'ἀλλ' ἀκέων δαίνυϲθε καθήμενοι' (φ 89) ZYQIGM

1 καὶ ZY (cf Δ 64 l. 1 et 3) : ἢ Q, ἤγουν L, ὅ ἐϲτιν Kerkhof || 2 ἀκήν Nicole = Δ 429𝔇 (cf Ψ 287/Ak ἀντὶ μεϲότητοϲ τοῦ "ταχέωϲ") : ἀκῆϲ ZYQGM ||

Δ 22/$Z^s$ οὐδέ τι εἶπεν: οὐδὲ ἐφθέγξατο. ZYQ

Δ 23/$Z^s$ ϲκυζομένη: ὀργιζομένη. ZYQ$A^{ts}$ | καὶ οἱ ὀργιλώτατοι Cκύθαι καλοῦνται. $A^{ts}T^s$

Δ 23/$Z^s$ ἄγριοϲ: χαλεπόϲ, ἀπηνήϲ. ZYQ

Δ 23/$Z^s$ ᾕρει: κατελάμβανεν. ZYQ

Δ 24/$Z^s$ οὐκ ἔχαδε: οὐκ ἐχώρηϲεν διὰ τὸ μέγεθοϲ. ZYQ

Δ 24/$Z^s$ χόλον: ἀγρίαν ὀργήν. ZYQ

Δ 26/$Z^s$ ἅλιον: μάταιον, ἄπρακτον. ZYQ

Δ 26/$Z^s$ θεῖναι: ποιῆϲαι. ZYQ

Δ 26/$Z^s$ πόνον: κάματον. ZYQ

Δ 26/$Z^s$ ἠδ' ἀτέλεϲτον: καὶ ἀπλήρωτον. ZYQ

Δ 27/$Z^s$+$U^m$ ἱδρῶθ': τὸ τέλειον "ἱδρῶτα". ZYQ$U^m$ | δύναται καὶ ὁ τε̅ ϲύνδεϲμοϲ προϲκεῖϲθαι, καὶ ϲύνηθεϲ αὐτῶι τὴν αἰτιατικὴν οὕτω προφέρεϲθαι, 'ἱδρῶ ἀπεψύχοντο' (Λ 621). $U^m$ ~ Hd

Δ 27/$Z^s$ μόγωι: ταλαιπωρίαι, καμάτωι. ZYQ

Δ 27/$Z^s$ καμέτην: ἔκαμον, ZY | ἐκοπίαϲαν δυϊκῶϲ. ZYQ

Δ 28/$Z^s$ ἀγειρούϲηι: ἀθροιζούϲηι. ZYQ

Δ 28/$Z^s$ τοῖό τε παιϲίν: καὶ τοῖϲ τούτου παιϲίν. ZYQ

Δ 29/$Z^s$ ἕρδε: πρᾶττε. ZYQ

Δ 29/$Z^s$ ἀτὰρ οὔ τοι πάντεϲ ἐπαινέομεν θεοὶ ἄλλοι: οὐ μὴν ϲυναινοῦμέν ϲοι οἱ λοιποὶ θεοί, ὅ ἐϲτιν οὐκ ἐπαινοῦμέν ϲε τοῦτο ποιοῦντα. ZYQ$I^m$

Δ 30/$Z^s$ ὀχθήϲαϲ: ϲτενάξαϲ. ZYQ

Δ 31/$Z^s$ τί νύ ϲε: τί δή ϲε. ZYQ

τί νύ ϲ' $Z^λ$ = θ 25 ||

Δ 32/$Z^s$ τόϲϲα: τοϲαῦτα. ZYQ

Δ 32/$Z^s$ ῥέζουϲιν : πράττουϲιν. ZYQ

Δ 32/$Z^s$ ὅτ' ἀϲπερχέϲ: ὅτι ἀδιαλείπτωϲ. ZYQ

Δ 32/$Z^s$ μενεαίνειϲ: προθυμῆι. ZYQ

Δ 35/$Z^s$ ὠμὸν βεβρώθοιϲ: ὠμὸν φάγοιϲ. ZYQ

Δ 36/$Z^s$ τότε κεν: τότε ἄν. ZYQ

Δ 36/$Z^s$ ἐξακέϲαιο: ἰάϲαιο. ZYQ

Δ 37/$Z^s$ ἔρξον : πρᾶξον ZYQ | ὅπωϲ ἂν βούληι. ZQ

βούλει Z ||

Δ 37/$Z^s$ μὴ τοῦτό γε νεῖκοϲ: μὴ αὕτη ἡ φιλονεικία. ZYQ

Δ 37/$Z^s$ ὀπίϲϲω: ἐν τῶι μετὰ ταῦτα χρόνωι. τὸ δὲ ὅλον· μή, φηϲίν, αὕτη ἡ ἔριϲ μεγάληϲ ἔχθραϲ ἐν ὑϲτέρωι ἡμῖν αἰτία γένηται. ZYQ$U^m$$I^m$G

1 ἔριϲ sec. ApS 115 : μερὶϲ codd. ||

Δ 40/$Z^s$ ὁππότε κεν: ὅτε ἄν. ZYQ

ὁπότε ἄν Y ||

Δ 40/$Z^s$ μεμαώϲ: προθυμούμενοϲ, θέλων. ZYQ

Δ 40/$Z^s$ ἐξαλαπάξαι: ἐκπορθῆϲαι, ϲτρέψαι. ZYQ

Δ 41/$Z^s$ τὴν ἐθέλω: ἣν ἂν βουληθῶ. ἔλαβεν δὲ ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ. ZYQG

Δ 41/$Z^s$ ὅθι: ἔνθα, ὅπου. ZYQ

Δ 41/$Z^s$ ἐκγεγάαϲιν: ἐκγεγένηνται, κατοικοῦϲιν. ZYQ

ἐγγεγάαϲι (igitur "κατοικοῦϲιν") / ἐκγεγάαϲι vv.ll. Hom. ||

Δ 42/$Z^s$ μή τι: μηδαμῶϲ. ZYQ

Δ 42/$Z^s$ διατρίβειν: παρέλκειν, ἀναβάλλεϲθαι. ZYQ

Δ 42/$Z^s$ ἀλλά μ' ἐᾶϲαι: ἀλλὰ ϲυγχωρῆϲαί μοι. ZYQ

Δ 43/$Z^s$ δῶκα ἑκών: ἔδωκα θέλων. δοκεῖ δέ πωϲ ἐναντίον εἶναι τὸ 'ἑκὼν ἀέκοντί γε θυμῶι', διὸ καλῶϲ ὁ Τρύφων, φηϲίν, ϲυναλείψαϲ ἐν τῶι δῶκα ϲυνάπτει τὸ ἀέκων, ἵνα ἦι 'δῶκ' ἀέκων ἀέκοντί γε θυμῶι' (fr. 95 Velsen, ~ Porph. 69,10). ἢ ἑκὼν ἐγώ ϲοι ἔδωκα, ἀεκούϲηϲ μου τῆϲ διανοίαϲ, ὅ ἐϲτι "καίπερ μὴ βουλόμενοϲ". ZYQAUIG

2 φηϲὶν om YQ, μὲν οὖν Porph. || ϲυναλείψαϲ ἐν τῶι κ̄ ϲυνάπτει τὸ ᾱ πρὸϲ τὸ 'ἑκών' Porph. || δῶκα ⟨ἑκὼν⟩ Y || ἀέκων : ἑκῶν A ||

Δ 43/$Q^s$ καὶ γὰρ ἐγώ ϲοι δῶκα ἑκὼν ἀέκοντί γε θυμῶι: ζητεῖται πῶϲ ὁ Ζεὺϲ ἅμα μὲν ἑκὼν λέγει τῆι Ἥραι χαρίϲαϲθαι, ἅμα δὲ ἄκων. ἔϲτιν οὖν εἰπεῖν ὅτι ἑκὼν μὲν δίδωϲιν ὡϲ ἂν ἀδελφῆι καὶ γυναικί, ἄκων δὲ ὅτι τοὺϲ φιλτάτουϲ πρὸϲ ἀπώλειαν δίδωϲιν. καὶ γὰρ οἱ ἐν θαλάϲϲηι πλέοντεϲ, ὁπότ' ἂν περιπέϲωϲι κινδύνωι ἐκβάλλουϲι τὸν φόρτον εἰϲ τὴν θάλαϲϲαν, ἑκόντεϲ τε καὶ ἄκοντεϲ, ἑκόντεϲ μὲν ἵνα ϲωθῆναι δυνηθῶϲιν, ἄκοντεϲ δὲ ὅτι τὸν φόρτον ἀπόλλουϲι ⌜ἢ ἀποβάλλουϲι U~I⌝ δι' ὃν πλέουϲι. QUIG$T^r$ = Porph. 69, 20

↑ Δ 43/$A^s$ ἀέκοντί γε θυμῶι: βιαζόμενοϲ, ὥϲπερ οἱ πλέοντεϲ ἑκόντεϲ μὲν ἀποβάλλουϲι τὰ φορτία, ἵνα ϲωθῶϲιν, ἄκοντεϲ δὲ ζημιοῦνται. AU

Δ 44/$Z^s$ αἳ γὰρ ὑπ' ἠελίωι τε : ὅϲαι γὰρ ὑπὸ τὸν ἥλιον καὶ τὸν τοὺϲ ἀϲτέραϲ ἔχοντα οὐρανόν. ZYQ

Δ 45/$Z^s$ ναιετάουϲιν: κατοικοῦνται (~ $U^m$$T^i$). ἐνεργητικὸν εἶπεν ἀντὶ παθητικοῦ. ZYQ$I^m$~$U^m$, Ak ὅτι ...

ἐνεργητικὸν .. παθητικοῦ : παθητικὸν .. ἐνεργητικοῦ Z ||

Δ 46/$Z^s$ τάων μοι: τούτων μοι. ZYQ

Δ 46/$Z^s$ περὶ κῆρι: ἐκ ψυχῆϲ. ZYQ

Δ 46/$Z^s$ τιέϲκετο: ἐτιμᾶτο. ZYQ

Δ 46/$Z^s$ ἱρή: ἱερά, μεγάλη. ZYQ

Δ 47/$Z^s$ ἐϋμμελίω: εὖ περὶ τὴν μελίαν ἠϲκημένου, πολεμικοῦ. ZY

ἠϲκημένω πολεμικῶ ZY, corr. ↓Q ||

↑ Δ 47/$Q^s$ ἐϋμμελίω: τοῦ εὖ ποτε τῆι μελίαι χρηϲαμένου, πολεμικοῦ. ¦ μελία δὲ εἶδοϲ δένδρου εὐθέτου εἰϲ δοράτων καταϲκευήν (= $U^m$$I^m$G, T 390𝔇). Q

Δ 48/$Z^s$ ἐδεύετο: ἐνδεὴϲ ἐγένετο. Z ≃ B 229𝔇

Δ 49/$Z^s$ λοιβῆϲ: ϲπονδῆϲ (=$T^r$). 'κνίϲηϲ' δὲ τῆϲ ἀναφερομένηϲ ἐκ τῶν θυμάτων ἀναθυμιάϲεωϲ. ZYQ$I^m$G

1 lemma 'κνίϲηϲ δὲ' ZY || θυμάτων : θυϲιῶν Y ||

Δ 49/$Z^s$ τὸ γὰρ λάχομεν γέραϲ ἡμεῖϲ: ταύτηϲ γὰρ τῆϲ τιμῆϲ κατηξιώθημεν παρὰ τῶν ἀνθρώπων. ZYQG

1 παρὰ : ὑπὸ YQ ||

Δ 50/Z^s βοῶπις: μεγαλόφθαλμος, καλή. ZYQ

Δ 51/Z^s ἤτοι ἐμοί: ἐμοὶ μὲν δή. ZYQ

Δ 51/Z^s+Y^s πολὺ φίλταται: κατὰ πολὺ (= A 167𝔇) Y | προσφιλέσταται. ZYQ

Δ 51/Z^s+Q^s πόληες: πόλεις. ZYQ | τὸ λη̄ {η} διὰ τὸ μέτρον. Q cf E 788/Q^s "τὸ ω̄ μέγα διὰ τὸ μέτρον".

Δ 53/Z^s τάς: ταύτας. ZYQ

Δ 53/Z^s+Q^s διαπέρσαι: ἐκπορθῆσαι. ZY | ἐκπόρθησον· ἀπαρέμφατον ἀντὶ προστακτικοῦ (=G, ~ Hd). Q cf Δ 64𝔇 et ε 342𝔇 ἔρξαι· πρᾶξον.

ἐκπορθῆσαι Y : ἐκπορθήσειν Z ||

Δ 53/Z^s ὅτ' ἄν τοι: ὅτ' ἄν σοι. ZYQ

Δ 53/Z^s ἀπέχθωνται: μισηθῶσιν. ZYQ

Δ 54/Z^s πρόσθ' ἵσταμαι: προΐσταμαι, ὑπερμαχῶ. ZYQ

πρό θ' Z^λ ||

Δ 54/Z^s οὐδὲ μεγαίρω: οὐδὲ φθονῶ, οὐδὲ ἀντιπράττω. ZYQ

Δ 55/Z^s+Q^s οὐκ εἰῶ: οὐκ ἐῶ, ZQ | οὐ συγχωρῶ (~ B 165𝔇). Q

Δ 56/Z^s οὐκ ἀνύω: οὐδὲν ὠφελῶ, οὐδὲν πράσσω. ZYQ

ὀφελῶ Z ||

Δ 56/Z^s ἐπειή: ἐπειδή. ZYQ

Δ 57/Z^s χρή: δεῖ, προσῆκόν ἐστιν. ZYQ

Δ 57/Z^s θέμεναι: θεῖναι, ποιῆσαι. ZYQ

ποιεῖσαι Z ||

Δ 57/Z^s οὐκ ἀτέλεστον: οὐκ ἀπλήρωτον. ZYQ

Δ 58/Z^s ἔνθεν ⌊ὅθεν⌋: ἐντεῦθεν ὅθεν καὶ σοί· τῶν αὐτῶν γονέων. ZYQ

αὐτῶ Z ||

Δ 59/Z^s πρεσβυτάτην: ἐντιμοτάτην. ZYQ ~T^s A^t ὅτι ...

Δ 59/Z^s τέκετο: ἐγέννησεν. ZYQ

Δ 59/Z^s ἀγκυλομήτης: σκολιὰ βουλευόμενος. ZYQG | ἢ ὁ περὶ τῶν δυσευρέτων καὶ σκολιῶν εὐχερῶς ZYQAU^m*G | δυνάμενος βουλεύεσθαι, συνετός. ZYQXAU^mG

2 εὐχερῶν Z || συνετός : καὶ συνετῶς YX ||

Δ 60/Z^s ἀμφότερον: κατὰ ἀμφότερα, διὰ τὸ καὶ ἀδελφὴν εἶναί σου, καὶ γυναῖκα. ZYQ

Δ 60/Z^s+Q^s γενεῆι: τῆι ἡλικίαι ἢ T^r | τῆι εὐγενείαι. ZYT^r | τῆι γενεᾶι. Q

Δ 60/Z^s οὕνεκα: καὶ ὅτι. ZYQX

Δ 60/Z^s παράκοιτις: γαμετή. ZYQX

Δ 61/Z^s+Y^s κέκλημαι: εἰμί, ZYQX | ὑπάρχω. YQX. T^i Ἰακῶς, εἰμί.

Δ 62/Z^s ἀλλ' ἤτοι: ἀλλὰ γάρ. ZYQX

Δ 62/Z^s ὑποείξομεν: εἴξωμεν, ¦ συγχωρήσωμεν (~T^r). ZYQX

ὑποείξομεν YQX^λ / ἐπιείξομεν vv.ll. Hom., ἐπιήξομεν Z^λ ||

Δ 63/Z^s ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι: ἐπακολουθήσουσιν δὲ τῆι ἡμῶν γνώμηι καὶ οἱ λοιποὶ θεοί. ZYQXG

Δ 64/Z^s θᾶσσον: τάχιον. ZYQX

Δ 64/Z^s ἐπιτεῖλαι: ἀντὶ τοῦ ἐπίτειλον (~T^i, Ak ὅτι ...), ὅ ἐστιν πρόσταξον. διὸ προπερισπωμένως δεῖ ἀναγινώσκειν. ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ ἐπίτειλον καὶ πρόσταξον. τὸ δὲ παροξυνόμενον ἐπιτείλαι εὐκτικόν ἐστι προσώπου γ' (i.e. τρίτου). ZYQU^mIG

Δ 66/Z^s πειρᾶν: ἀπόπειραν λαμβάνειν. ZYQX

Δ 66/Z^s ὥς κεν: ὅπως ἄν. ZYQX

Δ 66/Z^s ὑπερκύδαντας: ὑπεράραντας τῆι δόξηι, διὰ τὴν Μενελάου νίκην. ZYQX

ὑπερκύδαντος Z^λ ||

Δ 67/$Z^s$ ἄρξωσι: ἄρξωνται, προλάβωσιν. ZYQX

Δ 67/$Z^s$ δηλήσασθαι: βλάψαι, παρελθεῖν. ZYQX

Δ **/$Z^s$ δειδίσσεσθαι: φοβεῖσθαι ZQX = B 190𝔇

διδείσεσθαι $Z^{\lambda}$ cf O 299 δείσεσθαι ||

Δ 73/$Z^s$ πάρος μεμαυῖαν: καὶ πρότερον προθυμουμένην. ZYQX

Δ 74/$Z^s$ ἀΐξασα: ὁρμήσασα. ZYQX = ApS 15,14

Δ 75/$Z^s$ οἷον δ' ἀστέρα ἧκε: τὸν λεγόμενον κομήτην. ἀστὴρ δὲ ἄστρου διαφέρει, ὅτι ὁ μὲν ἀστὴρ ἕν τί ἐστιν, τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν ἀστέρων ζώιδιον ὄν, ὃ καὶ ἀστροθέτημα καλεῖται. ZYQX$U^m$G, cf E 5𝔇

2 τί om Y ||

Δ 75/$Z^s$ ἧκεν: ἔπεμψε. ZYQX

Δ 76/$Z^s$ τέρας: σημεῖον. ZYQX

Δ 77/$Z^s$ τοῦ δέ τε: τούτου δὲ τοῦ ἀστέρος. ZYQX

Δ 77/$Z^s$ ἵενται: ἀφίενται, ἀποπηδῶσιν. ZYQX

Δ 79/$Z^s$ ἤϊξεν: ὥρμησεν. ZYQX

Δ 79/$Z^s$ κὰδ' δ' ἔθορε: κατεπήδησεν δέ. ZYQX | τὸ πάθος συγκοπή. ZY ~ Δ 1𝔇 πὰρ Ζηνί· ... τὸ πάθος ἀποκοπή.

Δ 79/$Z^s$ θάμβος: ἔκπληξις, φόβος. ZYQX

Δ 81/$Z^s$ εἴπεσκεν: εἶπεν. ZYQX

Δ 82/$Z^s$ ἦ ῥ' αὖτις: ἢ πάλιν. ZYQX

Δ 83/$Z^s$ τίθησιν: ποιεῖ. ZYQX

Δ 84/$Z^s$ ταμίης: ταμίας, διατάκτωρ, ὅ ἐστιν δεσπότης. ZY(X)Q

Δ 84/$Z^s$ τέτυκται: κατεσκεύασται, ὑπάρχει. ZYQX

Δ 86/$Z^s$ ἰκέλη: ὁμοία. (inter 77 et 79 pro εἰκυῖ') ZYQX

Δ 86/$Z^s$ κατεδύσατο: κατῆλθεν. ZYQX

Δ 87/$Z^s$ Ἀντηνορίδηι: Ἀντήνορος παιδὶ Λαοδόκωι. ZYQX

λαοδόκωι : λυκάονι Y ||

Δ 87/$Z^s$ αἰχμητῆι: πολεμιστῆι. ZYQX

Δ 88/$Z^s$ διζημένη: ζητοῦσα. ζητεῖν δὲ προσποιεῖται ἡ θεὸς τὸν Πάνδαρον, ὅτι μορφήν τε καὶ εἶδος ἀνθρώπου προσείληφεν. ZYQXU*

Δ 88/$Z^s$ εἴ που ἐφεύροι: εἴ που εὕροι. οὐκ ἀσεβεῖ δέ, φασιν, ὁ Πάνδαρος, εἰ ἡ Ἀθηνᾶ συνεβούλευσεν καὶ ὁ Ζεὺς ἀπέσταλκεν. ῥητέον οὖν, ὅτι ὁ μὲν Ζεὺς εἰδὼς τοὺς ὅρκους κακῶς γεγενημένους (οὐδὲν γὰρ ἕτερον Τρῶες ἢ ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν) διὰ τοῦτο ἐσπούδασεν λυθῆναι τὰς ἀδίκους συνθήκας. Ἀθηνᾶν δὲ νῦν ὑποληπτέον τὸν λογισμὸν αὐτὸν τὸν τοῦ Πανδάρου, καὶ ὅτι αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο (cf Pl. rep. 2, 379e 3-5). ἄπιστοι γὰρ Λυκάονες, καὶ Ἀριστοτέλης μαρτυρεῖ (fr. 151 Rose, Hintenlang 39-41). ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς Ὁμήρου λύοντες φασὶν προειρηκέναι τὸν ποιητὴν 'πειρᾶν' (Δ 71), αἴ κε θέλῃσιν οὐχὶ πείθειν. ZYQXA$B^2$U*I$GT^r$ cf 93𝔇

1 ἐάν που Y, ὅ που X || φησιν ZYAU || ἡ om Y || 2 {ὁ} ζεὺς YA || 3 οὐδὲ γὰρ ἑτέρως A || 4 ⟨ψήφους καὶ⟩ συνθήκας Y || 5 αὐτὸν : αὐτοῦ U || .. τὸν om YQXU || ὅτι om Y || 6 ⟨ὡς⟩ καὶ A || 8 πειρᾶν YQX: πειρᾶν δ' Z = Hom, πειρᾶν τ' A || οὐχὶ : οὐ A ||

Δ 89/$Z^s$ εὗρε: κατέλαβεν. ZYQX

Δ 89/$Z^s$ Λυκάονος υἱόν: τὸν Πάνδαρον. ZYQX

Δ 89/$Z^s$ ἀμύμονα: ἄψογον καὶ ἀγαθὸν τῆι τοξικῆι. ZYQX

Δ 90/$Z^s$ ἑσταότα: ἑστηκότα. ZYQX

Δ 90/$Z^s$ κρατεραί: ἰσχυραί, γενναῖαι. ZYQX

Δ 90/$Z^s$ ἀσπιστάων: πεζῶν, ὁπλιτῶν. ZYQX

Δ 91/$Z^s$ ἕποντο: ἠκολούθουν. ZYQX

Δ 91/$Z^s$ ἀπ' Αἰσήποιο ῥοάων: ἀπὸ τῶν τοῦ Αἰσήπου ῥευμάτων καὶ ῥείθρων. ¦ ὁ δὲ Αἴσηπος ποταμὸς τῆς ὑπὸ τῆι Ἴδηι Λυκίας (=$I^mT^r$). ZYQXG

Δ 93/$Z^s$ ἦ ῥ' ἄν μοι: ἆρα ἄν μοι. ἔστιν δὲ ἐπίρρημα διαπορητικόν. ZYQXG

Δ 93/$Z^s$ πίθοιο: πεισθείης. διὰ τί δὲ ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο, ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρωι μᾶλλον εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; καί φησιν ὁ Ἀριστοτέλης (fr. 151 Rose), ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν 'ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνηι' (Γ 464), τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο, ὡς φιλοχρήματον. σημεῖον δὲ ἡ τῶν ἵππων αὐτοῦ ἐπ' οἴκου κατάλειψις, ἵνα μὴ δαπανᾶι (Ε 192), καὶ ὅτι φύσει ἐπίορκος. τὸ γοῦν ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. οἱ δέ τινες οὕτως λύουσιν, ὅτι ἀρίστου ἦν χρεία τοῦ δυναμένου τρῶσαι καὶ καταστοχάσασθαι. οὐκ ἦν δὲ ἐν τῶι Τρωϊκῶι μέρει τις ἢ Ἀλέξανδρος μόνος καὶ Πάνδαρος, εὐφυὴς οὕτως, ὡς καὶ ἐπιφωνῆσαι τὸν ποιητήν· 'Πάνδαρος, ὧι καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν' (Β 827), ὃ σημαίνει τὴν τοξικήν. καὶ ὡς ἄριστον οὖν αὐτὸν ἐπελέξατο τοξότην. ZYQXAU*IG Porph ~$T^r$ | ὅθεν οὐχὶ ἀσεβὴς ἦν, ὡς Ἀριστοτέλης ἀπεφήνατο, ἀλλ' εὔστοχος. U cf 88𝔇

1 πείθοιο $Z^λ$ || 3 μᾶλλον om A || 5 πᾶσιν om A || 6 ἐπελέξαντο Z || 7 οἶκον A || κατάληψις Z || 8 {καὶ} ὅτι A || γοῦν : γὰρ A || ἔθνος ⟨τοιοῦτον⟩ Y || 9 ἐπίορκον om Y || οἱ δέ τινες : τινὲς δὲ A || 12 καὶ om YA || καὶ ὡς ἄριστον οὖν : καὶ ἀρισόνουν Z ||

Δ 93/$Z^s$ δαΐφρον: πολεμικὸν φρόνημα ἔχων. ZYQX

δαΐφρων $YX^λ$ = Β 875𝔇 ||

Δ 94/$Z^s$ τλαίης κεν: καρτερήσειας ἄν, ὑπομείνειας. ZYQX

Δ 94/$Z^s$ Μενελάωι ἐπιπροέμεν: ἐπιπέμψαι τῶι Μενελάωι. ἔστι δὲ ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ. ZYQX

ἐπεὶ προέμεν $Z^λ$ || 2 ἐνεργητικοῦ Z (cf introd. n. 18) : προστακτικοῦ YQX aeque perversum ||

Δ 94/$Z^s$ ταχύν: τὸν ταχέως φερόμενον. ZYQX

Δ 95/$Z^s$ πᾶσι δέ κεν Τρώεσσι: ἀντὶ τοῦ παρὰ πάντων τῶν Τρώων. ZYQX

Δ 95/$Z^s$ κῦδος: δόξαν. 'ἄροιο' δὲ κτήσηι, λάβοις. ZYQX

lemma 'ἄροιο δὲ' Z : duo scholia YQX ||

Δ 97/$Z^s$ τοῦ κεν δὴ πάμπρωτα: παρὰ τούτου δὴ πάντων πρῶτον. πρὸς καιρὸν δὲ ἡ Ἀθηνᾶ βασιλέα κέκληκεν τὸν Ἀλέξανδρον, ἕνεκα τοῦ μᾶλλον πεῖσαι τὸν Πάνδαρον ἐλπίδι μείζονος δωρεᾶς. ZYQXAU*IG

1 προς καιρὸν A : πρόσκαιρον ZYQXU || 2 μᾶλλον : μενέλαον Y || τὸν πάνδαρον : αὐτὸν A ||

Δ 97/$Z^s$ φέροιο: ἀπενέγκοιο, λάβοις. ZYQX

Δ 98/$Z^s$ αἴ κεν ἴδηι: ἐὰν θεάσηι. ZYQX

θεάσηται Y = Α 522𝔇 ||

Δ 99/$Z^s$ δμηθέντα: ἀναιρεθέντα, δαμασθέντα. ZYQX

Δ 99/$Z^s$ πυρῆς ἐπιβάντ' ἀλεγεινῆς: ἀλγεινῆς, χαλεπῆς. οἱ γὰρ ἀρχαῖοι τὰ σώματα οὐκ ἔθαπτον ὑπὸ γῆν, εἰ μὴ πρότερον ἔκαυσαν. εἶθ' οὕτως τὴν τέφραν σὺν τοῖς ὀστοῖς ἐχώννυον, ἐν ἀγγείωι τινὶ ἀποθέμενοι. ZYQXAU*$I^m$G

1 οἱ γὰρ ἀρχαῖοι : ὅτι οἱ ἀρχαῖοι A ||

Δ 99/$Z^s$ ἐπιβάντα: ἐπιβιβασθέντα. ἐπιτεθέντα. ZYQX$U^m$ | ὁ τρόπος κατάχρησις (~ Δ 3𝔇). ZY$U^m$

Δ 100/$Z^s$ ὀΐστευσον: τόξευσον. ZYQX

Δ 100/$Z^s$ Μενελάου: ἀντὶ τοῦ κατὰ τοῦ Μενελάου. 'κυδαλίμοιο' δὲ ἐνδόξου. ZYQX

κατὰ τοῦ μενελάου ἀντὶ τοῦ Z || lemma 'κυδαλίμοιο δὲ' Z : duo scholia YQX ||

Δ 101/$Z^s$ εὔχεο: εὔχου. ZYQX

Δ 101/Z^s Λυκηγενέϊ: τῶι ἐν Λυκίαι τιμωμένωι, γεγεννημένωι (=I^i). φαcὶν γὰρ ὅτι λαθεῖν cπουδάζουcα ἡ Λητὼ τὴν Ἥραc ζηλοτυπίαν εἰc Λυκίαν ἀπηλλάγη. ZYQXAUI | ὡc καὶ Ἄγνων ἐν τῆι Δεκαcτίχωι λέγει. ZYQXAIG

1 γὰρ om A || 2 ἀπηλλάγη Bekker : ἀπαλλαγῆναι ZYA || 2-3 ἀπηλλάγη ... λέγει : ἀπιοῦcα ἐγέννηcεν ἐκεῖ τὸν ἀπόλλωνα QXU || 3 cf Athen. 13, 602d Ἄγνων ὁ Ἀκαδημαϊκόc num idem habendus? sch. A 340/A^s Cέλευκοc ἐν τῆι Πολυcτίχωι (fr. 7 Mueller) ||

Δ 101/Z^s κλυτοτόξωι: τῶι ἐνδόξωι περὶ τὴν τοξικήν. ZYQXI^i | τεccάρων γὰρ τεχνῶν ἔφοροc ὁ θεόc· τοξικῆc, μαντικῆc, ἰατρικῆc, μουcικῆc. ZYQXAU*IG

1 τῶι om YQX || τοξικὴν ⟨τέχνην⟩ YQ || γὰρ : δὲ A || 2 τοξικῆc ἰατρικῆc μαντικῆc καὶ μουcικῆc YA, τοξικῆc ἰατρικῆc, μουcικῆc καὶ μαντικῆc QX ||

Δ 102/Z^s πρωτογόνων: πρωτογεννήτων, πρωΐμων. ZYQX

Δ 102/Z^s ῥέξειν: ἱερουργήcειν, θύcειν. ZYQX

Δ 103/Z^s νοcτήcαc: ὑποcτρέψαc, ἐπανελθὼν εἰc τὴν θαυμαcτὴν Ζέλειαν. ZYQX | ἡ γὰρ ὑπὸ τῆι Ἴδηι Λυκία τὸ παλαιὸν Ζέλεια ἐκαλεῖτο (=T^r), διὰ τὸ τὸν Ἀπόλλωνα ἐν αὐτῆι λίαν εὐcεβεῖcθαι. ZYQXAU^mI~G

1 ἡ γὰρ : ὅτι ἡ A || 2 τὸ παλαιὸν om YQXT^r || τὸν om Z ||

Δ 103/Z^s ἄcτυ: πόλιν. ἔνθεν καὶ τὸν πολιτικὸν ἀcτεῖον φαμέν. ZYQXU^mI

ὅθεν Y || ἀcτίον Z : ἐφέcτιον YQXU ||

Δ 104/Z^s ἄφρονι: ἀνοήτωι. ZYQX

Δ 105/Z^s ἐcύλα: ἐγύμνου, ἐξέβαλλεν τῆc θήκηc. ZYQXT^r

Δ 105/Z^s εὔξοον: καλῶc ἐξεcμένον, ὅ ἐcτι καταcκευαcμένον. ZYQX

Δ 105/Z^s ἰξάλου: ἤτοι τελείου, ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ παρὰ τὸ ἱκνεῖcθαι, ἢ ὡc ὁ Πορφύριοc λέγει, τὸν τομίαν. cυμβαίνει γάρ, φηcίν, πολλάκιc, τῶν ἀγρίων αἰγῶν τοὺc τελείουc, διωκομένουc ἐν ταῖc θήραιc, κατὰ τὴν παράτριψιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια (p. 71,20 Schrader). ZYQXAUI^mG

2 φηcίν om YQXG, φηcίν πολλάκιc om I || ἀγρίων om Y ||

Δ 106/Z^s ὑπὸ cτέρνοιο: ὑπὸ τὸ cτῆθοc ZYQX | ἐπιτυχὼν ἔβαλεν. ZQX ~108𝔇, Θ 270^t ὅτι ...

Δ 107/Z^s δεδεγμένοc: ἐπιτηρήcαc, ἐκδεχόμενοc. ZYQX

Δ 107/Z^s ἐν προδοκῆιcι: τόποιc πρὸc ἐνέδραν ἐπιτηδείοιc προcκοπεῦcαι. ἀπὸ τοῦ δοκεῖν. ZYQXU^iG

Δ 108/Z^s ὕπτιοc: ἐπὶ νῶτον. τὸ δὲ 'βεβλήκει' ἀντὶ ἔβαλεν, ἀνεῖλεν, ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ (= E 394𝔇, cf Δ 94𝔇). ZYG

1 ἀντὶ ⟨τοῦ⟩ ἔβαλεν {ἀνεῖλεν} Y || ἀπαρέμφατον ἀντί ἐνεργητικοῦ delevit Y, ἀντὶ ὁριcτικοῦ Nicole = Δ 492𝔇, sed cf introd. n. 18 ||

Δ 109/Z^s κέρα: κέρατα. ἀποκοπὴ τὸ πάθοc. ZYQXG

Δ 109/Z^s+U^s ἑκκαιδεκάδωρα: ἑκκαίδεκα παλαιcτῶν. δῶρον γὰρ καλεῖται ὁ παλαιcτήc, ὅ ἐcτιν ἔκταcιc τῶν τῆc χειρὸc τεccάρων δακτύλων. ZYQXAT^rUI^mG | οἱ δὲ ἑκκαίδεκα ἐνιαυτῶν· ὧροc γὰρ ὁ ἐνιαυτόc. ὅπερ ἄτοπον. ZYQAUI^mG | τὰ ἔχοντα ιϛ' δῶρα ἤγουν cπιθαμὰc ε' καὶ τρίτον· τὰ γὰρ τρία δῶρα ποιοῦcι cπιθαμὴν μίαν. UI^m

1-2 ὁ παλαιcτὴc ὅ Z (~ ApS 61,10) : ἡ παλαιcτὴ ἥ cett. || 2 οἱ δὲ : ἡ καὶ A || 4 δῶρα[1], cf ApS : δωρὰc UI || ἤγ(ουν) I : εἴτουν U || αἱ γὰρ τρεῖc δωραὶ UI ||

Δ 109/Z^s πεφύκει: ἐβεβλαcτήκει. ZYQX

Δ 110/Z^s ἀcκήcαc: κοcμήcαc, ἐργαcάμενοc. ZYQX

Δ 110/Z^s κεραοξόοc: κερατουργόc, κερατογλύφοc. ZYQX

Δ 110/Z^s ἤραρε: προcήρμοcεν. 'τέκτων' δὲ νῦν ὁ καλούμενοc τοξοποιόc. ἢ κοινῶc πᾶc τεχνίτηc τέκτων λέγεται ἀπὸ τοῦ τεύχειν, ὅ ἐcτιν καταcκευάζειν τι. ZYQX U^iI^mG

1 lemma 'τέκτων' pro δὲ X || 2 τέκτων om Y ||

Δ 111/Z^s λειήναc: ξέcαc, λεῖα ποιήcαc. ZYQX

Δ 111/$Z^s$ κορώνην: νῦν τὸ ἐπικαμπὲς ἄκρον τοῦ τόξου λέγει, ὅθεν ἀπήρτηται ἡ νευρά. ZYQXU$I^m$G~$T^r$ cf φ 46𝔇 "κρίκου, κόρακος".

Δ 112/$Z^s$ τανυςςάμενος: ἐκτείνας. ZYQXI

Δ 112/$Z^s$ ποτὶ γαίηι ἀγκλίνας: πρὸς τῆι γῆι ἐπερείςας ἑαυτόν, δηλονότι ἕνεκα τοῦ μὴ ὁραθῆναι ὑπὸ τῶν Ἑλλήνων. ZYQXAIG

Δ 113/$Z^s$ πρόςθεν: ἔμπροσθεν αὐτοῦ. 'σάκεα' δὲ τὰς ἀσπίδας. ZYQX

lemma σάκεα δὲ' Z : duo scholia YQX ||

Δ 113/$Z^s$ σχέθον: ἔσχον. ZYQX

Δ 114/$Z^s$ μὴ πρίν: μὴ πρότερον. ZYQX

Δ 114/$Z^s$ ἀναΐξειαν: ἀνορμήσειαν. ZYQX

Δ 115/$Z^s$ βλῆσθαι: βληθῆναι. ZYQX

Δ 116/$Z^s$ ἐσύλα (= Δ 105, ὃ σύλα Hom.) πῶμα: ἀφήιρει τῆς βελοθήκης τὸ πῶμα. ZYQX

Δ 116/$Z^s$ ἕλετο: εἵλετο, ἔλαβεν. ZYQX

Δ 117/$Z^s$ ἀβλῆτα: μὴ ἐπιβεβλημένον, καινόν. ZYQX$T^r$~$I^m$

μὴ : μηδενὶ Y, μὴ δ' QX ||

Δ 117/$Z^s$ πτερόεντα: ἐπτερωμένον, ¦ ἢ ταχέως φερόμενον (~$T^r$). ZYQX

Δ 117/$Z^s$ μελαινέων: εἰς βάθος διηκουσῶν (=$T^r$), δεινῶν. ZYQX$U^m$

Δ 117/$Z^s$ ἕρμ' ὀδυνάων: ἔρεισμα ἐνερεῖδον τὰς ὀδύνας. ZYQX

Δ 118/$Z^s$ κατεκόσμει: κατετίθει, κατέταττεν, ἥρμοζεν τῆι νευρᾶι. ZYQXG!

Δ 118/$Z^s$ πικρόν: ὀδυνηρόν, χαλεπόν. ZYQX

Δ 122/$Z^s$ γλυφίδας: τὰς παρὰ τοῖς πτεροῖς ἐντομὰς τοῦ βέλους, τὴν χηλὴν ὅπου ἐντίθεται ἡ νευρά. ZYQXI~G

Δ 122/$U^m$ ⌊νεῦρα⌋ νεύρων διαφοραὶ τρεῖς. τὰ μὲν γὰρ ἐξ ἐγκεφάλου τε καὶ νωτιαῖα πεφυκότα νεῦρα ταῦτα προσαγορεύεται κυρίως. τὰ δὲ ἐκ μυῶν τένοντες. τὰ δὲ ἐξ ὀστῶν σύνδεσμοι.

Δ 123/$Z^s$ μαζῶι: τῶι μαστῶι. ZYQX

Δ 123/$Z^s$ πέλασεν: προσήγαγεν. ZYQX

Δ 123/$Z^s$ σίδηρον: τὴν ἀκμὴν τοῦ βέλους. ZYQX

Δ 124/$Z^s$ κυκλοτερές: εὔκυκλον. ἐπειδὴ δέ, φησίν, ἔτεινε τὸ τόξον ὡς κυκλοτερὲς γενέσθαι. ZY(X)QI~G

Δ 125/$Z^s$ λίγξε: ποιόν τινα ἦχον ἀπετέλεσεν. 'βιὸς' δὲ ὀξυτόνως τὸ τόξον (~ A 49$^t$/Ar). ZYQXI

1 τινα om Y || ἀπετέλεσαν Z || lemma 'βιὸς δὲ' Z : duo scholia YQX ||

Δ 125/$Z^s$ ἴαχεν: ἦχον ἀπετέλεσεν. ZYQX

Δ 125/$Z^s$ ἆλτο: ἀφήλατο. ZYQX

Δ 126/$Z^s$ ὀξυβελής: ἤτοι ὁ ταχέως βάλλων, ἢ ταχέως βαλλόμενος. ZYQX

ἢ ‹ὁ› YQ ||

Δ 126/$Z^s$ καθ' ὅμιλον: κατὰ τὸ πλῆθος. ZYQX

Δ 126/$Z^s$ ἐπιπτέσθαι: ἐπιπετασθῆναι, ἐφάψασθαι. ZYQX. $A^{ti}$ ἐμπεσεῖν, cf O 451.

Δ 126/$Z^s$ μενεαίνων: προθυμούμενος. ὁ τρόπος μεταφορὰ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα (cf $T^s$, ~ Λ 574/Ak). Z(YQX ἐπὶ ἀψύχων)

Δ 127/$Z^s$ οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο: σοῦ δέ, ὦ Μενέλαε, οἱ θεοὶ οἱ μακαρισμοῦ ἄξιοι οὐκ ἐπελάθοντο. καλεῖται δὲ ὁ τρόπος οὗτος ἀποστροφή. ZYQXG

2 οὗτος om Y ||

Δ 129/$U^m$ βέλος ἐχεπευκὲς ἄμυνεν: ζητεῖται δέ, πῶς τῆς 'Αθηνᾶς τὸ βέλος ἀπειργούσης ὁ Μενέλαος ἐτρώθη. ῥητέον οὖν, ὅτι οὐχ ἵνα μὴ τρωθῆι πάρεστιν, χωρὶς γὰρ τραύματος οὐκ ἐδύναντο αἱ συνθῆκαι διαλύεσθαι, ἀλλ' ἵνα μὴ ἦι 'κατὰ καίριον' (Λ 439) ἡ πληγή. $U^m$G

Δ 128/Z^s ἀγελείη: ἡ 'Αθηνᾶ, ἡ ἄγουcα λείαν ἀπὸ τῶν πολέμων, ὅ ἐcτιν ἡ λαφυραγωγόc. ZYQXGT^r

1 πολεμίων YQX || ὅ ἐcτιν om Y ||

Δ 129/Z^s ἥ τοι: ἥτιc coι. ZYQX

Δ 129/Z^s πρόcθε cτᾶcα: προcταθεῖcά cου καὶ ὑπεραcπίcαcα· ZYQXG | ἐξ οὗ ῥυcαμένη (cf Δ 54𝔇 "ὑπερμαχῶ"). ZG

1 coι YQ ||

Δ 129/U^m ⌞πρόcθε cτᾶcα⌟ ἐπιcτροφὴν γὰρ καὶ φροντίδα πεποιηκότεc ἐπ' αὐτῶι τὸν θάνατον ἐξέκλιναν, μάλιcτα τῆc 'Αθηνᾶc τὸ βέλοc ἀπειργούcηc.

Δ 130/Z^s τόcον: τοcοῦτον. ZYQX

Δ 130/Z^s ἔεργεν: ἀπεῖργεν, ἐκώλυεν. ZYQX

Δ 130/Z^s ἀπὸ χροόc: ἀπὸ τοῦ χρωτόc, ἀπὸ τοῦ cώματοc. ZYQX

Δ 130/Z^s ὡc ὅτε μήτηρ: δίκην μητρόc. ZYQX

Δ 131/Z^s ἐέργηι: ἀπείργει, κωλύοι. ZYQX

ἐέργει· ἀπείργει, κωλύει YQX ~ N 706𝔇 ||

Δ 131/Z^s ὅτε: ὁπότε. ZYQX

Δ 131/Z^s ἡδέϊ λέξεται ὕπνωι: ὁπόταν τῶι ἡδυτάτωι ὕπνωι κρατηθὲν ἀποκοιμηθῆι. ZYQXG. T^r κοιμηθῆι.

Δ 132/Z^s αὐτὴ δ' αὖτε: αὐτὴ δὲ ἡ δαίμων. ZYQX

αὕτη Z^λ et Z^s ||

Δ 132/Z^s ἴθυνεν: ἐπ' εὐθείαc ἐνεχθῆναι ἐποίηcεν. ZYQX

Δ 132/Z^s ὅθι: ἔνθα, Z | ὅπου. ZY = B 722𝔇

Δ 132/Z^s ζωcτῆροc ὀχῆεc: οἱ cυνέχοντεc καὶ cφίγγοντεc τὸν ζωcτῆρα ἱμάντεc. ZYQXG. A^td δεcμοί.

Δ 133/Z^s χρύcειοι: χρυcοῖ. ZYQX

Δ 133/Z^s cύνεχον: cυνεῖχον, ἔcφιγγον. ZYQX

Δ 133/Z^s διπλόοc: διπλοῦc. ZYQX

Δ 133/Z^s ἤντετο: ἀπήντα, ὑπέκειτο. ZYQXT^r

Δ 134/Z^s ἐν δ' ἔπεcεν: ἐνέπεcεν δέ. ZYQX

Δ 134/Z^s ἀρηρότι: εὖ ἡρμοcμένωι. ZYQX

Δ 135/Z^s ἐλήλατο: διεληλύθει, ἐπέπηκτο. ZYQX

Δ 135/Z^s δαιδαλέοιο: πολυκατεργάcτου, ποικίλου. ZYQX

ποικίληc Z ||

Δ 136/Z^s ἠρήρειcτο: ἥρμοcτο, ἐνεπάγη. ZYQX

Δ 137/Z^s μίτρηc: ζώνηc. μίτρα δὲ ἐλέγετο τὸ ἐcώτερον τῆc λαγόνοc εἴλημα ἐρεοῦν χαλκῶι ἔξωθεν περιειλημένον. ZYQXU^m*G

1 ἐρεοῦν : cιδηροῦν Y ||

Δ 137/Z^s ἔρυμα χροόc: φύλαγμα καὶ ἀcφάλιcμα τοῦ cώματοc. ZYQX

Δ 137/Z^s ἕρκοc ἀκόντων: τειχίον καὶ περίφραγμα τῶν δοράτων. ZYQX

Δ 138/Z^s ἥ οἱ: ἥτιc αὐτῶι. ZYQX

Δ 138/Z^s πλεῖcτον ἔρυτο: πολὺ ¦ ἐβοήθηcεν (=T^r). ZYQX

Δ 138/Z^s+U^i διὰ πρὸ δὲ εἴcατο καὶ τῆc: διῆλθεν δὲ καὶ δι' αὐτῆc τὸ βέλοc. ZYQXU^iJ^m | ἢ διόλου διαμπὰξ(= E 66𝔇) εἰcῆλθε τὸν Μενέλαον. U^iJ^m

1 τὸ βέλοc Z : τὸν μενέλαον UJ, om YQX ||

Δ 139/Z^s ἀκρότατον χρόα: τὴν ἐπιφάνειαν τοῦ δέρματοc. ZYQX

τοῦ cώματοc YQX = χ 278𝔇 ||

Δ 139/Z^s ἐπέγραψεν: ἐπέξεcεν. ZYQX

Δ 140/Z^s ἔρρεεν: ἔρρει, ἐφέρετο. ZYQX

Δ 140/$Z^s$ κελαινεφές: μέλαν ⌜ὡς νέφος L⌝. ZY

Δ 140/$Q^s$ κελαινεφέϊ (A 397): μέλανα νέφη ποιοῦντι (~ A 397𝔇) . $Q^s$

Δ 140/$Z^s$+$Q^s$ ἐξ ὠτειλῆς: ἐκ τοῦ τραύματος. ἀπὸ τοῦ οὐτᾶϲθαι, ZYQXAI | ὅ ἐϲτι τετρῶϲθαι. ZQXAIG | διαφέρει ὠτειλῆς οὐλή· ὠτειλὴ μὲν λέγεται αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ ὁ τύλος τοῦ θεραπευθέντος τραύματος. QX(A)UIG cf Amm. 525

2 ὠτειλὴ ... τραῦμα om A ||

Δ 141/$Z^s$ ἐλέφαντα: ἐλεφάντινον ὀστοῦν. ZYQX$T^r$

Δ 141/$Z^s$ φοίνικι: φοινικῶι χρώματι (=$T^r$), ὅ ἐστιν ἐρυθρῶι βάμματι. ZYQX

Δ 141/$Z^s$ μιήνηι: χρίσηι, βάψηι. ZYQX$T^r$

Δ 142/$Z^s$ Μηιονίς: Λυδή. ZYQX

Δ 142/$Z^s$ Κάειρα: Καρίνη. ἀπὸ Καρίας, ὡς τῶν χωρίων τούτων τὸ παλαιὸν καλαῖς βαφαῖς χρωμένων. ZYQXAG$T^r$

Δ 142/$Z^s$ παρήϊον: παραγναθίδιον, τὸ νῦν χαλινάριον λεγόμενον. ZYQX$T^r$

καλούμενον YQX, om $T^r$ ||

Δ 143/$Z^s$ ἐν θαλάμωι: ἐν τῶι οἴκωι. ZYQX

Δ 143/$Z^s$ πολέες: πολλοὶ αὐτό. ZYQX

πολλοὶ ⟨δὲ⟩ YQX || αὐτῷ Z ||

Δ 143/$Z^s$ ἠρήσαντο: ηὔξαντο. ZYQX

Δ 144/$Z^s$ ἄγαλμα: καλλώπισμα. πᾶν ἐφ' ὧι τις ἀγάλλεται καὶ χαίρει. οἱ δὲ μεθ' Ὅμηρον ποιηταὶ ἄγαλμα εἶπον τὸ ξόανον (e.g. Pind. N. 5,1). ZYQXU$I^m$G

Δ 145/$Z^s$ ἐλατῆρι: τῶι ἡνιόχωι. ZYQX

Δ 146/$Z^s$ τοῖοί τοι: οὕτως σοι. ZYQX$T^i$

Δ 146/$Z^s$ μιάνθην: ἐμιάνθησαν, ἐμολύνθησαν. ZYQX

ἐμολύσθησαν Z ||

Δ 147/$Z^s$ εὐφυέες: εὐφυεῖς, καλοί. ZYQX

Δ 147/$Z^s$ σφυρά: τὰ ἀπολήγοντα μέρη πρὸς τῶι ἀστραγάλωι, καὶ ἐκ πλαγίων ἐξέχοντα τῆς κνήμης καὶ τῆς περόνης. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν. ZYQXAUIG$^1$+G$^2$

↑ Δ 147/$Y^s$ σφυρά: τὰ ἀπολήγοντα μέρη τοῦ ποδὸς τὰ περὶ τοὺς ἀστραγάλους. (post 146 τοῖοι) Y

Δ 147/$Z^s$ ὑπένερθε: κάτωθεν. ZYQX

ὑποκάτωθεν YQX = B 150𝔇 ||

Δ 148/$Z^s$ ῥίγησεν: ἐφοβήθη, ἔφριξεν. ZYQX

Δ 149/$Y^s$ ὡς εἶδεν: ὡς ἐθεάσατο. Y

Δ 151/$Z^s$ ὡς δὲ ἴδεν: ὡς ἐθεάσατο δέ. ZYQX

δ' ἴδεν $Z^λ$ = Ξ 294 ||

Δ 151/$Z^s$+$A^{td}$ νεῦρόν τε καὶ ὄγκους: νεῦρον μὲν ἐν ὧι δέδεται τὸ σιδήριον τοῦ βέλους πρὸς τὸν κάλαμον (= U). 'ὄγκους' δὲ τὰς ἀκίδας καὶ ἐξοχὰς τοῦ βέλους. ZYQX$T^r$~G | τοὺς τῆς ἀκίδος λέγει πώγωνας. $A^{td}$ ~ φ 61𝔇, ApS 118,22)

1 σίδηρον YQX ||

Δ 151/$Z^s$ ἐκτὸς ἐόντας: ἔξωθεν τοῦ ἕλκους ὁρωμένους. ZYQX

ἕλκους Z : σώματος Y, βέλους QX ||

Δ 152/$Z^s$ ἄψορρόν οἱ: εἰς ὀπίσω πάλιν αὐτῶι ἡ ψυχὴ 'ἀγέρθη', τουτέστιν ἐπισυνηθροίσθη, ἐπισυνήχθη. ZYQX

1 εἰς τοὐπίσω YQX || ἐπισυνηθροίσθη om Y ||

Δ 153/$Z^s$ βαρὺ στενάχων: μεγάλα στενάζων. ZYQX

Δ 154/$Z^s$ ἔχων: κρατῶν. ZYQX

Δ 155/$Z^s$ κασίγνητε: ἀδελφέ. ZYQX

Δ 155/$Z^s$ θάνατόν νύ τοι: τὸν θάνατον δή σοι. ZYQX

Δ 155/$Z^s$ ὅρκι' ἔταμνον: ἀντὶ τοῦ ἐπὶ τῶι cῶι θανάτωι τοὺc ὅρκουc ἐποιηcάμην. ZYQX

Δ 156/$Z^s$ οἶον: μόνον (=$T^r$) cε ὑπὲρ τῶν Ἑλλήνων ποιήcαc μάχεcθαι. ZYQX

οἶον ⟨προcτήcαc⟩ $Y^λ$ || ποιήcαc de Marco : ποιήcαcθαι Z, προcτήcαcθαι Y, om QX || μαχέcαcθαι YQX ||

Δ 157/$Z^s$ ὡc c' ἔβαλον Τρῶεc: ἀντὶ τοῦ ὃν τρόπον cε ἔτρωcαν οἱ Τρῶεc καταφρονήcαντεc τῶν ὅρκων. ZYQX~$U^m$. $T^r$ κατὰ ποῖον τρόπον.

Δ 158/$Z^s$+$U^m$ οὐ μέν πωc: οὐδαμῶc μέν. ZYQX$U^m$ | ἔcτι γενναίου cτρατηγοῦ τὸ μὴ cυμπεπτωκέναι τοῖc καιροῖc, ἀνέχειν δὲ εἰc θεὸν τὴν ἐλπίδα καὶ τὸ cύμπτωμα τῆc τύχηc εἰc παραμυθίαν δέχεcθαι. $U^m$ $A^s$ ~$T^s$

1 cτρατηγοῦ AT : cτρατοῦ U || 3 τύχηc AT : ψυχῆc U ||

Δ 158/$Z^s$ ἅλιον: μάταιον. ZYQX

Δ 158/$Z^s$ πέλει: γενήcεται. ZYQX

Δ 159/$Z^s$ ἄκρητοι: ἀτέλεcτοι, ἀπλήρωτοι. ἢ αἱ δι' ἀκράτου οἴνου γινόμεναι. ZYQX ~$U^iT^r$

γινόμενοι Z ||

Δ 159/$Z^s$+$U^m$ δεξιαί: δεξιώcειc, ZYQX | φιλοφρονήcειc, πιcτώcειc, $U^m$ | πίcτειc. ZQX$U^m$

Δ 159/$Z^s$ ἧιc ἐπέπιθμεν: αἷc ἐπεπιcτεύκειμεν. ZYQX

Δ 160/$Z^s$ οὐκ ἐτέλεccεν: εἰc τέλοc οὐκ ἤγαγεν, οὐκ ἐπλήρωcεν. ZYQX

Δ 161/$Z^s$ ὀψέ: μετὰ πολύ, βραδέωc. ZYQX

Δ 161/$Z^s$ τελεῖ: τελειώcει. ZYQX

τελειώcη Z ||

Δ 161/$Z^s$+$L^s$ cύν τε μεγάλωι ἀπέτιcαν: ἀπέδωκαν. λείπει δὲ τὸ ¦ χόλωι (=$T^r$), ἵν' ἦι cὺν μεγάλωι χόλωι ZYQX | ἢ τόκωι ἤτοι ποινῆι προcτίμωι. L ~ Eust.

1 τὸ : τῶ Z || 2 ⟨τουτέcτι⟩ προcτίμωιEust. ||

↑ Δ 161/$T^r$ ⌊ἀπέτιcαν⌋ ἀποτίcουcι. = Ak-Ze

Δ 162/$Z^s$ cφῆιcιν: ἰδίαιc. (Z cφίcιν $^λ$)YQX

Δ 162/$Z^s$ γυναιξί τε καὶ τεκέεccιν: ἀντὶ τοῦ μετὰ γυναικῶν καὶ τέκνων. 'ἦμαρ' (164) δὲ ἡμέρα (= ApS 83,32). ZYQX

lemma 'ἦμαρ δὲ' Z : duo scholia YQX ||

Δ 166/$Z^s$ cφίν: αὐτοῖc. ZYQX

Δ 166/$Z^s$ ὑψίζυγοc: ὁ ἐπὶ ὑψηλοτάτου θρόνου καθεζόμενοc (~$U^mI^i$), ¦ ὁ τὴν ἀνωτάτω ἔχων ἕδραν (=U, ApS 161). ZYQX | ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ναυcὶ ζυγῶν, ἐφ' ὧν καθέζονται οἱ ἐρέccοντεc. ¦ ἢ ὁ ἐν ὕψει ζυγοcτατῶν (~$I^i$), καὶ ἀπονέμων ἑκάcτωι τὸ πεπρωμένον. ZYQXAU

1 ἐπὶ : ἐφ' Y || 2 ἕδραν Z : καθέδραν YQXU ||

Δ 166/$Z^s$ αἰθέρι ναίων: ἐν τῶι αἰθέρι κατοικῶν. ZYQX

Δ 167/$Z^s$ ἐπιccείηιcιν: ἐπιcείcηι. ZYQX

ἐπιcείcει Y (~$T^s$ "ἀντὶ τοῦ μέλλοντοc"), ἐπιcείει QX ||

Δ 167/$Z^s$ ἐρεμνήν: cκοτεινήν, φοβεράν. ὁ τρόποc μετωνυμία. ZYQX

Δ 168/$Z^s$ τῆcδ' ἀπάτηc: ὑπὲρ ταύτηc τῆc πλάνηc. ZYQX

Δ 168/$Z^s$ κοτέων: ὀργιζόμενοc. ZYQX

Δ 168/$Z^s$ οὐκ ἀτέλεcτα: οὐκ ἀπλήρωτα. ZYQX

Δ 169/$Z^s$ αἰνὸν ἄχοc: δεινὴ λύπη. ZYQX

Δ 170/$Z^s$ αἴ κε θάνηιc: ἐὰν ἀποθάνηιc. ZYQX

Δ 170/$Z^s$ μοῖραν: τὴν πεπρωμένην. ZYQX

Δ 170/$Z^s$ ἀναπλήcηιc: ἀναπληρώcειc. ZYQX. $T^r$ πληρώcηιc.

Δ 170/$Z^s$ βιότοιο: τοῦ βίου, ¦ τοῦ ζῆν (=$T^r$). ZYQX

Δ 171/Z$^s$ καί κεν: καὶ δὴ ἄν. ZYQX

Δ 171/Z$^s$ ἐλέγχιστος: ἐπονείδιστος, ἐφύβριστος. ZYQX

↓ Δ 171/U$^i$ ⸤πολυδίψιον⸥ πολυέραστον, ἐπιθυμητόν, ἢ τὸ πολλοῖς ἔτεσιν διψῆσαν.

Δ 171/Z$^s$+U$^s$ πολυδίψιον: τὸ πολλοῖς ἔτεσιν διψῆσαν. ZYQXI | ἄνυδρον γὰρ οὖσαν τὴν Πελοπόννησον ἔφυδρον ἐποίησεν Δαναὸς ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν. τῶν δὲ θυγατέρων αὐτοῦ ζητουσῶν ὑδρεύσασθαι, μιᾶς αὐτῶν, τῆς Ἀμυμώνης, ἠράσθη Ποσειδῶν καὶ ἔδειξεν αὐτῆι τῆι τριαίνηι πλήξας τὰς ἐν Λέρνηι πηγάς. οἱ δὲ οὕτως, ὅτι Ἀθηνᾶς ὑποθήκαις πολυδίψιον τὸ Ἄργος πρότερον ὑπάρχον ἄδιψον γενέσθαι διὰ τῶν Δαναοῦ θυγατέρων ἐποίησεν· ἐκεῖναι γὰρ ὄρυξιν φρεάτων ἐπενόησαν. παραγενομένων δὲ τῶν Αἰγύπτου παίδων ἐπὶ τὸν τῶν Δαναοῦ θυγατέρων γάμον αἱ Δαναΐδες κατὰ τὰς τοῦ πατρὸς ὑποθήκας ἐδολοφόνησαν αὐτούς. ἐκεῖνος γὰρ αὐταῖς συνεβούλευσεν, τοὺς τὴν παρθενίαν ἀφαιρουμένους ἀμύνασθαι. Ὑπερμνήστρα οὖν μόνη Λυγκέα περιέσωσεν. καὶ γὰρ ἐκεῖνος αὐτῆς τὴν παρθενίαν ἔσωσεν· ὅθεν γυναῖκα λαβὼν αὐτὴν ὕστερον συνετήρησεν (cf Apd. bibl. 2,1,5). πολυδίψιον οὖν ἤτοι πολυδιάφθορον διὰ πολέμους, ἢ πολυπόθητον μεταφορικῶς ἀπὸ τῶν διψώντων καὶ ἐπιθυμούντων ποτοῦ· ἐξ οὗ ἄνυδρον. ἢ βλαβερόν, ἀπὸ τοῦ ἴψιον (cf EtM 681,12). ZYQXAUI | ἢ παρὰ τὸ ἴψαι (~ He δ 2032)· Σοφοκλῆς ἐν Ἰξίονι (fr. 296 Radt) δίψιον κατὰ πλεονασμὸν τοῦ δ̄· 'δίψιον ἄτηισι βεβολημένον'. καὶ μαρτυρεῖ 'πολυδίψιον Ἄργος ἱκοίμην'. οὕτω καὶ τὸ ὀΐσατο ἀπὸ τοῦ οἴω ῥήματος γέγονεν, ὃ κατὰ διαίρεσιν ὀΐω. μηδέποτε δὲ καὶ τὸ δοάσσατο περισσῶι κέχρηται τῶι δ̄, ὡς καὶ τὸ δνοφερὸν ὕδωρ παρὰ τὸ νέφος πεποίηται. UI (omnia praeter verba Sophoclis cum scholio ad ApR 4,14 ὀΐσσατο! congruentia, cf EtM 281,15)

2 ἔνυδρον YQXU || 3 δὲ : γὰρ YA || 4 αὐτῆι : αὐτὴν Z || 5-6 πολυδίψιον ... γενέσθαι om YQX || 7 αἰγύπτου παίδων U : αιγυπτί[ ]δῶν Z, αἰγυπτίδων Y, αἰγυπτίων QXA || 9 ἀφαιρουμένας A || 10 κλυταιμνήστρα Y || λυγκέα : ὀλυγκέα YQXU, ὀλγκέα A || περιέσωσεν ⟨καὶ ἐτήρησεν⟩ YQXAU || 12 πολυδιάφορον Z || 13 ἐπιθυμώντων A || ἔνυδρον YQX ~ Hes. fr. 128 || 16 βεβολημένον U : βεβλημένον I ||

Δ 171/Z$^s$ ἱκοίμην: παραγενοίμην. ZYQX

Δ 172/Z$^s$ μνήσονται: μνείαν ποιήσονται, ὅ ἐστιν "σοῦ τελευτήσαντος ZYQXI | εὐθὺς οἱ Ἕλληνες θελήσουσιν ἀπελθεῖν ἐπὶ τὰς πατρίδας". ZQXI

2 θεληνες expunctum ante θελήσουσιν Z ||

Δ 174/Z$^s$ πύσει: σήψει. ZYQXT$^r$

Δ 175/Z$^s$ ἀτελευτήτωι: ἀσυντελέστωι, ἀπληρώτωι. ZYQX

Δ 175/Z$^s$ ἔργωι: "πολέμωι" νῦν. ZY(om νῦν) QX~T$^r$, cf B 751𝔇 "νῦν τὰ γεώργια".

Δ 176/Z$^s$ καί κέ τις: καὶ δή τις. ZYQX

Δ 176/Z$^s$ ὑπερηνορεόντων: ἤτοι τῶν ὑπερεχόντων τῆι ἠνορέηι, τουτέστιν ἀνδρείων. νῦν δὲ τῶν ὑπὲρ δύναμιν φρονούντων, ὑπερηφάνων. ZYQXI (cf I 398𝔇 ἀγήνωρ)

1 ἀνδρείων : τῆ ἀνδρία Y || 2 νῦν δὲ : ἢ Y ||

Δ 177/Z$^s$ τύμβωι: τάφωι. Z(YQX ⟨τῶ⟩ τάφω)

Δ 177/Z$^s$ ἐπιθρώσκων: ἐφαλλόμενος, ἐπιπηδῶν. ZYQX

Δ 178/Z$^s$ αἴθ' οὕτως: εἴθε οὕτως. ἐπίρρημα εὐκτικόν. ZYQX

Δ 178/Z$^s$ τελέσει: πληρώσει. ZYQX

Δ 179/Z$^s$ ἅλιον: μάταιον. ZYQX

Δ 181/Z$^s$ κεινῆισιν νηυσίν: σὺν κεναῖς ταῖς ναυσίν. κεναῖς δὲ εἶπεν διότι Μενέλαος ἀποθανὼν οὐκ ἔμελλεν πλεῖν ἐν αὐταῖς. ZYQXU$^i$*IG

1 ⟨σὺν⟩ κεινῆσι Y$^\lambda$ = Hom. || κεναῖς$^1$ : ἐκειναις Z ||

Δ 182/Z$^s$ ἐρέει: ἐρεῖ, λέξει. ZYQX

Δ 182/Z$^s$+U$^i$ τότε μοι χάνοι εὐρεῖα χθών: τότε γῆς χάσματι δεχθείην. ¦ οὐ γὰρ ἐπιθετικῶς αὐτὴν λέγει εὐρεῖαν, ἀλλὰ τὴν εὐρὺ τῆι διαστάσει χάσμα ποιήσασαν (=U$^i$). ZYQXIG | γῆς χάσματι δεχθείην. χάσμα ποιήσασα πλατὺ ἡ γῆ πίοι με. U$^i$

2 λέγει αὐτὴν YQX ||

Δ 183/Z$^{s}$ ἐπιθαρσύνων: εὐθαρσέστερον καὶ εὔψυχον ποιῶν. ZYQX
καὶ ... ποιῶν : ποιῶν εὔψυχον QX ||

Δ 184/Z$^{s}$ μηδέ τί πω: μηδέπω. ZYQX

Δ 184/Z$^{s}$ δειδίσσεο: εἰς δέος καὶ φόβον ἄγε. ZYQXT$^{r}$

Δ 185/Z$^{s}$ οὐκ ἐν καιρίωι: οὐκ ἐν τῶι πρὸς ἀναίρεσιν τόπωι τοῦ σώματος, ὅ ἐστιν οὐκ ἐν ἐπικινδύνωι. ZYQXG

Δ 185/Z$^{s}$ πάροιθεν: ἔμπροσθεν. ZYQX

Δ 186/Z$^{s}$ εἰρύσατο: ἐφύλαξεν. ZYQXT$^{r}$

Δ 186/Z$^{s}$ παναίολος: παμποίκιλος. ZYQX

Δ 187/Z$^{s}$ ζῶμα: ὁ ζωστὸς χιτών. ZYQX

Δ 187/Z$^{s}$+U$^{m}$ μίτρη: χαλκὴ λεπὶς ἣν ζώννυνται περὶ τὸν κενεῶνα, χάριν πλείονος ἀσφαλείας. ZYQXU$^{m}$IG | ἡ δὲ μίτρα ἔσωθεν ἐριώδης ἐστὶ περὶ τὴν ἐπιφάνειαν χαλκῆ ὑπάρχουσα. U$^{m}$=T$^{s}$A$^{s}$
1 ζώννυται Z ||

Δ 187/Z$^{s}$ κάμον: ἔκαμον, κατεσκεύασαν. ZYQX

Δ 189/Z$^{s}$ αἲ γάρ: εἴθε γάρ. ZYQX

Δ 189/Z$^{s}$ φίλος: ἀντὶ τοῦ προσφιλέστατε. ZYQX

Δ 190/Z$^{s}$ ἕλκος: τραῦμα. ZYQX

Δ 190/Z$^{s}$ ἰητήρ: ἰατρός. ZYQX

Δ 190/Z$^{s}$ ἐπιμάσσεται: ἐφάψεται, ἐπιψηλαφήσει. ZYQXA$^{ti}$T$^{r}$
ἐφάψηται Z || ψηλαφήσει ἐφάψεται A$^{t}$ ||

Δ 191/Z$^{s}$+U φάρμακα: ἰάματα. φάρμακα γὰρ κυρίως ἐκεῖνα λέγεται τὰ οἱονεὶ ἐπιφέροντα τὸ ἄκος, ὅ ἐστιν τὴν ἴασιν. ZYQXUIG | τρεῖς γὰρ φαρμάκων ἰδέαι· ἐπίπαστα, ὡς ἐπὶ Μενελάου (Δ 218-9)· χριστά, 'ἰοὺς χρίεσθαι' (α 262)· πότιμα, ὡς ἐπὶ Ἑλένης (δ 220) U$^{s}$IG = A$^{s}$, T$^{s}$ ad Δ 213 et 218.

Δ 191/Z$^{s}$ ἅ κεν: ἅπερ δή. ZYQX

Δ 191/Z$^{s}$ παύσηισι: παύσηι, θεραπεύσηι. ZYQX

Δ 192/Z$^{s}$ ἦ: ἔφη, εἶπεν. ZYQX

Δ 192/Z$^{s}$ θεῖον: ἤτοι ἐκ θεῶν τὸ γένος ἔχοντα, ἢ θαυμαστόν (=U$^{i}$). ἡ δὲ τῶν κηρύκων ἱστορία προγέγραπται ἐν τῆι Α (Α 334𝔇). ZYQXIG
1 ἡ δὲ : ἡ περὶ Y || 2 προείρηται Q, εἴρηται X ||

Δ 193/Z$^{s}$ ὅττι τάχιστα: ὡς τάχος. ZYQXT$^{s}$**

Δ 193/Z$^{s}$ Μαχάων: υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης, ἢ Κορωνίδος· κατὰ δέ τινας Ἠπιόνης τῆς Μέροπος· κατὰ δὲ Ἡσίοδον Ξάνθης (fr. 53). ZYQXAG~U$^{m}$
μαχάονα YQX$^{\lambda}$ = Hom. || 1 μαχάων ⟨δὲ οὗτος⟩ A || 2 Ἡσιόνης ... Ξανθινόης QX ||

Δ 193/Z$^{s}$ δεῦρο: ἐνταῦθα, εἰς τοῦτον τὸν τόπον. ZYQX

Δ 194/Z$^{s}$ Ἀσκληπιοῦ υἱόν: Ἀσκληπιοῦ παῖδα. εἴρηται δὲ ἀπὸ τοῦ ἀσκεῖν καὶ ἤπια τὰ μέλη ποιεῖν. ZYQXA~G
1 ἀπὸ τοῦ : παρὰ τὸ A ||

Δ 194/Z$^{s}$ ἀμύμονος: ἀγαθοῦ, ἀψόγου. ZYQX

Δ 194/Z$^{s}$ ἰητῆρος: ἰατροῦ. ἀπὸ τοῦ ἰᾶσθαι καὶ παύειν τὰ πάθη. ZYQXI

Δ 200/Z$^{s}$ παπταίνων: περιβλεπόμενος. ZYQX

Δ 200/Z$^{s}$ ἐνόησεν: ἐθεάσατο, εἶδεν. ZYQX

Δ 201/Z$^{s}$ ἑσταότα: ἑστῶτα. ZYQX

Δ 201/Z$^{s}$ ἀμφὶ δέ μιν: περὶ αὐτὸν δέ. ZYQX

Δ 201/Z$^{s}$ κρατεραί: ἰσχυραί. ZYQX

Δ 201/Z$^{s}$ στίχες: τάξεις. ZYQX

Δ 202/Z$^{s}$ οἵ οἱ ἕποντο: οἵτινες αὐτῶι ἐπηκολούθουν. ZYQX
ἠκολούθουν YQX ||

Δ 202/Z$^s$ Τρίκης ἐξ: ἀπὸ τῆς Τρίκης, ¦ πόλεως Θεσσαλικῆς (=T$^r$). ZYQXI | ὁ δὲ τρόπος ἀναστροφή. ZYI

τρίκκης Z$^λ$ et Z$^s$ || τρίκκης ἐξ ἱπποβότοιο· ἀπὸ τῆς ἱπποτρόφου τρίκκης· ἔστι δὲ αὕτη πόλις θεσσαλική Y ||

Δ 204/Z$^s$ ὄρσεο: διεγείρου, ἀνίσταςο. ZYQX

Δ 204/Z$^s$ Ἀσκληπιάδη: Ἀσκληπιοῦ παῖ, Μαχάον. ZYQX

Δ 204/Z$^s$ καλέει: καλεῖ. ὁ τρόπος διαίρεσις. ZYQX

Δ 205/Z$^s$ ὄφρα ἴδηαι: ὅπως θεάσηι. ZYQX

Δ 206/Z$^s$ ὀϊστεύσας: τοξεύσας. ZYQX

Δ 206/Z$^s$ ἔβαλεν: ἔτρωσεν. 'τόξων' δὲ 'εὖ εἰδὼς' ἀντὶ τοῦ τοξικῆς ἔμπειρος. ZYQX

lemma 'τόξων εὖ εἰδὼς δὲ' Z : duo scholia YQX || ἀντὶ τοῦ Z : τῆς YQX ||

Δ 207/Z$^s$ τῶι μὲν κλέος: τῶι μὲν τρώσαντι αὐτὸν ¦ δόξα (≈ E 3𝔇). Z

Δ 207/Z$^s$ ἄμμι δὲ πένθος: ἡμῖν δὲ λύπη. ZYQX

Δ 208/Z$^s$+Q$^s$ ὄρινεν: διετάραξεν, διήγειρεν. ὁ τρόπος μεταφορὰ ἀπὸ ἀψύχου ἐπὶ ἔμψυχον. ZYQXI$^m$ | τὸ ο̅ μικρὸν διὰ τὸ μέτρον. Q = Γ 395/Q

ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα YQ(X ἀψύχων) I ||

Δ 209/Z$^s$ βὰν δ' ἰέναι: ἐπορεύθησαν δέ. ZYQX

Δ 210/Z$^s$ ἵκανον: παρεγένοντο. ZYQX

Δ 211/Z$^s$ βλήμενος: βεβλημένος. ZYQX

Δ 211/Z$^s$ ἀγηγέραθ': συνηθροισμένοι ἦσαν. ZYQX

Δ 212/Z$^s$ κυκλόσ': ἐν κύκλωι, πέριξ. ZYQX

Δ 213/Z$^s$ ἀρηρότος: εὖ ἡρμοσμένου. ZYQX

Δ 213/Z$^s$ ἕλκεν: ἔξω εἷλκεν. ZYQX

Δ 214/Z$^s$ τοῦ δ' ἐξελκομένοιο: τούτου δὲ εἰς ὀπίσω ἑλκομένου κατεάγησαν αἱ γωνίαι. ZYQX~I$^i$

ἐξελκομένου εἰς τοὐπίσω Y ||

Δ 214/Z$^s$ ὀξέες: ὀξεῖς. ZYQX

Δ 214/Z$^s$ ὄγκοι: αἱ γωνίαι καὶ αἱ ἐξοχαὶ τῶν ἀκίδων τοῦ βέλους. ZYQX~U$^i$I$^m$G

Δ 218/Z$^s$ ἐκμυζήσας: ἐκπιάσας, ἐκθλίψας. ZYQXT$^r$

ἐκπιέσας YL, Suda 508, cf Phot. ε 445 test. ||

Δ 218/Z$^s$ ἤπια: τὸ ἑξῆς ἐπέπασσε αὐτῶι ¦ πρᾶα καὶ προσηνῆ φάρμακα (=I$^i$), ZYQXG | παυστικὰ τῶν ὀδυνῶν. ZQXI$^i$G

Δ 219/Z$^s$ τά οἱ: ἅπερ αὐτῶι. ZYQX

Δ 219/Z$^s$ πόρεν: παρέσχεν, ἐδωρήσατο. ZYQX

Δ 219/Z$^s$ Χείρων: εἷς τῶν Κενταύρων, εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Κρόνου καὶ Φιλύρας, ἢ ὡς ἔνιοι Ποσειδῶνος. ZYQXAUI~G, cf Wilamowitz Kl. Schr. 1,457 n.2

Δ 220/Z$^s$ ὄφρα τοί: ἕως οὗ οὗτοι. ZYQXI

Δ 220/Z$^s$ ἀμφεπένοντο: περὶ τὸν Μενέλαον ἐνήργουν καὶ ἠσχολοῦντο. ZYQXI

Δ 221/Z$^s$ τόφρα δέ: ἐν τοσούτωι δέ. καὶ ἔστιν ἀνταποδοτικὸν τοῦ ὄφρα. ZYQXI

Δ 221/Z$^s$ ἐπὶ Τρώων στίχες: τὸ ἑξῆς ἐστιν ἐπήλυθον. ZYQX

Δ 222/Z$^s$ ἔδυ (ἔδυν Hom.): ἐνεδύσατο (≈ Γ 332𝔇 ἔδυνε). ZYQX

ἀνεδύσατο Z ||

Δ 222/Z$^s$ μνήσαντο: μνήμην ἐποιοῦντο τοῦ πολέμου. ZYQX | 'χάρμη' γὰρ ἡ μάχη· ἤτοι κατὰ ἐναντιότητα, ἢ ἡ χαρὰν ἐμποιοῦσα τοῖς νικῶσιν. ZYQXAIG cf Δ 509𝔇 "κατὰ ἐναντιότητα, ἐφ' ἧι οὐδεὶς χαίρει", M 389$^T$ "κατ' ἀντίφρασιν", H 218$^T$ "κατ' εὐφημισμόν".

1 ἐποιήσαντο Y || χάρμης Hom. || χάρμη {γὰρ} A ||

Δ 223/Z$^s$ ἔνθα: τότε. ZYQX

Δ 223/$Z^s$ βρίζοντα: νυστάζοντα καὶ ἠρεμοῦντα· ἐξ οὗ ἀμελοῦντα. ZYQ$T^r$~$U^i$G | βρίξαι γὰρ κυρίως ἐστὶν τὸ μετὰ βάρους τροφῆς ἀπονυστάξαι. ZYQA$U^m$$I^m$G~$T^r$

2 βρίξαι YQ$T^r$ : βρίξ ZA || γὰρ om YA || 2 ἐστὶν om YA ||

Δ 224/$Z^s$ καταπτώσσοντα: ἀποδειλιῶντα, ἀποφεύγοντα. ZYQX

Δ 226/$Z^s$ ἔασε: κατέλειψεν. ZYQX

Δ 227/$Z^s$ φυσιόωντας: πνευστιῶντας (=$T^r$), ἀσθμαίνοντας. ZYQX

Δ 229/$Z^s$ παρασχέμεν: παρασχεῖν. ZYQX$T^r$

Δ 230/$Z^s$ γυῖα: μέλη. ZYQX

Δ 230/$Z^s$ διακοιρανέοντα: διατάσσοντα (=$T^r$), ἐπερχόμενον. ZYQX

Δ 231/$Z^s$ ἐπεπωλεῖτο: ἐπήρχετο. ZYQX

Δ 232/$Z^s$ ἴδοι: θεάσοιτο. ZYQX

Δ 232/$Z^s$ ταχυπώλων: ἱππικῶν, πολεμικῶν. ZYQX

Δ 233/$Z^s$ θάρσυνε (= K 190, θαρσύνεσκε Hom.): εὐθαρσέστερον ἐποίει, προέτρεπεν. ZYQX

Δ 234/$Z^s$ μεθίετε: ἀμελεῖτε. ZYQX

μεθίεται· ἀμελεῖται Z ||

Δ 234/$Z^s$ θούριδος: ὁρμητικῆς, πολεμικῆς. ZYQX$U^m$$I^i$

πηδητικῆς $I^i$U*, ApS 88 ||

Δ 234/$Z^s$ ἀλκῆς: δυνάμεως ZYQX$U^m$$I^i$ | τοῦ πολέμου ἤγουν τοῦ ὁρμητικοῦ καὶ πολλοῦ πολέμου. $I^i$~$U^m$

Δ 235/$Z^s$ ἀρωγός: βοηθός. ZYQX | ὁ δὲ νοῦς· οὐ γὰρ ἐπιβοηθήσει τοῖς ψεύσταις ὁ Ζεύς. ZQX$U^m$$T^r$~$I^i$

Δ 236/$Z^s$ δηλήσαντο: ἔβλαψαν, παρῆλθον. ZYQX

Δ 237/$Z^s$ τέρενα: τρυφερόν. ZYQX

Δ 237/$Z^s$ ἔδονται: φάγωσιν. ZYQX

Δ 240/$Z^s$ μεθιέντας: ἀμελοῦντας. ZYQX$T^r$

Δ 240/$Z^s$ στυγεροῦ: μισητοῦ, φοβεροῦ. ZYQX

Δ 241/$Z^s$ νεικείεσκε: ἐκακολόγει. ZYQX

Δ 241/$Z^s$ χολωτοῖσιν: ὀργιστικοῖς. ZYQX

Δ 242/$Z^s$ ἰόμωροι: οἱ περὶ ἰοὺς καὶ τόξα μεμωρηκότες, ὅ ἐστιν κάμνοντες. ZYQXG. $A^{ti}$ περὶ βέλη μεμωρημένοι, ἐπιπόνως ἀναστρεφόμενοι.

1 μεμωρημένοι QX = $A^t$, ApS 91,24 ||

Δ 242/$Z^s$ ἐλεγχέες: ἐπονείδιστοι. ZYQX

Δ 242/$Z^s$ οὔ νυ σέβεσθε: οὐκ ¦ ἐντρέπεσθε (=$T^r$), ZYQX$A^{ti}$ | οὔτε αἰδεῖσθε. ZY

σέβεσθαι et ἐντρέπεσθαι et αἰδεῖσθαι Z ||

Δ 243/$Z^s$ τίφθ' οὕτως: τί δήποτε οὕτως ZYQX | ἀργῶς. ZQX

ἀργοί QX ||

Δ 243/$Z^s$ τεθηπότες: ἐκπεπληγμένοι, δειλωθέντες. ZYQX

Δ 243/$Z^s$+$U^m$ νεβροί: ἐλάφων βρέφη. ZYQX$U^m$ | οἱ νεωστὶ ἐπὶ βορὰν ἐληλυθότες· ἢ νέποροι, οἱ μηδέπω πορεύεσθαι δυνάμενοι. $U^m$G ~ EtM 599

Δ 244/$Z^s$ θέουσαι: τρέχουσαι. ZYQX

Δ 245/$Z^s$ οὐδ' ἄρα τί σφι μετὰ φρεσὶ γείνεται ἀλκή: οὐδεμίαν δὲ ἔννοιαν ἀλκῆς καὶ σωτηρίας ποιοῦνται δειλιῶσαι. ZYQX$U^i$$I^m$G

τις / τι vv.ll. Hom. || σφίσι $Z^\lambda$ || γίνεται YQ$X^\lambda$ / γείνεται $Z^\lambda$ = vv.ll. Hom. ||

Δ 246/$Z^s$ τεθηπότες: ἐκπεπληγμένοι. Z = Δ 243𝔇

Δ 247/$Z^s$ μένετε: προσμένετε. ZYQX

Δ 248/$Z^s$ εἰρύαται: εἱλκυσμέναι εἰσίν. ZYQX$T^r$

Δ 248/$Z^s$ εὔπρυμνοι: καλὰς πρύμνας ἔχουσαι. ¦. πρύμναι δὲ καλοῦνται τὰ ὄπισθεν μέρη τῶν νεῶν (=$I^m$, ~G). ZYQX

Δ 248/$Z^s$ ἐπὶ θινί: ἐπὶ τῶι αἰγιαλῶι. ZYQX | 'ἀλκὴν' (253) δὲ δύναμιν, ἀνδρείαν. ZYQ

lemma 'ἀλκὴν δὲ' Z, duo scholia YQ ||

Δ 251/$Z^s$ κιών: παραγενόμενος. ZYQ

Δ 251/$Z^s$ ἀνὰ οὐλαμόν: ἀνὰ τὸν θόρυβον, ¦ κατὰ τὴν συνέλευσιν καὶ ἄθροισιν τῶν ἀνδρῶν (=G). ¦ οὐλαμὸς δὲ τάξις συνεστηκυῖα ἐκ τεσσαράκοντα ἀνδρῶν (=$U^mI^mGT^r$) ZYQA | ἡ δὲ φάλαγξ τάξις ἀπὸ ἑκατὸν εἴκοσι ἀνδρῶν. ZYQ$U^mI^m$GTr (cf Γ 196$^T$ "στὶξ .. σμ' ἀνδρῶν", Δ 334$^{ti}$ "πύργος τξ' ἄνδρες"; Eust. 469,8)

3 φάλαγξ : φάλαγξας Z ||

Δ 252/$Z^s$ ἀμφ' Ἰδομενῆα: περὶ τὸν Ἰδομενῆα. ZYQ

Δ 254/$Z^s$ πυμάτας: ἐσχάτας. ZYQ

Δ 254/$Z^s$ ὤτρυνεν: ἐπεσπούδαζεν, παρώρμα. ZYQ

ἐσπούδαζεν Q ||

Δ 254/$Z^s$ φάλαγγας: τὰς τάξεις τῶν στρατιωτῶν εἶπεν ὁ ποιητὴς ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο, φάλαγγας δὲ τὰ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι. ἔτι γοῦν καὶ ἡμεῖς τὰ ἐκ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν. ZYQAUI$^m$G

1 τὰς om YQAU || τῶν om Y || εἶπε δὲ οὕτως Y || 2 ⟨οὐ⟩ ξύλοις A ||

Δ 256/$Z^s$ μειλιχίοισιν: πράοις, προσηνέσιν. ZYQ

μειλιχιοις $Z^\lambda$ = M 267$^{ti}$ ||

Δ 257/$Z^s$ περὶ μέν σε τίω: περισσῶς μέν σε τιμῶ, ὅ ἐστιν ὑπὲρ πάντας. ZYQG

Δ 258/$Z^s$ ἀλλοίωι: καὶ ἐν ἄλλωι τῶι οἰωιδήποτε. ZYQ

⟨ἠδ'⟩ ἀλλοίωι $Y^\lambda$ ||

Δ 258/$Z^s$ ἔργωι: πράξει. λέγει δὲ ¦ τῆι ἐνέδραι (=$T^r$). ZYQ

Δ 259/$Z^s$ γερούσιον: ἔντιμον, ¦ κατὰ τιμὴν διδόμενον (=$T^r$) γέρας. ZYQ

Δ 259/$Z^s$ αἴθοπα οἶνον: μέλανα, ZQ | ἢ θερμαντικόν. Z = A 462𝔇

Δ 260/$Z^s$ κέρωνται: κιρνῶσιν. ZYQ

Δ 262/$Z^s$ δαιτρόν: μεμερισμένον, διαιρετόν. ZQ~$T^i$

Δ 262/$Z^s$ πλεῖον: πλῆρες. ZYQ$T^r$

Δ 263/$Z^s$ ἀνώγοι: κελεύοι. ZYQ

Δ 264/$Z^s$ ὄρσευ: διεγείρου. ZYQ

ὄρσεο $Y^\lambda$ (= Δ 204𝔇) ||

Δ 264/$Z^s$ πάρος: πρότερον. ZYQ$T^r$

Δ 264/$Z^s$ εὔχεαι εἶναι: ἀντὶ τοῦ καυχᾶσαι ὑπάρχειν. ZYQ

Δ 265/$Z^s$+$Q^s$ ἀγός: ἡγεμών (≃ Γ 231𝔇), ZYQ | παρὰ τὸ ἄγω ῥῆμα. Q

Δ 266/$Z^s$ ἐρίηρος: ἄγαν εὐάρμοστος, ἐπιτήδειος. ZYQ. $T^r$ εὐάρεστος.

Δ 267/$Z^s$ ἔσσομαι: ἔσομαι, γενήσομαι, ἢ εἰμί. ZYQ | ἔλαβεν δὲ ἀπαρέμφατον ἀντὶ ἐνεστῶτος. ZY

1 ἔσομαι om Y || ἔσσομαι· γενήσομαι Z post 264 ὄρσευ || ἀπαρέμφατον cf introd. n.18 ||

↑ Δ 267/$Z^s$ ἔσσομαι: γενήσομαι. (post 264 ὄρσευ) Z ≃ A 70𝔇

Δ 267/$Z^s$ πρῶτα (πρῶτον Hom.): πρῶτον, ἐξ ἀρχῆς. ZYQ ≃ Δ 424𝔇

Δ 267/$Z^s$ ὑπέστην: ὑπεσχόμην. ZYQ

Δ 268/$Z^s$ ὄτρυνε: προτρέπου, παρόρμα. ZYQ

ὤτρυνε $Z^\lambda$ ≃ Δ 254𝔇 ||

Δ 269/$Z^s$ ἐπεὶ σὺν γ' ὅρκι' ἔχευαν: ἐπειδὴ συνέχεαν τοὺς ὅρκους, ἐφιώρκησαν. ZYQ

ἐφιώρκησαν Z, cf Gignac 1,137 : ἐπιώρκησαν YQ ||

Δ 270/$Z^s$ κήδεα: κακά, λῦπαι. ZYQ

Δ 270/$Z^s$ ὀπίσσω: μετὰ ταῦτα. ZYQ

Δ 272/$Z^s$ παρώιχετο: παρῆλθεν. ZYQ

Δ 272/$Z^s$ γηθόcυνοc κῆρ: χαίρων τῆι ψυχῆι. ZYQ

Δ 273/$Z^s$ οὐλαμόν: τὸ πλῆθοc. ZYQX

Δ 274/$Z^s$ τὼ δέ: οὗτοι δέ. ZYQ

Δ 274/$Z^s$ κορυccέcθην: καθωπλίζοντο. ZYQ

κορυcέcθην $Z^λ$ || καθοπλίζοντο Z ||

Δ 274/$Z^s$ νέφοc: πύκνωμα, πλῆθοc. ZYQ | ὁ τρόποc ¦ μεταφορὰ (=$A^{ti}$) ἀπὸ τοῦ ἀθροίcματοc τῶν νεφῶν. $ZQI^m$

Δ 274/$Z^s$ εἵπετο: ἠκολούθει. ZYQ

Δ 275/$Z^s$ ἀπὸ cκοπιῆc: ἀπὸ ὑψηλοῦ τόπου, ἀφ' οὗ ἐcτιν περιcκοπῆcαι καὶ ἰδεῖν. ZYQG

Δ 275/$Z^s$ νέφοc: ἀχλύν. ZYQ

Δ 275/$Z^s$ αἰπόλοc: αἰγονόμοc. ZYQ

Δ 276/$Z^s$ κατὰ πόντον: διὰ τῆc θαλάccηc. ZYQ

Δ 276/$Z^s$ ὑπὸ Ζεφύροιο ἰωῆc: ὑπὸ τῆc τοῦ Ζεφύρου πνοῆc. εἴρηται δὲ Ζέφυροc, ὅτι ἀπὸ ζόφου πνεῖ· ζόφον δὲ τὴν δύcιν ἔλεγον οἱ ἀρχαῖοι. ZYQAU*~$I^m$G cf $T^r$

Δ 277/$Z^s$ τῶι δέ τ' ἄνευθεν ἰόντι μελάντερον ἠύτε πίccα φαίνετ' ἰόν: cτικτέον μετὰ τὸ μελάντερον, ἔπειτα ἀπὸ ἄλληc ἀρχῆc ἀναγνωcτέον 'ἠΰτε πίccα', ἵνα ἦι "τῶι αἰπόλωι πόρρω διατελοῦντι μελάντερον αὐτῶι καταφαίνεται τὸ νέφοc, καὶ ὅμοιον πίccηι". ZYQUI = Ni

3 τῶι : τὸ Z ||

Δ 277/$Z^s$ ἄνευθεν ἰόντι: πόρρωθεν ἐρχομένωι, ἢ πορευομένωι. ZYQ

Δ 277/$Z^s$ μελάντερον: ἀντὶ τοῦ μέλαν, ὑπερθετικὸν ἀντὶ cυγκριτικοῦ. ZYQU ~T

cυγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ YQU, cυγκριτικῶι ἀντὶ ἁπλοῦ T, cf introd. n. 18 ||

Δ 278/$Z^s$ ἰόν: πορευόμενον (~ Γ 77𝔇), φερόμενον. Z

Δ 278/$Z^s$ λαίλαπα: cυcτροφὴν ἀνέμου καὶ καταφορὰν μετὰ ὄμβρου. $ZYQI^i$

Δ 279/$Z^s$ ῥίγηcεν: ἐφοβήθη. ZYQX

Δ 279/$Z^s$ ὑπό τε cπέοc: ὑπὸ τὸ ¦ cπήλαιον (=$T^r$). ZYQ

τε om $Z^λ$ ||

Δ 279/$Z^s$ ἤλαcε: εἰcήλαcεν, εἰcήγαγεν. 'μῆλα' δὲ τὰ θρέμματα. ZYQ

lemma 'μῆλα δὲ ZYQ : duo scholia L ||

Δ 280/$Z^s$ τοῖαι: τοcαῦται καὶ τοιαῦται. ZYQ

Δ 280/$Z^s$ ἅμ' Αἰάντεccι: ὁμοῦ τοῖc Αἴαcιν. ZYQ

Δ 280/$Z^s$ αἰζηῶν: νεανιῶν. ZYQ

Δ 281/$Z^s$ δήϊον: διακοπτικόν, φθαρτικόν (≃ Β 415𝔇). Z

Δ 281/$Z^s$ πυκιναί: πυκναί, πολλαί. ZYQ

Δ 281/$Z^s$ κίνυντο: ἐκινοῦντο. ZYQ

Δ 282/$Z^s$ κυάνεαι: μέλαιναι, κυανέωι χρώματι παραπλήcιαι, ἢ πυκναί. ZYQG

Δ 282/$Z^s$ cάκεcιν: ταῖc ἀcπίcιν. ZYQ

Δ 282/$Z^s$ ἔγχεcιν: δόραcιν. ZYQ

Δ 282/$Z^s$ πεφρικυῖαι: τῆι ἀνατάcει τῶν δοράτων ¦ πεπυκνωμέναι (=$A^{ti}U^i$). ZYQG

Δ 283/$Z^s$ καὶ τοὺc μέν: καὶ τούτουc μέν. ZYQ

Δ 284/$Z^s$ καί cφέαc: καὶ αὐτούc. ZQ

Δ 285/$Z^s$ ἡγήτορε: ἡγεμόνεc, ZYQ | διατάκται. ZQ

Δ 286/$Z^s$ cφῶϊ: ὑμᾶc. ZYQX

Δ 286/$Z^s$ οὐ γὰρ ἔοικεν: οὐ πρέπει γάρ. ZYQ

Δ 286/$Z^s$ ὀτρυνέμεν: παρορμᾶν. ὁ δὲ νοῦc· ὑμᾶc μὲν οὐ παρορμῶ, οὐδὲ γὰρ προcήκει. ZYQG

1 οὐδὲ Q : οὔτε Z, οὐ Y || προcῆκον ἐcτί Y ||

Δ 287/Z$^{s}$ ἀνώγετον: κελεύετε. ZYQ
κελεύεται Z ||

Δ 288/Z$^{s}$ αἲ γὰρ Ζεῦ τε πάτερ: εἴθε γὰρ ὦ πάτερ Ζεῦ. ἔστι δὲ ἐπίρρημα εὐχῆς σημαντικόν (~ B 371𝔇). ZYQG

Δ 289/Z$^{s}$ τοῖος πᾶσι θυμός: τοιαύτη πᾶσι προθυμία. ZYQ. A$^{ti}$ πέσοι supra θυμὸς!

Δ 290/Z$^{s}$ τῶι κε: οὕτως ἂν ταχέως. ZYQ
⟨duo scholia Y ||

Δ 290/Z$^{s}$ ἠμύσειε: κλινθείη, ¦ πορθηθείη (=T$^{r}$). ZYQX

Δ 291/Z$^{s}$ ἁλοῦσα: ληφθεῖσα. ZYQ

Δ 292/Z$^{s}$ λίπεν: κατέλιπεν. ZYQ
κατέλειπεν Z ||

Δ 292/Z$^{s}$ μετ' ἄλλους: πρὸς τοὺς ἄλλους. ZYQ

Δ 293/Z$^{s}$ ἔτετμεν: κατέλαβεν. ZYQ

Δ 293/Z$^{s}$ λιγύν: ἡδὺν τῶι συμβουλεύειν, προσηνῆ. ZYQ

Δ 294/Z$^{s}$ οὕς: τοὺς ἰδίους. ZYQ

Δ 294/Z$^{s}$ στέλλοντα: ἑτοιμάζοντα (=T$^{r}$), διατάσσοντα. ZYQ

Δ 295/U$^{m}$+Z$^{s}$ ἀμφὶ μέγαν Πελάγοντα 'Αλάστορά τε ¦ Σχεδίον τε (O 515, Χρόμιόν τε Hom. = YQA$^{λ}$: εἰσὶ δὲ ὀνόματα κύρια U$^{m}$I$^{m}$. | οὗτοι ταξίαρχοι ὑπῆρχον, βασιλεὺς δὲ πάντων τῶν Πυλίων Νέστωρ. ZYQAU$^{m}$I$^{m}$GT$^{r}$

Δ 297/Z$^{s}$+U$^{s}$ ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν / πεζοὺς δ' ἐξόπιθεν: πρώτους εἰκὸς εἰρῆσθαι τοὺς ἐπὶ τοῦ δεξιοῦ κέρως ἑστῶτας, ¦ ὄπισθεν δὲ τοὺς ἐπὶ τοῦ ἀριστεροῦ, ὡς εἰκὸς μεταξὺ τετάχθαι τοὺς δειλούς (~T$^{s}$). οὕτω γὰρ λόγον ἕξει τὸ 'ὄφρα καὶ οὐκ ἐθέλων τις (=U) ἀναγκαίηι πολεμίζηι' (300) ZYQA | πρώτους γὰρ εἰκὸς εἰρῆσθαι τοὺς ἐπὶ δεξιοῦ μέρους ἑστῶτας.
1 πρώτως YQ || 2 ὄπιθεν (= T 397) ZA || 3 οὕτω : οὐ L || 4 ἀνάγκη Z || πολεμίζειν A, πολεμίζοι L ||

Δ 297/Z$^{s}$ ἱππῆας μὲν πρῶτα: τοὺς μὲν ἱππέας ἐπὶ τοῦ δεξιοῦ μέρους. ZQ

Δ 298/Z$^{s}$ πεζοὺς δ' ἐξόπιθεν: τοὺς δὲ πεζοὺς ἐξ εὐωνύμων. ZYQ

Δ 298/Z$^{s}$ ἐσθλούς: ἀγαθούς, γενναίους. ZYQ

Δ 299/Z$^{s}$+Q$^{s}$ κακοὺς δ' ἐς μέσσον ἔλασσεν: τοὺς δὲ ἀσθενεῖς καὶ δειλοὺς κατὰ μέσον συνέκλεισεν. ZYQU | ἐπὶ γὰρ μετώπου τάσσει τὴν φάλαγγα, οὐ κατὰ βάθους. ZYQAU | τουτέστι μεταξὺ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλεν. QAUG
3 {τουτέστι} μεταξὺ ⟨δὲ⟩ A ||

Δ 299/Z$^{s}$ ἔλασσεν: συνέλασεν, συνέκλεισεν. ZYQ

Δ 300/Z$^{s}$ ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίηι πολεμίζηι: ὅπως καὶ μὴ βουλόμενός τις τῆι ἀνάγκηι προσέχων πολεμῆι. ZYQ
2 πολεμεῖ Z ||

Δ 301/Z$^{s}$ ἐπετέλλετο: προσέτασσε. ZYQ
προσετάσσετο Z ||

Δ 301/Z$^{s}$ ἀνώγει: ἐκέλευεν. ZQX | παρεκελεύετο (= Π 8𝔇). Y

Δ 302/Z$^{s}$ σφούς: τοὺς ἰδίους. ZYQX

Δ 302/Z$^{s}$ ἐχέμεν: κατέχειν. ZYQX

Δ 302/Z$^{s}$ κλονέεσθαι: ταράσσεσθαι. ZYQX

Δ 303/Z$^{s}$ ἱπποσύνηι: τῆι ἱππικῆι ἐμπειρίαι (=T$^{r}$). 'ἠνορέηφι' δὲ τῆι ἑαυτοῦ ἀνδρείαι. ZYQX
lemma 'ἠνορέηφι δὲ' Z : duo scholia YQX ||

Δ 303/Z$^{s}$ πεποιθώς: πεπιστευκώς, τεθαρρηκώς. ZYQX

Δ 304/Z$^{s}$ πρόσθ' ἄλλων: ἔμπροσθεν τῶν λοιπῶν. ZYQX

Δ 304/Z$^{s}$ μεμάτω: προθυμείσθω. ZYQX

Δ 305/$Z^s$ ἀλαπαδνότεροι γὰρ ἔϲεϲθε: ἀϲθενέϲτεροι (=$T^r$) γὰρ καὶ εὐχείρωτοι ἔϲεϲθε. ZYQX

Δ 306/$Z^s$ ἀπὸ ὧν ὀχέων: ἀπὸ τῶν ἰδίων ἁρμάτων. ZYQX

Δ 306/$Z^s$ ἕτερ' ἅρμαθ' ἵκηται: εἰϲ ἑτέρου ἅρμα παραγένηται. ZYQX

ἥκηται $Z^λ$ ||

Δ 307/$Z^s$ ἔγχει ὀρεξάϲθω: τῶι δόρατι ἀποκτεινάτω, ZYQX ~$T^i$| πολεμηϲάτω. ZQX

ἀπεκτεινάτω YQX ||

Δ 307/$Z^s$ ἐπειή: ἐπειδή. ZYQX

Δ 307/$Z^s$ πολὺ φέρτερον: κατὰ πολὺ κρεῖττον. τοῦτο τὸ ῥῆμα κατὰ τὴν ἑρμηνείαν αὐτὴν ζητεῖται. καὶ οἱ μὲν φαϲὶν παραγγέλλειν αὐτὸν ἵνα, ὃϲ ἂν πολεμίου ἅρματοϲ κρατήϲαϲ ἐπιβῆι, μάχηται καὶ μὴ ἐξελαύνειν ϲπουδάζηι. οἱ δὲ οὕτωϲ· ὅϲτιϲ δ' ἄν, φηϲιν, ἀποπέϲηι τοῦ ἰδίου ἅρματοϲ, καὶ ἐπὶ τὸ τοῦ πληϲίον παραγένηται, μὴ ἡνιοχείτω, διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίαι τοῦ ἤθουϲ τῶν ἵππων· δόρατι δὲ μᾶλλον ἀμυνάϲθω τοὺϲ πολεμίουϲ, ὅ ἐϲτιν πολεμείτω. ZYQXAUIG~$T^r$

3 μάχηται QXUT$^r$ : μάχεται ZA, μάχεϲθαι Y || 4 τὸ om YQXAUT$^r$ ||

Δ 308/$Z^s$ ὧδε: οὕτωϲ. ZYQX

Δ 308/$Z^s$ καὶ οἱ πρότεροι: καὶ οἱ προγενέϲτεροι, ZYQX | παλαιότεροι, οἱ πρὸ ἡμῶν. ZQX. $A^{ti}$ οἱ πάλαι.

Δ 308/$Z^s$ πόλιαϲ: πόλειϲ. ZYQX

Δ 308/$Z^s$ ἐπόρθουν: ἔϲτρεφον. ZYQX

κατέϲτρεφον Y ||

Δ 309/$Z^s$ τόνδε νόον: ταύτηι τῆι διανοίαι χρώμενοι. ZYQX

Δ 310/$Z^s$ πάλαι πολέμων εὖ εἰδώϲ: ἐκ πολλοῦ χρόνου ἠϲκηκὼϲ τὸ πολεμεῖν. τουτέϲτιν πολλάκιϲ πολεμήϲαϲ καὶ τούτου πεῖραν ἱκανὴν ἔχων. ZYQXG

Δ 311/$Z^s$ καὶ τὸν μέν: καὶ τοῦτον μέν. ZYQX

Δ 313/$Z^s$ εἴθ' ὡϲ θυμόϲ: εἴθε ϲοῦ τῆι τῆϲ γνώμηϲ προθυμίαι ἐπήρκει ἡ τοῦ ϲώματοϲ δύναμιϲ. ZYQX

1 γνώμηϲ Z : ψυχῆϲ YQX ||

Δ 314/$Z^s$ ἕποιτο: ἀκολουθείη. ZYQX

ἠκολούθει ἦν Z ||

Δ 314/$Z^s$ βίη: δύναμιϲ. ZYQXT$^r$

Δ 314/$Z^s$ ἔμπεδοϲ: ἑδραία, ἀϲφαλήϲ. ZYQX

Δ 314/$Z^s$ εἴη: ὑπάρχοι. ZYQX

Δ 315/$Z^s$ τείρει: δαπανᾶι, καταπονεῖ. ZYQX

Δ 315/$Z^s$ ὁμοίϊον: τὸ ὁμοίωϲ πᾶϲι χαλεπόν. ZYQXIT | ἰϲτέον δὲ ὅτι ὁ ποιητὴϲ πανταχοῦ τὸ ὁμοίϊον ἐπὶ τοῦ φαύλου λαμβάνει, οἷον ὡϲ ἐνταῦθα 'ἀλλά ϲε γῆραϲ τείρει ὁμοίϊον'. καὶ 'ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ καὶ φίλωι ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότ' ἂν (γ 236~7) τέλοϲ ἔλθηι ὁμοιίου πτολέμοιο' (~ Γ 291 + ω 543). ZYQXA UIG

1 δὲ om A || 3 δύναται Z || 4 ὁππότ' ἂν ... verba perturbata deleverim || ὁμοίϊον YQXA U||

Δ 316/$Z^s$ κουροτέροιϲι: νεωτέροιϲ. ZYQX~$T^i$

Δ 316/$Z^s$ μετεῖναι: ϲυναναϲτρέφεϲθαι. ZYQX

Δ 319/$Z^s$ ὣϲ ἔμεν: οὕτωϲ εἶναι, οὕτωϲ ἀκμάζειν. ZYQX

Δ 319/$Z^s$+$Y^s$ ὡϲ ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν: ἀπέκτεινα, ἐφόνευϲα. ZYQX | Πύλιοι καὶ Ἀρκάδεϲ περὶ γῆϲ ὅρων ἐπολέμουν περὶ τὸ καλούμενον ὄροϲ Ἀγκαῖον. Νέϲτωρ δὲ μονομαχήϲαϲ ἐκ προκλήϲεωϲ Ἐρευθαλίωνα τὸν Ἱππομέδοντοϲ, ἢ ὡϲ ἔνιοι Ἀφείδαντοϲ, ἀνεῖλεν καὶ ὑπὸ χαρᾶϲ τὸ περιοριϲθὲν χωρίον παρεξῆλθεν. ⟨οἱ δὲ Ἀρκάδεϲ⟩, ἔτι δὲ ϲκαρίζοντοϲ τοῦ Ἐρευθαλίωνοϲ, ἐφορμήϲαντεϲ τοῖϲ Πυλίοιϲ ϲυνέβαλον, καὶ οὕτωϲ ἐνίκηϲαν. θάψαντεϲ δὲ τὸν Ἐρευθαλίωνα καὶ τοὺϲ φίλουϲ ἐπέγραψαν τῶι τάφωι τόδε τὸ ἐπίγραμμα "ἐνθάδ' Ἐρευθαλίωνι φίλοιϲ τ' ἐπὶ τύμβον

ἔθηκαν / Ἀρκαδίης βασιλῆς, γένος ἔξοχον Ἱππομέδοντος, / οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμωι δαμάσαντο" (inscr. 229 Preger). ZYQXAUIG (aliter T) | ἱστορεῖ Ἀρίαιθος (FGrHist 316F7). YAUIGT

2 Ἀγκαῖον : Λύκαιον Bekker, cf Jacoby not. 60 "topographisch akzeptabel, aber etwas billig" || 4-5 suppl. L sec. Eust. 477,18 || 6 θάφαντος Z || 7 ἐρευθαλίωνα Z || 8 ἔθηκαν : ἔχευαν Y ~ H 336 χεύομεν || βασιλῆες ZA || οἵ ποτε L : εἴ ποτε ZQXA, ὅπποτε Y ||

Δ 320/$Z^{s}$ ἀλλ' οὔ πως: ἀλλ' οὐδαμῶς. ZYQX

Δ 320/$Z^{s}$ ἅμα πάντα: πάντα ὁμοῦ. ZYQX

Δ 320/$Z^{s}$ δόσαν: ἔδωκαν, παρέσχον. ZYQX

Δ 321/$Z^{s}$ κοῦρος: νέος. ZYQX

Δ 321/$Z^{s}$ ἔα: ἀντὶ τοῦ ἦν (=$T^{r}$) ἐγώ. ἔλαβεν δὲ ὑπερσυντελικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. ZYQX$I^{m}$G

1 ὑπερσυντέλικον Z || 2 ἐνεργητικοῦ (cf introd. n. 18) : παρατατικοῦ L ||

Δ 322/$Z^{s}$ ἀλλὰ καὶ ὥς: ἀλλὰ καὶ οὕτως ὤν. ZYQX

Δ 322/$Z^{s}$ ἱππεῦσι μετέσσομαι: ἅμα τοῖς ἱππεῦσιν ἔσομαι. (Z ταῖς) YQX

Δ 322/$Z^{s}$ ἠδὲ κελεύσω: καὶ προστάξω, ὅ ἐστιν ἀφηγήσομαι. ZYQX

Δ 323/$Z^{s}$ τὸ γὰρ γέρας ἐστὶ γερόντων: αὕτη γάρ ἐστιν ἡ τῶν πρεσβυτῶν γνώμη καὶ τιμὴ τὸ καλῶς συμβουλεύειν. ZYQXG~$I^{i}$

Δ 324/$Z^{s}$ αἰχμάς: ἀπὸ μέρους τὰ δόρατα. ZYQX ~$T^{i}$

Δ 324/$Z^{s}$ αἰχμάσσουσιν: ἀνακινήσουσιν, ὅ ἐστι πολεμήσουσιν. ZYQX

Δ 324/$Z^{s}$ οἵ περ ἐμεῖο: οἵτινες ἐμοῦ. ZYQX

Δ 325/$Z^{s}$ ὁπλότεροι: νεώτεροι, μᾶλλον ὅπλα φέρειν δυνάμενοι. ZYQX ~ Epim. o 68

Δ 325/$Z^{s}$ γεγάασι: γεγένηνται. ZYQX

γεγέννηνται Z ||

Δ 326/$Z^{s}$ παρώιχετο: παρῆλθεν. ZYQX

Δ 327/$Y^{s}$ εὗρ' υἱὸν Πετεῶο: ἰστέον, ὅτι τούτου τοῦ ὀνόματος ἡ ἀνάλογος εὐθεῖά ἐστιν ὁ Πετεὸς τοῦ Πετεοῦ, ὡς ἐνεὸς ἐνεοῦ. καὶ Ἀττικῶς κατ' ἐπέκτασιν τοῦ ο̅ εἰς τὸ ω̅ γέγονε Πετεώς, ὡς ἀπὸ τοῦ Μενέλαος Μενελάου Μενέλεως γίνεται κατὰ τοὺς Ἀττικοὺς καὶ ἀπὸ τοῦ λαὸς λεώς. οὕτως καὶ ἀπὸ τοῦ Πετεὸς Πετεώς. εἶτα ἡ γενικὴ τοῦ Πετεῶ καὶ κατὰ πλεονασμὸν τοῦ ο̅ γέγονε Πετεῶο, YQXAUIG$T^{r}$ | ἐξ οὗ 'τὸ εὗρ' υἱὸν Πετεῶο'. YQXUI cf Eust. 283,37 (ad B 552), EtM

omnia praeter lemma om Z || 2 νεὸς νεοῦ A || 3-4 ὡς ... πετεώς : om A || 5 εἶτα ... Πετεῶο om Y ||

Δ 328/$Z^{s}$ μήστωρες ἀϋτῆς: δυνάμενοι κατὰ μάχην μήσασθαι, ὅ ἐστιν βουλεύσασθαι. ZYQAUG | ἀφ' οὗ ἐπιστήμονες μάχης. ZYQXAUG

↑ Δ 328/$Z^{s}$ μήστωρες ἀϋτῆς: ἐπιστήμονες μάχης. (post 357) ZYQ

Δ 330/$Z^{s}$ ἀλαπαδναί: ἀσθενεῖς. ZYQX

Δ 331/$Z^{s}$ οὐ γάρ πώ σφιν ἀκούετο: οὐδέπω γὰρ ἤκουον τῆς κατὰ τὸν πόλεμον κραυγῆς, τουτέστιν οὐδέπω ἤιδεσαν διὰ τὸ πόρρω εἶναι, εἰ ὁ πόλεμος κεκίνηται. ZYQUG

2 εἰ : ὅτι Z ||

Δ 331/$Z^{s}$ ἀκούετο: ἀντὶ τοῦ ἤκουον. ZYQX ~ Ak ὅτι ...

Δ 332/$Z^{s}$ νέον: νεωστί. Z (νεωστεί) YQ

Δ 332/$Z^{s}$ συνορινόμεναι: συνταρασσόμεναι. ZYQ

Δ 332/$Z^{s}$ κίνυντο: ἐκινοῦντο. ZYQ

Δ 333/$U^{m}$ ⌞οἱ δὲ μένοντες⌟ οὗτοι δὲ ἀναμένοντες οἱ Κεφαλλῆνες καὶ οἱ Ἀθηναῖοι ἵσταντο.

Δ 334/$Z^{s}$ πύργος: τάξις (=$T^{r}$). ὁ τρόπος μεταφορά. ZYQI

Δ 334/$A^{ti}$ ⌞πύργος⌟ τξ' ἄνδρες .~ $A^{s}$

Δ 335/$Z^{s}$ Τρώων ὁρμήσειεν: προσληπτέον τὸ κατα̅, ἵν' ἦι ¦ κατὰ Τρώων (=$T^{r}$). ZYQ~$T^{s}$

Δ 336/$Z^s$ νείκεσσεν: ἐλοιδόρησεν, ἐπέπληξεν. ZYQ

Δ 339/$Z^s$ κεκασμένε: κεκοσμημένε. ZYQ

Δ 339/$Z^s$ κερδαλεόφρον: πανοῦργε, ἢ φιλοκερδέστατε. ZYQ

Δ 340/$Z^s$ ἀφέστατε: ἄπωθεν καὶ χωρὶς ἑστήκατε. ZYQ

ἄποθεν YQ ||

Δ 340/$Z^s$ μίμνετε: περιμένετε. ZYQ

μίμνεται· περιμένεται Z ||

Δ 341/$Z^s$ σφῶϊν: ὑμῖν. ZYQ

Δ 341/$Z^s$ μετὰ πρώτοισιν ἐόντας: ἐν πρώτοις ὄντας. ZYQ

Δ 342/$Z^s$ καυστειρῆς: δεινῆς, καυστικῆς, διαπύρου. ZYQ

Δ 342/$Z^s$ ἀντιβολῆσαι: ἀπαντῆσαι, μετασχεῖν. ZYQ

Δ 343/$Z^s$ πρώτω: πρῶτοι δυϊκῶς. ZYQ

Δ 343/$Z^s$ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο: ἐπὶ δαῖτα ¦ καλεῖσθε (=$T^r$) ἀπὸ τοῦ παρεπομένου. ὁ τρόπος συνεκδοχή. ὁ δὲ λόγος· πρῶτοι γὰρ καὶ ἐπὶ εὐωχίαν καλεῖσθε ὑπ' ἐμοῦ. ZYQIG

1 καλεῖσθαι Z ||

Δ 344/$Z^s$ γέρουσιν: τοῖς ἐντίμοις. ZYQ

Δ 344/$Z^s$ ἐφοπλίζωμεν: παρασκευάζομεν. ZYQ

ἐφοπλίζοιμεν / ἐφοπλίζωμεν vv.ll. Hom., ἐφοπλίζομεν $YQ^{\lambda}$ ||

Δ 345/$Z^s$ φίλα: προσφιλῶς, ἡδέως. ZYQ (~$T^i$ ἀντὶ τοῦ φίλως).

Δ 345/$Z^s$ ὀπταλέα: ὀπτά. ZYQ

Δ 345/$Z^s$ ἔδμεναι: ἐσθίειν. Z = E 203𝔇

Δ 345/$A^{ti}$ ⸤κύπελλα⸥ λείπει τὸ ἐστί.

Δ 346/$Z^s$ πινέμεναι: πίνειν. Z cf Δ 345𝔇, B 345𝔇

Δ 346/$Z^s$ μελιηδέος: ἡδέος, καλοῦ. ZYQ

Δ 346/$Z^s$ ὄφρ' ἐθέλητον: ἕως οὗ θέλητε. Z(θέληται) $YQXT^r$

Δ 347/$Z^s$ νῦν δὲ φίλως χ' ὁρόωιτε: νῦν δὲ ἡδέως ἂν ἴδοιτε. ZYQG. $T^r$ ὁρῶιτε.

Δ 348/$Z^s$ μαχοίατο: μάχοιντο. ZYQ

Δ 350/$Z^s$ ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων: ὁποῖον τοῦτον τὸν λόγον ἐτόλμησας τῶι στόματί σου εἰπεῖν; ἕρκος γάρ φησιν τὸ περίφραγμα τῶν ὀδόντων, τὰ χείλη περιφραστικῶς. ZYQAG~$I^i$

1 τὸν om A ||

Δ 351/$Z^s$ πῶς δὴ φῄς: πῶς δὴ λέγεις ταῦτα; ZYQ

Δ 351/$Z^s$ μεθιέμεν: ἀμελεῖν. ZYQ

Δ 352/$Z^s$ ὀξύν: ταχύν, τὸν ταχεῖαν ἔχοντα τὴν ἐν τοῖς φόνοις κρίσιν. $ZYQI^mG$

Δ 352/$Z^s$ Ἄρηα: νῦν τὸν πόλεμον. ZYQX = B 381𝔇

Δ 353/$Z^s$ ὄψεαι: ἴδῃς, θεάσῃ. ZYQ

Δ 353/$Z^s$ ἢν ἐθέλῃσθα: ἐὰν βουληθῇς. ZYQX

Δ 353/$Z^s$ καὶ αἴ κέν τοι τὰ μεμήλῃ: καὶ ἐὰν ἐάσωσί σε οἱ πολέμιοι περὶ τοῦτον ἀσχοληθῆναι. $ZYQI^mG$

1 τοῦτο Z ||

Δ 353/$Z^s$ μεμήλῃ: διὰ φροντίδος σχῇς. ZYQ

Δ 354/$Z^s$ προμάχοισι μιγέντα: ἐν τοῖς πρωταγωνισταῖς γενόμενον. ZYQ

Δ 355/$Z^s$ ἀνεμώλια: ἀνεμοφόρητα, μάταια, ἀνέμοις ἐοικότα· ZYQXIG | ἐξ οὗ ἀφανῆ. ZQIG

1 ἀνεμοφόρητα Y : ἀνεμόφθορα Q (= LXX), ἀνεμοφθόρητα Z ||

Δ 355/$Z^s$ βάζεις: λέγεις. ZQ ~ ApS 50,20

Δ 356/$Z^s$ ἐπιμειδήσας: ἐπιμειδιάσας, ὑπογελάσας. ZYQ

Δ 357/$Z^{s}$ ὡς γνῶ χωομένοιο: ὡς ἐπέγνω αὐτὸν ὀργισθέντα. ZYQG

Δ 357/$Z^{s}$ πάλιν δ' ὅ γε λάζετο : ἀντὶ τοῦ "εἰς τὸ ἐναντίον ἔτρεψε τὸν λόγον". ψόγον γὰρ εἰπὼν (336) νῦν ἔπαινον λέγει. ZYQ

Δ 357/$Z^{s}$ πάλιν: ἔμπαλιν, ἐκ δευτέρου. ZYQ

Δ 357/$Z^{s}$ λάζετο: ἐπελάβετο, μετέστρεψεν. ZYQ
μετέστρεφεν Z ||

Δ 359/$Z^{s}$ νεικείω: κακολογῶ. ZYQX

Δ 359/$Z^{s}$ περιώσιον: περισσῶς, παρὰ τὸ προσῆκον. ZYQX. $A^{ti}$ περιττόν, ὑπερέχον ...

Δ 361/$Z^{s}$ ἤπια: πραέα, προσηνῆ. ZYQX

Δ 361/$Z^{s}$ δήνεα: βουλεύματα. ZYQX = ApS 58,12

Δ 361/$Z^{s}$ ἅ τ' ἐγώ περ: ἅπερ κἀγώ. ZYQX
καγώ Z : ἐγώ YQX ||

Δ 362/$Z^{s}$ ὄπισθεν: ἐν τῶι μετὰ ταῦτα χρόνωι. ZYQX

Δ 362/$Z^{s}$ ἀρεσσόμεθα: ἐξιλεωσόμεθα, θεραπεύσομεν. ZYQX
θεραπεύσωμεν Z ||

Δ 363/$Z^{s}$ μεταμώλια: μάταια. $ZYQXT^{r}$
μεταμώνια / μεταμώλια vv.ll. Hom. ||

Δ 363/$Z^{s}$ θεῖεν: ποιήσειαν. ZYQ

Δ 364/$Z^{s}$ μετ' ἄλλους: ἐπὶ τοὺς ἄλλους. ZYQ

Δ 365/$Z^{s}$ ὑπέρθυμον: μεγαλόψυχον, ἀνδρεῖον. ZYQ

Δ 366/$Z^{s}$ κολλητοῖσι: καλῶς συνηρμοσμένοις, εὖ συμπήκτοις. ZYQ

Δ 370/$Z^{s}$ ὤ μοι: φεῦ μοι. ἐπίρρημα λύπης καὶ οἴκτου δηλωτικόν. $ZYQI^{i}$
φεῦ μοι om Y ||

Δ 371/$Z^{s}$ τί: ἐπίρρημα ἀπορητικόν. ZYQ

Δ 371/$Z^{s}$ πτώσσεις: κατέπτηχας, ἀποδειλιᾶις. ZYQ
πτώσεις $Z^{\lambda}$ ||

Δ 371/$Z^{s}$ ὀπιπεύεις: ἐπιτηρεῖς. περισκοπεῖς. ZYQ

Δ 371/$Z^{s}$ πολέμοιο γεφύρας: τὰς διεξόδους τοῦ πολέμου. ZYQ | μεταφορὰ ὁ τρόπος. $ZQI^{m}$

Δ 372/$Z^{s}$ ὧδε: οὕτως. ZYQ

Δ 372/$Z^{s}$ πτωσκαζέμεν: καταπτήσσειν, δειλιᾶν. $ZYQT^{r}$

Δ 373/$Z^{s}$ πολύ: ἐπίρρημα ποσότητος δηλωτικόν. $ZYQI^{m}$ ~ Θ 560/Ak 'τόσσα'.
μεσότητος Q ~ Ω $657^{i}$ ||

Δ 373/$Z^{s}$ πρὸ φίλων: ἔμπροσθεν τῶν προσφιλῶν αὐτοῦ ἑταίρων. ZYQ
προσφιλῶν αὐτοῦ ἑταίρων ZQ : φίλων Y ||

Δ 373/$Z^{s}$ δηΐοισι: τοῖς πολεμίοις. ZYQ

Δ 374/$Z^{s}$ οἵ μιν ἴδοντο: οἵτινες αὐτὸν ἴδον. ZYQ
οἵτινες ZQ : ὅ ἐστιν Y || εἶδον YQ ||

Δ 374/$Z^{s}$ πονεύμενον: ἐπιπονοῦντα, μαχόμενον. ZYQ
πονοῦντα Y ||

Δ 375/$Z^{s}$ ἤντησα: συνέτυχον. ZYQ

Δ 375/$Z^{s}$ περὶ δ' ἄλλων: ἀντὶ τοῦ ὑπὲρ δὲ τοὺς ἄλλους λέγουσιν αὐτὸν γεγονέναι ἀνδρεῖον. $ZYQU^{m}$
1 δὲ om Y ||

Δ 376/$Z^{s}$ ἄτερ πολέμου: χωρὶς πολεμικῆς παρατάξεως. ZYQI | Οἰδίπους ἀποβαλὼν Ἰοκάστην ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλλεν τοὺς προγόνους ὡς πειράσαντας αὐτήν. ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτοῖς δι' αἵματος παραλαβεῖν τὴν χώραν, καὶ παρέδωκε τὴν βασιλείαν αὐτοῖς. Ἐτεοκλῆς δὲ ὁ υἱὸς αὐτοῦ ἐξέβαλεν

Πολυνείκην τὸν ἀδελφὸν αὐτοῦ ὡς πρεσβύτερος. παραγενόμενος δὲ οὗτος εἰς Ἄργος εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῶι πατρὶ τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτοὺς ἠμφιεσμένους θηρῶν δοράς, Τυδέα μὲν συός, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν· ἦν γὰρ αὐτῶι δεδομένος κάπρωι καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας. δίδωσιν οὖν Τυδεῖ μὲν Δηϊπύλην, Ἀργείαν δὲ Πολυνείκει. ¦ πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν ᾔτει ἐπὶ Θηβαίους. Θυέστης μὲν οὖν ἑτοίμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν ἐν ταῖς Θήβαις οἱ Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα. ὃς παραλαβὼν γυμνικὸν ἀγῶνα καὶ συμμαχούσης Ἀθηνᾶς νικᾶι τὰ πάντα. ὑποστρέφων δὲ πεντήκοντα νεανίας ἐνεδρεύοντας αὐτὸν συλλαβὼν ἀναιρεῖ (=$T^r$). ZYQAU*I

2 Ἀστυμέδουσαν cf FGrHist 3F95,24 || διέβαλεν YL || 4 ὁ πρῶτος τῶν υἱῶν αὐτοῦ Y || 5 πρεσβύτερον QA || 8 θηρίων Y || 9 δεδομένος A : δεδομένον ZYQ || οὖν om YQAU || 10 πέμψας YU : πέμψαι ZQA || μυκήνην Y || 11 οὖν om A || ἑτοίμως : προθύμως A || 12 ἐν $AT^r$ : ἐς || οἱ ⟨γὰρ⟩ ἀργεῖοι A || 13 καταλαβὼν $YT^r$ || 14 αὐτὸν om Y || ἀναιρεῖ : ἀπέκτεινε $T^r$ ||

Δ 377/$U^s$ ⌊ξεῖνος⌋ ξένου δὲ διαφοραὶ ἕξ. ξεῖνος ὁ πολέμιος ὡς ἐνταῦθα. ξεῖνος ὁ δεχόμενος καὶ ὁ δεχθείς· 'ξεῖνος δέ μοι ὅδ' ἐστί' (~ θ 208). πρόξενος ὁ ὑπὸ πόλεως ἠξιωμένος ὥστε ἐν τῆι σφετέραι προΐστασθαι αὐτῆς. ἰδιόξενος ὁ ἰδίαι ἢ πατρόθεν ξένος, ὡς ὁ Μέντωρ τῶι Τηλεμάχωι. ἀστόξενος (≃ Aesch. Suppl. 356) ὁ ἐπιχώριος ἐκ προγόνων, ὡς Ἀτρεὺς Φρὺξ καὶ Τεῦκρος Τρώς. δορύξενος, ὡς Γλαῦκος καὶ Διομήδης. $UI^m$=$T^s$ cf Aph fr. 300-2, Pollux 3,59-60; Amm. 411

4 ἀστόξενος T = He α 7877 : ἀστύξενος U || Φρυξὶ T || Τρωσὶν T ||

Δ 377/$Z^s$ ἀντιθέωι: ἰσοθέωι. ZYQ

Δ 378/$Z^s$ τότε: ἐπίρρημα χρόνου δηλωτικόν. ZYQ

Δ 378/$Z^s$ ἐστρατόωντο: ἐστρατοπεδεύοντο. ZYQ

Δ 378/$Z^s$ ἱερὰ πρὸς τείχεα Θήβης: περιφραστικῶς τὰς Θήβας. ZYQIG | Θῆβαι δέ εἰσιν αἱ πᾶσαι τρεῖς, ὧν μέμνηται ὁ ποιητής. καὶ μία, ὧν νῦν ποιεῖται λόγον. Ὑποπλάκιοι, ὧν μέμνηται ἐν τῆι Α (366) καὶ τῆι Ζ (397). καὶ αἱ Αἰγύπτιαι, περὶ ὧν φησὶν ἐν τῆι Ἰῶτα (381). ZYQAUIG

1 δέ om YA || 2 καὶ om Y || λόγων Z ||

Δ 379/$Z^s$ κλειτούς: ἐνδόξους. ZYQ

Δ 379/$Z^s$ ἐπικούρους: βοηθούς, συμμάχους. ZYQ. $T^r$ ἤτοι συμμαχίαν.

Δ 380/$Z^s$ δόμεναι: δοῦναι. ZYQ

Δ 380/$Z^s$ ἐπήινεον: συγκατετίθεντο, συνήινουν. ZYQ

Δ 381/$Z^s$ ἔτρεψε: ἀπέτρεψεν, ZY | ἐκώλυεν. ZYQ

Δ 381/$Z^s$ παραίσια: ἐναντία, παρεκτὸς τοῦ αἰσίου, ὅ ἐστιν ἅπασι χαλεπά. ZYQXG~$I^m$

ἅπασι ZQ : ἀπαίσια Y ||

Δ 381/$Z^s$ σήματα φαίνων: σημεῖα φανερὰ ποιῶν, δεικνύς. ZYQX

⟨καὶ⟩ δεικνύς Y ||

Δ 382/$Z^s$ ᾤχοντο: ἐπορεύοντο. ZYQX

Δ 382/$Z^s$ ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο: καὶ προῆλθον τῆς ἐπὶ Θήβας ὁδοῦ. ZYQX

Δ 383/$Z^s$ Ἀσωπός (Ἀσωπὸν Hom.): ποταμὸς Βοιωτίας ZYQX | ἐγγὺς Θηβῶν. ZYX

Δ 383/$Z^s$ βαθύσχοινον: βαθεῖαν σχοῖνον ἔχοντα. 'λεχεποίην' δὲ βαθεῖαν πόαν ἔχοντα, ἐξ ἧς ¦ ἔστι καὶ λέχος ποιῆσαι, ὅ ἐστι κοίτην (=$U^m$~G). ZYQX

1 ἔχοντα : ἔχουσαν Z || lemma 'λεχεποίην' pro δὲ YQX || 1-2 ἔχοντα : ἔχουσαν Z ||

Δ 384/$Z^s$ ἀγγελίην ἐπὶ Τυδῆ: ἀντὶ τοῦ τότε δὴ τὸν Τυδέα ἄγγελον (~ $A^t$ ὅτι ...), ὅ ἐστι πρεσβευτὴν ἔπεμψαν οἱ Ἕλληνες. ZYQXG. $T^r$ ἤτοι τὸν Τυδέα.

ἔπεμψεν Z ||

Δ 384/$Z^s$ στεῖλαν: ἀπέστειλαν. ZQ

Δ 385/$Z^s$ κιχήσατο: κατέλαβεν. ZYQX

Δ 385/$Z^s$ Καδμείωνας: τοὺς Θηβαίους. ἀπὸ Κάδμου τοῦ κτίσαντος τὰς Θήβας. ZYQX $I^m$G

Δ 386/Z$^{s}$ δαινυμένους: εὐωχουμένους, ἑστιωμένους. ZYQX

Δ 386/Z$^{s}$ κατὰ δῶμα: κατὰ τὴν οἰκίαν. ZYQX

Δ 386/Z$^{s}$ βίης Ἐτεοκληείης: τοῦ Ἐτεοκλέους περιφραστικῶς. ZYQXGA$^{td}$

Δ 387/Z$^{s}$ ξεῖνός περ ἐών: καίπερ πολέμιος ὑπάρχων. ZYQXT$^{r}$

Δ 387/Z$^{s}$ ἱππηλάτα: ἀντὶ τοῦ ἱππηλάτης. ZYQX

Δ 388/Z$^{s}$ τάρβει: ἐφοβεῖτο, ηὐλαβεῖτο. ZYQX

εὐλαβεῖτο YQX ||

Δ 389/Z$^{s}$ ἀεθλεύειν: ἀγωνίζεσθαι. ZYQX

Δ 389/Z$^{s}$ προκαλίζετο: προεκαλεῖτο. ZYQX

Δ 389/Z$^{s}$ πάντα δ' ἐνίκα: ἀντὶ τοῦ ἐν παντὶ ἀγωνίσματι. ZYQXG

Δ 390/Z$^{s}$ ῥηϊδίως: ῥαδίως, εὐκόλως. ZYQX

Δ 390/Z$^{s}$ τοίη οἱ: τοιαύτη αὐτῶι. ZYQX

Δ 390/Z$^{s}$ ἐπιτάρροθος (ἐπίρροθος Hom.): βοηθός (= E 828𝔇). ZYQX

Δ 391/Z$^{s}$ χολωσάμενοι: ὀργισθέντες. ZYQX

Δ 391/Z$^{s}$ κέντορες ἵππων: ἵππους κεντοῦντες, ¦ ἱππικοί (=T$^{r}$). ZYQX

κεντῶντες Y ||

Δ 392/Z$^{s}$ ἂψ ἀνερχομένωι: εἰς τοὐπίσω ἀνερχομένωι, ὑποστρέφοντι. ZYQX

Δ 392/Z$^{s}$ πυκινόν: πυκνόν. ZQX

Δ 392/Z$^{s}$ λόχον: ἐνέδραν. ZYQX

Δ 392/Z$^{s}$ εἷσαν: ἐκάθισαν λεληθότως. ZYQX

Δ 392/Z$^{s}$ ἄγοντες: ἀγαγόντες. ἔλαβεν δὲ χρόνον ἀντὶ χρόνου. ZYQ(X) (cf Λ 454/Hd-Ar ἐνήλλακται γὰρ ὁ ἐνεστὼς χρόνος ἀντὶ μέλλοντος)

Δ 394/Z$^{s}$ Αἱμονίδης: Αἵμονος παῖς, ZYQX~T$^{r}$ | Μαίων. ZY

Δ 394/Z$^{s}$ ἐπιείκελος: ὅμοιος. ZYQX

Δ 395/Z$^{s}$ μενεπτόλεμος: ὑπομονητικὸς ἐν πολέμωι, γενναῖος. ZYQX | τὸν δὲ 'Μαίονα' (394) τινὲς στοχάζονται κήρυκα γεγονέναι, διὰ τὸ μόνον αὐτὸν σωθῆναι. ἱερὸν γὰρ ἦν τὸ γένος τῶν κηρύκων. διὸ φορτικὸν ἦν ἐνυβρίζειν αὐτούς. ὅθεν καὶ παροιμία ἐλέχθη τὸ "πρέσβυς οὔτε τύπτεται, οὔτε ὑβρίζεται" (Mant. prov. 2, 69 = CPG II p. 768, 13). ZYQXAUIG

3 αὐτοῖς ἐνυβρίζειν Y || 4 οὐ τύπτεται οὐδὲ ὑβρίζεται AU || ὅθεν ... : καὶ ἐκ τούτων τίς οὔτε τύπτεται ποτὲ οὔτε ὑβρίζεται Y ||

Δ 396/Z$^{s}$ ἀεικέα: αἰκιστικόν, χαλεπόν. ZYQX

Δ 396/Z$^{s}$ πότμον: μόρον, θάνατον. ZYQX

Δ 396/Z$^{s}$ ἐφῆκεν: ἐπέβαλεν. ZYQX

Δ 397/Z$^{s}$ ἔπεφνεν: ἀνεῖλεν, ἐφόνευσεν. ZYQX

Δ 397/Z$^{s}$ ἵει: ἀφίει, ἀπέλυσεν. ZYQX

Δ 398/Z$^{s}$ θεῶν τεράεσσι πιθήσας: τοῖς τῶν θεῶν σημείοις πεισθείς. ZYQX

Δ 399/Z$^{s}$ τοῖος ἔην: τοιοῦτος ἦν. ZYQX

Δ 399/Z$^{s}$ Αἰτώλιος: ὁ ἀπὸ τῆς Αἰτωλίας. ZYQX

ὁ om YQX ||

Δ 399/Z$^{s}$ ἀλλὰ τόν: ἀλλὰ τοιοῦτον παῖδα. ZYQX

Δ 400/Z$^{s}$ γείνατο: ἐγέννησεν. ZYQX

Δ 400/Z$^{s}$ εἷο: ἑαυτοῦ. 'χέρεια' δὲ χείρονα. ZYQX

lemma 'χέρεια δὲ' ZQX ||

Δ 400/Z$^{s}$ μάχηι: ἐν τῶι πολέμωι. ZYQX

Δ 400/Z$^{s}$ ἀγορῆι δέ: ἐν δὲ τῶι δημηγορεῖν. πάνυ γὰρ συνετὸν πανταχοῦ ὑποτίθεται τὸν Διομήδην ὁ ποιητὴς ἐν τοῖς νέοις. ZYQXU$^{m}$G*

2 ἐν τοῖς νέοις om Y ||

Δ 401/Z$^s$ οὔ τι: οὐδαμῶς. ZYQX

Δ 402/Z$^s$ ἐνιπήν: ἐπίπληξιν, μέμψιν. ZYQX

Δ 402/Z$^s$ αἰδοίοιο: αἰδοῦς καὶ ἐντροπῆς ἀξίου. ZYQX

Δ 403/Z$^s$ υἱὸς Καπανῆος: ὁ Cθένελος. ZYQXA$^{ti}$

Δ 404/Z$^s$ μὴ ψεύδεο: μὴ ψεύδου. ZYQX

Δ 404/Z$^s$ ἐπιστάμενος: εἰδώς, δυνάμενος. ZYQX

Δ 404/Z$^s$ σάφα: ἀκριβῶς (=T$^r$), σαφῶς. ZYQX

Δ 405/Z$^s$ ἡμεῖς τοι πατέρων καὶ τὰ ἑξῆς: περὶ ἑαυτοῦ λέγει ὁ Cθένελος καὶ Διομήδους. οὗτοι γὰρ ἔκγονοι τῶν Ἐπιγόνων ἐστρατεύκεσαν ἐπὶ Ἴλιον. Ἐπίγονοι δὲ ἐκλήθησαν τῶν ἐπὶ Θήβας στρατευσαμένων οἱ παῖδες. ZYQXAUIG

καὶ τὰ ἑξῆς Z$^λ$ : μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι YQX$^λ$, sim. saepe || 1 ὁ om A || 1-2 διομήδους : ὁ διομήδης Z || ἐστρατεύκεισαν A ||

Δ 405/Z$^s$ μέγ' ἀμείνονες: κατὰ πολὺ κρείσσονες, βελτίονες. ZQX

Δ 405/Z$^s$ εὐχόμεθα: καυχώμεθα. ZQX

εὐχόμενοι Z$^λ$ ||

Δ 406/Z$^s$ Θήβης ἕδος: περιφραστικῶς τὰς Θήβας (~I$^m$). 'ἕδος' δὲ ἵδρυμα, ἔδαφος. ZYQX

Δ 406/Z$^s$ εἵλομεν: ἐλάβομεν, ¦ ἐπορθήσαμεν (=G). ZYQX

Δ 407/Z$^s$ παυρότερον: ὀλιγώτερον. ZYQX

Δ 407/Z$^s$ ἄρειον: Ἄρεως ἱερόν (T 56𝔇 "βέλτιον"). ZYQXA

Δ 408/Z$^s$ τεράεσσι: σημείοις. ZYQX

Δ 408/Z$^s$ ἀρωγῆι: βοηθείαι. ZYQX

Δ 409/Z$^s$ κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο: 'κεῖνοι' ἐκεῖνοι· τὸ πάθος ἀφαίρεσις. 'σφετέρῃσιν' δὲ ἰδίαις ἁμαρτίαις, ἀνοίαις ἀπώλοντο. ZYQXG*

1 κεῖνοι om YQX || 2 δὲ om Z || ἀνοίαις om Y ||

Δ 410/Z$^s$ τῷ ἔνθεο: διὸ δὴ συγκαταρίθμει. ZYQX

duo scholia YQX ||

Δ 412/Z$^s$+U$^s$ τέττα: προσφώνησις τιμητικὴ νεωτέρου φίλου πρὸς παλαιότερον (~ ApS 151,18). ZYQXUIGT$^r$ | προσφώνησις ἐστὶ νέου πρὸς μείζονα, ἔστι δὲ καὶ φιλεταιρικὴ ἀμετάφραστος καὶ ἀμετάβλητος. U ~ Ak ὅτι ...

Δ 412/Z$^s$ ἧσο: καθέζου. ZYQXI | οὐκ ἔπρεπε δὲ εἰς πόλεμον προερχόμενον αὐτὸν καθέζεσθαι. βέλτιον οὖν λέγειν τὸ μετὰ σιωπῆς ἕσο. ZYQXAIG

1 οὐκ ἔπρεπεν δὲ αὐτὸν εἰς πόλεμον προερχόμενον καθέζεσθαι YXA || 2 λέγε Z || ἕσο : καθέζου Y ||

Δ 413/Z$^s$ νεμεσῶ: μέμφομαι. ZYQX

Δ 415/Z$^s$ ἅμ' ἕψεται: ἐπακολουθήσει. Z(YQX ἀκολουθήσει)

Δ 415/Z$^s$ εἴ κεν: ἐάν. ZYQX

Δ 416/Z$^s$ δηιώσωσιν: φονεύσωσιν. ZYQX

δηώσουσιν ZY$^λ$ || φονεύσουσιν Y ||

Δ 416/Z$^s$ ἕλωσι: λάβωσιν, πορθήσωσιν. ZYQX

Δ 417/Z$^s$ μέγα πένθος: μεγίστη λύπη. ZYQX

Δ 417/Z$^s$ δηιωθέντων: ἀναιρεθέντων, φονευθέντων. ZYQX

ἀναιρεθέντων om Y ||

Δ 418/Z$^s$ νῶϊ: ἡμεῖς. ZYQX

Δ 418/Z$^s$ μεδώμεθα: φροντίδα ποιησώμεθα. ZYQX

ποιησόμεθα Z, ποιήσωμεν X ||

Δ 418/Z$^s$ θούριδος ἀλκῆς: τῆς ἐνθουσιαστικῆς καὶ ὁρμητικῆς δυνάμεως. ZYQX

Δ 419/Z$^s$ ἦ ῥα: ἔφη δή. καὶ ἔστιν ἀντὶ τοῦ ἄρα. ἐὰν δὲ ἓν μέρος λόγου ἦι (i.e. ἦρα), δηλοῖ τὴν μετ' ἐπικουρίας χάριν (= A 572). ZYQ(X)I

1 ἦι om Y ||

Δ 419/Z^s ὀχέων: τῶν ἁρμάτων. ZYQX

Δ 419/Z^s ἆλτο: καθήλατο. ZYQX

Δ 419/Z^s χαμᾶζε: χαμαί, ἐπὶ τῆς γῆς. ZYQX

Δ 420/Z^s δεινόν: ἐκπληκτικόν, ZYQX | φρικτόν. ZQX

Δ 420/Z^s ἔβραχε: ἤχησεν (= T^i). ὀνοματοποιία ὁ τρόπος. ¦ 'χαλκὸς' δὲ περιφραστικῶς τὰ ὅπλα (=G). ZYQXI

1 lemma 'χαλκὸς δὲ' ZX ||

Δ 421/Z^s+Q^s ὀρνυμένου: διεγερθέντος, ὁρμήσαντος. ZY | διεγειρομένου. QX

Δ 421/Z^s ὑπό κεν: ὑφ' οὗ ἂν ἤχου. ZYQX~T^r

Δ 421/Z^s ταλασίφρονα: καὶ τὸν πάνυ καρτερικὸν καὶ γενναῖον. ZYQX~I^m

καὶ[1] om YX || καὶ[2] om QX ||

Δ 421/Z^s δέος εἷλεν: φόβος ἔλαβεν. ZYQX

Δ 422/Z^s+Y^s πολυηχέϊ: πολυήχωι, Y | πολυταράχωι, μεγάλως ἠχοῦντι. ZYQX

Δ 423/Z^s ὄρνυται: διεγείρεται, ὁρμᾶι. ZYQX

Δ 423/Z^s ἐπασσύτερον: συνεχές, πυκνόν. ZYQX

Δ 424/Z^s πρῶτα: τὸ πρῶτον, τὴν ἀρχήν. ZYQX

Δ 424/Z^s κορύσσεται: κορυφοῦται, αὔξεται (=T^r), εἰς ὕψος ἐπαίρεται. ZYQX

Δ 425/Z^s χέρσωι: τῆι γῆι. ZYQX

Δ 425/Z^s ῥηγνύμενον: προσρησσόμενον. ZYQX

Δ 425/Z^s βρέμει: ἠχεῖ. βρόμος δὲ κυρίως ὁ τοῦ πυρὸς ἦχος (Ξ 396𝔇). ZYQXG

βρέμος Z ||

Δ 425/Z^s ἀμφὶ δέ τ' ἄκρας: περὶ δὲ τὰ ἀκρωτήρια. ZYQX. T^r ἤτοι τὰ ἀκρωτήρια.

Δ 426/Z^s κυρτόν: μετέωρον, ὑψηλόν. ZYQX

Δ 426/Z^s ἐόν: ὄν, ὑπάρχον. ZYQX

Δ 426/Z^s κορυφοῦται: ἐπαίρεται, διογκοῦται, ὅ ἐστιν αὔξεται. Z ~ Δ 424𝔇

Δ 426/Z^s ἀποπτύει: ἀπορρίπτει, ἐκβάλλει. ¦ ὁ δὲ τρόπος μεταφορά (=I^i). ZYQ

Δ 426/Z^s ἁλὸς ἄχνην: τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, τὸν ἀφρόν. ὅπερ καὶ φῦκον φασίν. ZYQI~G

φησίν Z ||

Δ 428/Z^s νωλεμέως: ἀδιαλείπτως. ZYQ

Δ 428/Z^s κέλευε: ἐκέλευεν. ZYQ

Δ 428/Z^s οἷσιν ἕκαστος: ἕκαστος ἡγεμὼν τοῖς ἰδίοις. ZYQ

Δ 429/Z^s ἀκὴν ἴσαν: ἡσύχως καὶ χωρὶς θορύβου παρεγίνοντο. ZYQ

Δ 429/Z^s φαίης: ὑπολάβοις, εἴποις. ZYQ

ὑπολαβοις ex ὑπολαβης Z ||

Δ 430/Z^s τόσσον: τοσοῦτον. ZYQ

Δ 430/Z^s ἔχοντ' ἐν στήθεσιν αὐδήν: κατέχοντες ἐν αὐτοῖς τὴν φωνήν. ¦ ἐκ τούτου δὲ παρίστησιν αὐτῶν τὸ ἥσυχον (=I^i). ZYQG

1 ἐν τοῖς στήθεσιν αὐτῶν Y ||

Δ 431/Z^s σιγῆι: σιωπῆι. ZYQ

μετὰ σιωπῆς Y ||

Δ 431/Z^s δειδιότες: δεδοικότες, ZY | φοβούμενοι. ZYQ

Δ 431/Z^s σημάντορας: ἡγεμόνας. ZYQT^r

Δ 432/Z^s ποικίλα: διάφορα, καὶ πολλὰ τῶι χρώματι. ZYQ

Δ 432/Z^s εἱμένοι: ἐνδεδυμένοι, ἠμφιεσμένοι. ZYQ

Δ 433/Z^s ὄϊες: πρόβατα. ZYQ

Δ 433/$Z^s$ πολυπάμμονοϲ: πολυκτήμονοϲ (=$A^{ti}$), πλουϲίου. ZYQ | πάματα γὰρ καλεῖται παρὰ Δωριεῦϲι τὰ κτήματα, καὶ πάϲαϲθαι τὸ κτήϲαϲθαι, ἐκτεινομένου τοῦ ᾱ. ZYQA$U^m$$I^m$G

1 πολυθρέμμονοϲ YQ || πάμματα YQI, He π 2903, EtG || γὰρ om A || 2 ἐκτεινομένου τοῦ ᾱ om Y ||

Δ 434/$U^m$ 'λευκὸν' δε ἢ διὰ μὴ ἀποτελεῖν ϲκιάν ⟨ἢ⟩ αὐτὴν τὴν φύϲιν εἶπεν. $U^m$G~$I^m$, cf Porph. 75,23 "ὅτι ϲκιὰν οὐκ ἐπιδέχεται"

Δ 435/$Z^s$ ἀζηχέϲ: ἀδιαλείπτωϲ, ϲυνεχῶϲ. ZYQ

Δ 435/$Z^s$+$Y^s$+$Z^s$ μεμακυῖαι: μηκώμεναι (= $A^{td}$). μηκὴ γάρ ἐϲτιν ἡ τῶν αἰγῶν βοή, ZYQ $U^m$G$T^r$ | ἔνθεν καὶ τὸ 'μηκάδαϲ αἶγαϲ' (ι 124). YQ$U^m$G | βληχὴ δὲ ἡ τῶν προβάτων. ZYQG

2 αἶγαϲ ⟨φηϲίν⟩ Y ||

Δ 436/$Z^s$ ἀλαλητόϲ: θόρυβοϲ κατὰ ἀντίφραϲιν (an propter ἀλάληται?). ZYQ

Δ 436/$Z^s$+$Q^s$ ὀρώρει: διεγήγερτο. ZYQ | τὸ ο̅ διὰ τὸ μέτρον (~ Δ 208𝔇). Q

Δ 437/$Z^s$ ὁμόϲ: ὅμοιοϲ, ὁ αὐτόϲ. ZYQ

Δ 437/$Z^s$ θρόοϲ: θροῦϲ, θόρυβοϲ. ZYQ

Δ 437/$Z^s$ οὐδ' ἴα: οὐδὲ μία καὶ ἡ αὐτή. ZYQ

Δ 437/$Z^s$ γῆρυϲ: φωνή. ZYQ = ApS 54,29

Δ 438/$Z^s$ πολύκλητοι: οἱ ἐκ πολλῶν τόπων ϲυγκεκλημένοι, ὅ ἐϲτι ϲυναχθέντεϲ. ZYQG

Δ 439/$Z^s$ ὦρϲε: διήγειρεν, παρώρμα εἰϲ τὸ πολεμεῖν. τὸ δὲ ἑξῆϲ οὕτωϲ· "ὦρϲε δὲ ¦ τοὺϲ μὲν Τρῶαϲ δηλονότι ὁ Ἄρηϲ, τοὺϲ δὲ Ἕλληναϲ (~$U^i$$T^r$) ἡ Ἀθηνᾶ". ZYQXIG

ὅρϲε $Z^\lambda$ ||

Δ 439/$Z^s$ Ἄρηϲ: ἡ προθυμία τοῦ πολέμου, ἢ ὁ ϲωματοειδὴϲ θεόϲ. ZQ

Δ 440/$Z^s$ Δεῖμόϲ τ' ἠδὲ Φόβοϲ: Ἄρεωϲ καὶ Ἀφροδίτηϲ παῖδεϲ. κατὰ δέ τιναϲ οὐχ υἱοὶ ἀλλ' ἵπποι. ZYQIG cf O 119/Ak

Δ 440/$Z^s$ ἄμοτον: ἀμότωϲ, ἀπληρώτωϲ. ἀφ' οὗ καὶ μότα, τὰ ἐπιτιθέμενα τοῖϲ κοίλοιϲ τραύμαϲιν ὀθόνια, πρὸϲ ἀναπλήρωϲιν τῆϲ ϲαρκόϲ. ZYQAU*$I^m$G$T^r$, cf Diosc. 5,120,2

1 ἀμότωϲ om A || ἀπλήρωτον A ||

Δ 441/$Z^s$ καϲιγνήτη: ἀδελφή. ZYQ

Δ 441/$Z^s$ ἑτάρη: φίλη. ZYQ

Δ 442/$Z^s$ ἥ τε: ἥτιϲ Ἔριϲ. ZYQ

Δ 442/$Z^s$ ὀλίγη: ἐξ ὀλίγου καὶ ἐκ μικροῦ πράγματοϲ (=$U^i$), μικρά. καὶ ἔϲτι ποϲότηϲ ἀντὶ πηλικότητοϲ. ZYQI

E 182/Zˢ αὐλώπιδι: αὐλίcκον ἐχούcηι, καθ' οὗ πήγνυται ὁ λόφος, ἵν' ἧι εἶδος περικεφαλαίας λόφον εἰc ὀξὺ ἀνατεταμένον ἐχούcηc. ZYQXUᵐ(T)~G
αὐλῶπιc Zλ = Λ 353𝔇 ||

E 182/Zˢ τρυφαλείηι: φάλους ἐχούcηι τρεῖc. φάλοι δέ εἰcιν οἱ κατὰ τὸ μέτωπον τῆc περικεφαλαίας χρυcοῖ ἧλοι, ἢ ἀcτερίcκοι. ZYQXUᵐG
1 φαλοὺc .. φαλοὶ YQX ||

E 183/Zˢ+Yˢ cάφα: caφῶc, ⌜ἀληθῶc YQX⌝, ἀcφαλῶc. ZYQX

E 184/Zˢ εἰ δ' ὅ γ' ἀνήρ: εἰ δὲ οὗτόc ἐcτιν ὁ ἀνήρ. ZYQX
ὅ δ' Zλ || 1 ὁ om Z ||

E 184/Zˢ ὅν φημι: ὃν ἐγὼ ἀπεικάζω. ZYQX

E 185/Zˢ οὐδ' ὅ γε (= A 97𝔇, οὐχ Hom.): οὐχ οὗτοc. ZYQX

E 185/Zˢ τάδε: ταῦτα. ZYQX
ταῦτά γε Z ||

E 185/Zˢ+Yˢ ἄγχι: ἐγγύc, ZYQX | πληcίον (= δ 370/Mⁱ). YX

E 186/Zˢ εἰλυμένοc: κεκαλυμμένοc (=Tʳ), περιβεβλημένοc. ZYQX

E 187/Zˢ κιχήμενον: καταλαμβάνοντα, ἢ ὡρμημένον. ZYQX

E 187/Aᵗⁱ ⌞κιχήμενον⌟ ἐπιτυχόν. Tʳ κατειληφόc.

E 187/Zˢ ἔτραπεν ἄλληι: ἔτρεψεν ἀλλαχόcε. ZYQX(Tⁱ)
duo scholia YQX ||

E 188/Zˢ ἐφῆκα: ἐπέπεμψα. ZYQX

E 188/Aᵗᵈ ⌞ἐφῆκα .. βάλον⌟ καὶ προηκάμην φηcὶν καὶ ¦ ἔτρωcα (≈ Δ 206𝔇) τὸν ὦμον.

E 189/Zˢ διὰ θώρηκοc γυάλοιο: διὰ τοῦ κοίλου τοῦ θώρακοc. ZYQX
τοῦ² om YQX ||

E 190/Zˢ ἐφάμην: ἐλογιcάμην. ZYQX

E 190/Zˢ 'Αϊδωνῆϊ: τῶι Ἅιδηι. ZYQX ~ ApS 14,5

E 191/Zˢ ἔμπηc: ὅμωc. ZYQX

E 191/Zˢ θεόc νύ τιc: θεὸc δή τιc. ZYQX

E 191/Zˢ κοτήειc: ὀργιζόμενοc. ZYQX

E 192/Zˢ οὐ παρέαcιν: οὐ πάρειcιν. ZYQX

E 192/Zˢ τῶν κ' ἐπιβαίην: ὧν ἂν ἐπιβῶ. ZYQX
ὧν YQXλ || ὃν Z ||

E 193/Zˢ ἐν μεγάροιcι: ἐν τοῖc οἴκοιc. ZYQX

E 194/Zˢ πρωτοπαγεῖc: πρώτωc πεπηγότεc, νεοκαταcκεύαcτοι. ZYQX

E 194/Zˢ ἀμφὶ δὲ πέπλοι: περὶ αὐτοὺc δὲ πέπλοι. πέπλοι δὲ λεπτὰ ὑφάcματα, ἢ cινδόνεc. ZYQXUᵐ*G | ἔcτι δὲ καὶ γυναικεῖον ἱμάτιον, ὡc ἐκεῖ 'πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸc ἐπ' οὔδει' (E 734). καὶ 'πέπλοc δ' ὅc τίc τοι χαριέcτατοc' (~ Z 271 πέπλον). ZYQUᵐG
2 μὲν om Z || 3 τιc τοι om Z || ἠδὲ μέγιcτοc sub fine add. QʳL = Hom. ||

E 195/Zˢ πέπτανται: περιβέβληνται, ¦ ἥπλωνται (=Tʳ). ZYQX

E 195/Zˢ παρὰ δέ cφιν ἑκάcτωι: παρ' ἑκάcτωι δὲ αὐτῶν. ZYQX
1 παρ' ZX : περὶ δὲ Y, περὶ ἑνὶ δὲ Q ||

E 195/Zˢ δίζυγεc ἵπποι: διττοί, ἀνὰ δύο ζευγνύμενοι. ZYQX
ἵπποι om YQXλ || ἐζευγμένοι YQX ||

E 196/Zˢ κρῖ: κριθάc. ἀποκοπὴ τὸ πάθοc. ZYQXA~G ~ ApS 104,22, Aristot. Poet. 1458a4, cf A 426𝔇 δῶ.

E 196/Zˢ ἐρεπτόμενοι: κυρίωc μὲν ἐcθίοντεc ἐκ τῆc ἔραc, ὅ ἐcτιν τῆc γῆc ἀναιρόμενοι· νῦν δὲ καταχρηcτικῶc ἁπλῶc ἐcθίοντεc. ZYQXG (~ AˢTˢ ApS 75,28)
2 ἀναιρούμενοι Z ||

E 196/Z$^{s}$ καὶ ὀλύρας: εἶδος κριθώδους καρποῦ. ZYQXT$^{r}$
E 197/Z$^{s}$ ἦ μέν μοι: καὶ μὴν ἐμοί. ZYQX
E 197/Z$^{s}$ αἰχμητά: αἰχμητής, πολεμικός. ZYQX ~ A$^{ts}$ ὅτι ...
E 198/Z$^{s}$ ἐπέτελλε: προσέταcce. ZYQX
ἔτελλε YQX$^{\lambda}$ = A 25𝔇 ||
E 198/Z$^{s}$ ποιητοῖcι: καλῶc κατεcκευαcμένοιc. ZYQX E 466𝔇 εὐποιητοῖcι
E 199/Z$^{s}$ ἐμβεβαῶτα: ἐμβεβηκότα. ZYQXA$^{ti}$
βεβαῶτα YQX$^{\lambda}$ = ε 130 ||
E 200/Z$^{s}$ ἀρχεύειν Τρώεccιν: ἡγεῖcθαι (=T$^{r}$) τῶν Τρώων (=XG), λέγει δὲ ¦ τῶν Ζέλειαν πόλιν Τροίαc κατοικούντων (~T$^{r}$). ZYQ ≈ Ak ὅτι ...
1-2 τοὺc ... κατοικοῦνταc YQ || ζελείαc Z ||
E 201/Z$^{s}$ οὐ πιθόμην: οὐκ ἐπείcθην. (ZY πειθόμην$^{\lambda}$) QX
E 201/Z$^{s}$ πολὺ κέρδιον ἦεν: κατὰ πολὺ κρεῖττον ἦν. ZYQX
⟨ἂν⟩ ἦν YQX ||
E 202/Z$^{s}$ δευοίατο: ἐνδεεῖc γένοιντο. ZYQX
E 202/Z$^{s}$ φορβῆc: τροφῆc. ZYQX
E 203/Z$^{s}$ ἀνδρῶν εἰλομένων: cυcτρεφομένων, πολεμούντων. ZA$^{ti}$
E 203/Z$^{s}$ εἰωθότεc: εἰθιcμένοι. ZYQX
εἰωθότε Z$^{\lambda}$ ||
E 203/Z$^{s}$ ἔδμεναι: ἐcθίειν. ZYQX
E 203/Z$^{s}$ ἄδδην: δαψιλῶc. Αἰολὶc ἡ διάλεκτοc. ZYQX~G*
ἄδδην Hom. : άδην Z$^{\lambda}$, ἄδην X$^{\lambda}$, ἅδην YQ$^{\lambda}$, variae lectiones etiam T 423𝔇 ||
E 204/Z$^{s}$ ὣc λίπον: οὕτωc κατέλιπον, ἢ διὰ τοῦτο. ZYQX
E 204/Z$^{s}$ πεζόc: ὁ ἐκ ποδὸc μαχόμενοc. πέζα⟨ι⟩ γὰρ οἱ πόδεc· διὸ καὶ 'ἀργυρόπεζα' (A 538). ZYQXG
ἐκ ποδῶν YQX || πέζα⟨ι⟩ de Marco || πέζα .. ὁ ποῦc X (= A 538𝔇), τὰ κάτω τοῦ ποδόc L ||
E 205/Z$^{s}$ πίcυνοc: πεπιcτευκώc, τεθαρρηκώc. ZYQXA$^{ti}$
E 205/Z$^{s}$ τὰ δέ με: ταῦτα δέ με. ZYQX
E 205/Z$^{s}$ οὐκ ἄρα: οὐ δή. ZYQX
E 205/Z$^{s}$ ὀνήcειν: ὠφελήcειν. ZYQX
E 206/Z$^{s}$ δοιοῖcιν: δύο. ZYQX
E 206/Z$^{s}$ ἀριcτήεccιν: προμάχοιc. ZYQX
E 206/Z$^{s}$ ἐφῆκα: ἔπεμψα. ZYQX
ἐπέπεμψε Z (= A 445𝔇) ||
E 207/Z$^{s}$ ἀμφοτέροιϊν: ἀμφοτέρων. ZYQX
E 208/Z$^{s}$ ἀτρεκέc: ἀληθέc, φανερόν. Z ≃ B 10𝔇
E 208/Z$^{s}$ ἔccευα: ῥυῆναι ἐποίηcα. ZYQXA$^{ti}$
E 208/Z$^{s}$ ἤγειρα: παρώρμηcα, προέτρεψα. ZYQX. T$^{r}$ ἠρέθιcα.
παρέτρεψα YQ, παρέπεμψα X ||
E 209/Z$^{s}$ τῶ ῥα: διὸ δή. Z = E 676𝔇
E 209/Z$^{s}$ κακῆι αἴcηι: κακῆι μοίραι. ZYQX
E 209/Z$^{s}$ ἀπὸ παccάλου: πάccαλοc ξύλον ἐπίμηκεc ἐμπηγνύμενον πρὸc τὸ κρεμᾶcαι ὅπερ δεῖ. ZYQXG
2 ὅπερ δεῖ om Y || δεῖ : δή Z ||
E 209/Z$^{s}$ ἀγκύλα: ἐπικαμπῆ. ZYQXA$^{ti}$
E 210/T$^{r}$ ⌞τῶι⌟ ἐκείνωι. = B 795𝔇
E 210/Z$^{s}$ ἑλόμην: ἀνελόμην. ZYQX
ἀνέλαβον YX, ἀνελαβόμην Q ||

E 210/Z$^{s}$ ἐρατεινήν: ἐπέραστον, καλήν. ZYQX

E 211/Z$^{s}$ ἡγεόμην Τρώεσσιν: ἡγούμην Τρώων. ZYQX

E 211/A$^{ti}$ ⌞ἡγεόμην Τρώεσσιν⌟ ἀντὶ τοῦ τῶν Τρώων, = Ak ὅτι ...

E 211/Z$^{s}$ φέρων χάριν: χάριτα, βοήθειαν. Z(YQX φέρων om)

E 212/Z$^{s}$+Y$^{s}$ ἐσόψομαι: ἐσίδω, ZYQX | θεάσομαι (~ θ 313𝔇). YQX

E 213/Z$^{s}$ ὑψηρεφές: ὑψηλόν, μέγα. ZYQX

E 214/Z$^{s}$+Y$^{s}$ τάμοι: ἀποτέμοι, ZYQX | ἀποκόψοι (~ I 489𝔇). (post 201) YQX

E 214/Z$^{s}$ ἀλλότριος φώς: πολέμιος ἀνήρ. ZYQXA$^{ti}$

E 215/Z$^{s}$ φαεινῶι: λαμπρῶι. ZYQX

E 215/Z$^{s}$ ἐν πυρὶ θείην: ἐν πυρὶ βάλω. εὐκτικὸν ἀντὶ ἐνεργητικοῦ. ZYQX

εὐκτικὸν YQX : ἀπαρέμφατον Z (et ἐνεργητικοῦ) cf introd. n. 18 ||

E 216/Z$^{s}$ ἀνεμώλια: μάταια. ZYQX

E 216/Z$^{s}$ ὀπηδεῖ: ἕπεται, ἀκολουθεῖ. ZYQX

E 218/Z$^{s}$ μηδ' οὕτως ἀγόρευε: μὴ οὕτως λέγε. ZYQXA$^{ti}$~T$^{r}$

μὴ ZA$^{t}$ : μὴ δὲ YQX ||

E 218/Y$^{s}$ πάρος δ' οὐκ ἔσσεται ἄλλως: νῦν πρὸς τὸ παρὸν οὐ πράξομεν ἄλλως. (post 252 μή τι) YQX

ἔσσετ' YQ$^{\lambda}$ = Δ 235 ||

E 219/Z$^{s}$ πρίν γ' ἐπὶ νῶϊ τῶιδ' ἀνδρί: πρὶν ἢ ἡμᾶς κατὰ τοῦδε τοῦ ἀνδρός. ZYQA$^{ti}$G

γ' om YQ$^{\lambda}$ || νῶϊ$^{\lambda}$ = Δ 418𝔇 : νὼ Hom. ||

E 220/Z$^{s}$ ἐλθόντε: ἀπαντήσαντες, συνελθόντες. ZYQX

E 220/Z$^{s}$ σὺν ἔντεσι: σὺν τοῖς ὅπλοις. ZYQX

E 220/Z$^{s}$ πειρηθῆναι: ἀπόπειραν λαβεῖν. ZYQX

E 221/Z$^{s}$ ὀχέων: ἁρμάτων. ZYQX

E 221/Z$^{s}$ ἐπιβήσεο: ἐπίβηθι. ZYQX

E 221/Z$^{s}$ ὄφρα ἴδηαι: ὅπως μάθηις. ZYQX

E 222/Z$^{s}$ Τρώϊοι: ἀπόγονοι τῶν Τρωὸς ἵππων. ἢ οἱ τῶι Τρωὶ κεχαρισμένοι, ἀντὶ τῆς ἁρπαγῆς Γανυμήδους. ZYQXI$^{m}$G

E 223/Z$^{s}$ κραιπνά: κραιπνῶς, ¦ ταχέως (=A$^{ti}$). ZYQX

E 223/Z$^{s}$ ἔνθα καὶ ἔνθα: ἐνταῦθα κἀκεῖσε. ZYQX

E 223/Z$^{s}$ διωκέμεν ἠδὲ φέβεσθαι: διώκειν καὶ φεύγειν. ZYQX

E 224/Z$^{s}$+A$^{ti}$ σαώσετον: σώσουσιν. ZYQX | διὸ καὶ ἡμᾶς εἰς τὴν πόλιν σώσουσι. A$^{ti}$

E 224/Z$^{s}$ εἴπερ ἂν αὖτε: εἴπερ δὴ πάλιν. ZYQX

E 225/Z$^{s}$ ἐπὶ Τυδείδηι Διομήδεϊ: ἐὰν ἡμῖν ὁ Ζεὺς δόξαν παράσχηι ἐπὶ τῶι Τυδέως παιδὶ Διομήδει. ZYQXG

↑ E 225/Z$^{s}$ ὀρέξηι: παράσχηι. Z = E 33𝔇

E 226/Z$^{s}$+Y$^{s}$ σιγαλόεντα: ἤτοι εὐδιάσειστα, ἢ ¦ λαμπρὰ καὶ ποικίλα (= A$^{ti}$) τῆι κατασκευῆι, ZYQXAI$^{i}$~G. | ἢ τὰ μεγάλως καὶ ποικίλως κατεσκευασμένα. τὰ θαυμαστὰ ¦ καὶ σιωπὴν ἐκ τοῦ θαύματος ἐντιθέμενα (=I$^{i}$), οἱονεὶ σιγηλόεντά τινα ὄντα. YQXA~G

3 θαύματος A : θαυμαστῶς YQX || ἐντιθέμενα YQX : ἐντιθέντα A ||

E 227/A$^{ti}$ ⌞ἀποβήσομαι⌟ τῆς φροντίδος τῆς περὶ αὐτούς. ~ Di-Ar

E 228/Z$^{s}$ δέδεξο: προσδέχου, ἐπιτήρησον. ZYQX

E 228/Z$^{s}$ μελήσουσιν: δι' ἐπιμελείας ἔσονται. ZYQX

E 230/Z$^{s}$ τεὼ ἵππω: τοὺς σοὺς ἵππους. ZYQX

E 231/Z$^{s}$ ὑφ' ἡνιόχωι εἰωθότι: τῶι συνήθει, τῶι ἐθίσαντι αὐτοὺς ἡνιοχεῖν. ZYQX

ὑφ' om YQX$^{\lambda}$ || εἰωθότε Z$^{\lambda}$ ||

E 232/Z$^{s}$ οἴσετον: οἴσουσιν, κομίσουσιν. ZYQX

E 232/Z$^{s}$ φεβώμεθα: φεύγωμεν. ZYQX

E 233/Z$^{s}$ μὴ τὼ μέν: μὴ οὗτοι μέν. ZYQX

E 233/Z$^{s}$ δείcαντε: φοβηθέντεc. ZYQXA$^{ti}$

E 233/Z$^{s}$ ματήcετον: ματαιοπραγήcωcιν, ¦ ματαίαν ἔχωcι τὴν προθυμίαν (=T$^{r}$). ZYQXG. A$^{ti}$ μάτην τι πράξωcι.

E 233/Z$^{s}$ οὐδὲ θέλητον: οὐδὲ βουληθῶcιν. ZYQX

E 234/Z$^{s}$ ἐκφερέμεν: ἐκφέρειν. ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ. ZYQX (cf introd. n.18)

E 234/Z$^{s}$ τεὸν φθόγγον ποθέοντεc: τὴν cὴν φωνὴν ἐπιζητοῦντεc. ZYQX (T$^{r}$ τὸν cὸν)

ἐπιζητοῦντεc Z : ποθοῦντεc YQX ||

E 235/Z$^{s}$ νῶϊ δ' ἐπαΐξαc: ἡμῖν δὲ ἐφορμήcαc. ZYQX

E 236/Z$^{s}$ αὐτώ τε: ἀντὶ τοῦ ἡμᾶc αὐτούc δυϊκῶc. ZYQ

E 236/L$^{s}$ ἐλάccηι: ἀπελάcηι. ≃ λ 290𝔇

E 236/Z$^{s}$ μώνυχαc: μονώνυχαc. ZYQX

E 237/Z$^{s}$ τεὰ ἅρματα: τὰ cὰ ἅρματα. ZYQX

E 238/Z$^{s}$ ἐπιόντα: ἐπερχόμενον. ZYQX

E 238/Z$^{s}$ δεδέξομαι: ἀποδέξομαι, ἐπιτηρήcω. ZYQX ~ A$^{ts}$ ὅτι ...

E 240/A$^{ti}$ ⌊ἐμμεμαῶτ'⌋ προθυμούμενοι. A$^{ti}$T$^{r}$ ≃ E 330𝔇

E 240/Y$^{s}$ ἔχον: ἤλαυνον. YQXA$^{ti}$T$^{r}$

E 243/Z$^{s}$ ἐμῶι κεχαριcμένε θυμῶι: τῆι ἐμῆι ψυχῆι προcφιλέcτατε. ZYQX

E 244/Z$^{s}$ ὁρόω: ὁρῶ. ZYQX

E 244/Z$^{s}$ κρατερώ: ἰcχυρούc, γενναίουc. Z = Δ 90𝔇

E 244/Z$^{s}$ ἐπὶ cοὶ μεμαῶτε: κατὰ cοῦ προθυμουμένουc. ZYQX

E 245/Y$^{s}$+Z$^{s}$ ἶν' ἀπέλεθρον: δύναμιν ¦ ἀμέτρητον (=XA$^{ti}$) καὶ μεγάλην. πέλεθρον γάρ ἐcτι μέτρον γῆc ⌜ἔχον πήχειc ξϛ' δίμοιρον YQG~T⌝. 'ἶνα' δὲ εἴρηται ἀπὸ ὀρθῆc τῆc ἴc. ZYQ~G

1 καὶ μεγάλην om YQ || 2 ξϛ T : ξγ YQ || ⟨τῆc⟩ ὀρθῆc YQ ||

E 245/L$^{s}$ τόξων εὖ εἰδώc: τῆc τοξικῆc ἐπιcτήμων. ~ B 718𝔇

E 247/L$^{s}$ μεγαλήτοροc: μεγαλοψύχου. = B 567𝔇

E 248/Z$^{s}$ ἐκγεγάμεν: ἐκγεγεννῆcθαι. ZYQX

ἐκγεγενῆcθαι YQX ||

E 249/Z$^{s}$ χαζώμεθ' ἐφ' ἵππων: παραχωροῦμεν ὄντεc ἐπὶ τῶν ἵππων. ZYQX. A$^{ti}$ ἐπὶ τοὺc ἵππουc, = Ak ὅτι ...

ἀναχωροῦμεν YQX ||

E 250/Z$^{s}$ θῦνε: ὅρμα. Z = E 87𝔇

E 250/Z$^{s}$ φίλον ἦτορ: τὴν προcφιλεcτάτην ψυχήν. ZYQX

E 250/L$^{s}$ ὀλέccηιc: ἀπολέcηιc. = A 559𝔇

E 252/Z$^{s}$ μή τι φόβονδ' ἀγόρευε: μηδαμῶc περὶ φυγῆc λέγε. ZYQXA$^{ti}$

E 252/Z$^{s}$ πειcέμεν: πείcειν. ZYQX

E 252/Z$^{s}$ οἴω: οἴομαι, ὑπολαμβάνω. ZYQX

οἶμαι YQX ||

E 253/Z$^{s}$ γενναῖον: ἤτοι εὐγενὲc ἢ ¦ ἐκ γένουc παρεπόμενον (=A$^{ti}$). ZYQX

E 253/Z$^{s}$ ἀλυcκάζοντι: ἐκκλίνοντι, ¦ φεύγοντι (=A$^{ti}$). ZYQX(T$^{i}$)

E 254/A$^{ti}$ καταπτώccειν: δειλιᾶν. ≃ Δ 224𝔇

E 254/Z$^{s}$ ἔμπεδον: ἑδραῖον, βέβαιον. ZYQXA$^{ti}$

E 255/Z$^{s}$ ὀκνείω: ὀκνῶ. ZYQX

E 255/Z$^{s}$ ἐπιβαινέμεν: ἐπιβαίνειν. ZYQX

E 255/Z$^{s}$ ἀλλὰ καὶ ἔμπηc (= A 562, αὔτωc Hom.) : ἀλλὰ καὶ ¦ ὅμωc (A 562𝔇). ZYQX

E 256/$Z^{s}$ ἀντίον εἶμ' αὐτῶν: ἐξ ἐναντίας αὐτῶν ἄπειμι. ZYQX

E 256/$Y^{s}$+$Z^{s}$ τρεῖν: εὐλαβεῖcθαι, ZYQX | φοβεῖcθαι (≃ Λ 554𝔇). YQX

E 256/$Z^{s}$+$Y^{s}$ οὐκ ἐᾶ: οὐκ ἀφίει YQX | οὐ cυγχωρεῖ (=X). cυνέcταλται δὲ τὸ $\overline{\alpha}$ διὰ τὸ μέτρον (~ Hd). ZYQ~G*

E 257/$Z^{s}$ τούτω: τούτουc δέ. ZYQX

E 257/$Z^{s}$ πάλιν: εἰc τοὐπίcω. ZYQX$A^{ti}$

E 257/$A^{ti}$ ˪αὖτιc˩ πάλιν. = Α 27𝔇

E 257/$Z^{s}$ ἀποίcετον: ἀποίcουcιν, ἀποκομίcουcιν. ZYQX

E 258/$Z^{s}$ ἄμφω: ἀμφοτέρουc. ZYQX

E 258/$Z^{s}$ ἀφ' ἡμείων: ἀφ' ἡμῶν. ZYQX

E 258/$Z^{s}$ εἰ γ' οὖν ἕτερόc γε φύγηιcιν: εἰ μή τι ἂν τῶν δύο ὁ ἕτεροc διαφύγηι. ZYQX~$T^{r}$. $A^{ti}$ ἀντὶ τοῦ εἰ μὴ ἄρα ὁ εἷc.

E 260/$Z^{s}$ πολύβουλοc: πολυγνώμων, cυνετή. ZYQX

E 262/$Z^{s}$ ἐρυκακέειν: κατέχειν. ZYQX

E 262/$Z^{s}$ ἐξ ἄντυγοc ἡνία τείναc: ἐξάψαc τὰc ἡνίαc τῆc τοῦ ἅρματοc περιφερείαc (=X). λέγει δὲ τοῦ κύκλου τοῦ παραπεπηγότοc ἐν τῶι ἅρματι πρὸc τὸ ἀντιτείνειν τῶι ἐπιβάτηι. ZYQ$U^{m}$

2 ἐν τῶι ἅρματι L : τοῦ ἅρματοc ZYQ ||

E 263/$Z^{s}$ Αἰνείαο δέ: Αἰνείου δέ. ZYQX

E 263/$Z^{s}$ ἐπαΐξαc: ἐφορμήcαc. ZYQX = E 323𝔇

↑ E 263/$Y^{s}$ ἐπαΐξαι (= Hom): ἐφορμῆcαι YQX

E 264/$Z^{s}$ ἐκ δ' ἔλαcεν (ἐξελάcαι Hom.): ἐξήλαcεν δέ. ZYQX ≃ Z 158𝔇

1 ἐξήλαccεν YQ ||

E 264/$Z^{s}$ μετά: ἀντὶ τοῦ πρόc. ZYQX$A^{ti}$~$T^{r}$

E 265/$Z^{s}$+$Y^{s}$ εὐρύοπα: μεγαλόφθαλμοc. Z | μεγαλόφωνον. YQX = Α 498𝔇

E 266/$Z^{s}$ ποινήν: ἀντέκτιcιν, δωρεάν. ZYQX$T^{r}$, ~ ApS 132,29, He π 2732 "δωρεάν, τιμωρίαν.

E 267/$Z^{s}$ ὑπ' ἠῶ τ' ἠέλιόν τε: περιφραcτικῶc ¦ ὑπὸ τὸ φῶc τοῦ κόcμου τούτου (=$A^{ti}$). ZYQX$T^{r}$. $A^{td}$ ὁ τρόποc περίφραcιc = Z 11𝔇 26𝔇.

E 268/$Z^{s}$ γενεῆc: γενεᾶc, γένουc. ZYQX

E 268/$Z^{s}$ ἔκλεψεν: ἐνοcφίcατο. ZYQX

E 269/$Z^{s}$ ὑποcχών: ὑποβαλών. ZYQX

E 269/$Z^{s}$ θήλεαc: θηλείαc. ZYQX

E 270/$Z^{s}$ γενέθλη: γέννα. ZYQX$A^{ti}T^{r}$

E 271/$Z^{s}$ ἀτίταλλε: ἀνέτρεφεν. ZYQX$A^{ti}T^{r}$

E 272/$Z^{s}$ μήcτωρε φόβοιο: ἐπιcτήμοναc καὶ ἐμπείρουc φυγῆc (=X), ὅ ἐcτι πολεμικοὺc γενναίουc. ἢ ¦ φυγὴν ἐμποιοῦνταc τοῖc πολεμίοιc (=$A^{ti}$). ZYQIG

1-2 ἐπιcτήμονεc ... Z || 1 φυγῆc om Q || 2 ⟨τοὺc⟩ φυγὴν $A^{ti}$ ||

E 273/$Z^{s}$ ἀροίμεθά κεν: κτηcαίμεθα ἄν. ZYQX

E 275/$Z^{s}$ τάχα: ταχέωc. ZYQX

E 277/$Z^{s}$ καρτερόθυμε δαΐφρον: δυναμικώτατε καὶ ἀνδρειότατε. ταῦτα δέ φηcιν ἐν εἰρωνείαι. (Z ἐν om) (YQXG καὶ om)

E 277/$Z^{s}$ ἀγαυοῦ: ἀγαθοῦ, λαμπροῦ. ZYQX

E 278/$Z^{s}$ δαμάccατο: ἐδάμαcεν, ἀνεῖλεν. εἰ καὶ οὐκ ἀνεῖλέν cε τὸ βέλοc, ὅπερ ἦν ὀϊcτόc. Z(YQX

1-2 εἰ καὶ ... ὀϊcτόc Z : cε τὸ δέοc YQX ||

E 278/$Z^{s}$ πικρόc: πικροποιόc, ἐπίπονοc. ZYQX

E 279/$Z^{s}$ πειρήcομαι: ἀπόπειραν λάβω. Z = E 220𝔇

E 279/$Z^{s}$ αἴ κε τύχοιμι: ἐὰν ἐπιτύχω. Z(YQX ἐὰν ἐπιτύχοιμι)

E 280/Z$^{s}$ ἦ ῥα: οὕτως εἶπεν. ZYQX
οὕτως εἶπεν : ἔφη δή Y = Γ 310𝔇 ||

E 280/L$^{s}$ ἀμπεπαλών: ἀνατείνας, ἀνασείσας. = Γ 355𝔇

E 280/L$^{s}$ προΐει: προέπεμφε. E 15𝔇 "προέπεμπεν"

E 280/L$^{s}$ δολιχόσκιον: μακρόν. = Lex δ 237

E 280/A$^{ti}$ ⌞δολιχόσκιον⌟ τὸ μακροπόρευτον. = Γ 346/U$^{m}$ ~ 𝔇

E 281/Z$^{s}$ διὰ πρό: διαμπάξ, ¦ διόλου (=A$^{ti}$). ZYQX
διαμπερές L$^{\lambda}$ = 284 112𝔇 658/L$^{s}$ ||

E 282/Z$^{s}$ πταμένη: πτᾶσα. ZYQX. A$^{ti}$ διελθοῦσα.

E 282/Z$^{s}$ πελάσθη: προσεπελάσθη, ¦ προσήγγισεν (=A$^{ti}$). ZYQX

E 283/Z$^{s}$ μακρόν: ἐξάκουστον, μέγα. ZYQX

E 283/Z$^{s}$ ἄϋσεν: ἐβόησεν. ZYQX

E 284/Z$^{s}$ βέβληαι: τέτρωσαι. ZYQ

E 284/Z$^{s}$ κενεῶνα: τὸν ὑπὸ τῆς πλευρᾶς τόπον, τὴν λαγόνα, παρὰ τὸ κενὸν εἶναι αὐτὸν ὀστέων. ZYQXA~G. A$^{ti}$ τέτρωσαι παντελῶς κατὰ τὴν λαγόνα.
1 τῆς πλευρᾶς QX : τὰς πλευρὰς ZY ||

E 285/Z$^{s}$ ἀνσχήσεσθαι: ἀνασχέσθαι, ὑπομεῖναι. Z(ἀνασχήσεσθαι$^{\lambda}$) YQX

E 285/Z$^{s}$ μέγ' εὖχος: μεγάλην δόξαν καὶ καύχημα. (εὖχε$^{\lambda}$) YQX

E 286/Z$^{s}$ οὐ ταρβήσας: οὐ καταπλαγείς, οὐ φοβηθείς. ZYQX

E 287/Z$^{s}$ ἤμβροτες ⌞οὐδ' ἔτυχες⌟: ἥμαρτες, ἀπέτυχες. τὸ αὐτὸ δὲ σημαίνει καὶ τὸ "οὐκ ἔτυχες". ZYQ. T$^{r}$ ἀντιφραστικῶς ἀπέτυχες.

E 287/Z$^{s}$ ἀτὰρ οὐ μὲν σφῶϊ γ' ὀΐω: οὐ μὴν ¦ ὑμᾶς (=T$^{r}$) ὑπονοῶ. ZYQX

E 288/Z$^{s}$ πρίν γ' ἀποπαύσεσθαι: πρότερον παύσεσθαι. ZY(QX παύσασθαι)

E 289/Z$^{s}$ ἆσαι: κορέσαι, πληρῶσαι. ZYQXT$^{r}$

E 289/A$^{ti}$ ⌞αἵματος⌟ τοῦ αἵματος κορέσαι τὸ καρτερικὸν καὶ πολεμιστήριον δόρυ.

E 289/Z$^{s}$ ταλαύρινον: ὑπομονητικόν. ZYQXT$^{r}$ ~ Ak

E 290/Z$^{s}$ ὣς φάμενος: οὕτως εἰπών. ZYQX

E 290/Z$^{s}$ ἴθυνεν: ἔτρεψεν, κατεύθυνεν, ἐνεχθῆναι ἐποίησεν. ZYQX
κατευθὺ Z ||

E 290/Z$^{s}$+Q$^{s}$ βέλος δ' ἴθυνεν Ἀθήνη ῥῖνα παρ' ὀφθαλμόν καὶ τὰ ἑξῆς: ἐζήτηται πῶς Διομήδους μὲν ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἀπὸ ἅρματος, οὕτως ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν, ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό, ἧι ἦν δυνατὸν τοῦτο ποιῆσαι. ἔπειθ' ὅτι προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι, εἰ καιρίως τέτρωται ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν. οἱ δὲ ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τρέχειν, τοὺς δὲ πεζοὺς ἀπὸ μετεώρου μάχεσθαι (=T$^{r}$). ὥστε καὶ τὸν Διομήδην ἀφ' ὕψους βεβληκέναι. ZYQXAUIG | ἢ ὅτι δειλωθεὶς τὴν ὁρμὴν τοῦ ἥρωος ὁ Πάνδαρος συνεκάθισε. QXAUG ~ E$^{s}$
1 ἐζήτηται Z (= Δ 2𝔇 saepius) : ζητεῖται YQXAUT$^{r}$ || 3 φερόμενος Z, φέρομεν A || 4 ἧι : εἰ Z || ἔπειθ' : ἐπειδὴ A || 5 ἐτρώθη QX || 7 χθαμαλωτέροις ⟨τόποις⟩ QX || 9 τῆι ὁρμῆι A ||

E 291/Z$^{s}$ ῥῖνα παρ' ὀφθαλμόν: κατὰ τοῦ μυκτῆρος παρὰ τὸν ὀφθαλμόν. ZYQX

E 291/Z$^{s}$ ἐπέρησεν: διεπέρασεν, διῆλθεν. ZYQX

E 292/Z$^{s}$ πρυμνήν: ἐσχάτην. ἐξέκοψεν δὲ αὐτοῦ τὴν γλῶσσαν, ὅτι ἐφιώρκησεν. ZYQ~G. A$^{ti}$ κατωτάτην cf Ξ 307𝔇.
ἐφιώρκησεν Z (Gignac 1, 137) : ἐπιώρκησεν YQ ||

E 292/Z$^{s}$ ἀτειρής: ἀκαταπόνητος (= Γ 60𝔇), σκληρός. Z

E 293/Z$^{s}$ ἐξελύθη: ἐξώρμησεν, διεξῆλθεν. ZYQX
διῆλθε QX ||

E 293/Z$^{s}$ νείατον: ἔσχατον, κατώτατον. ZYQX

E 294/$Z^s$ ἤριπε: ἔπεσεν. ZYQX
E 294/$Z^s$+$X^s$ ἀράβησεν: ἤχησεν. ZYQX | ὀνοματοποιία ὁ τρόπος. X = B 466𝔇
E 295/$Z^s$ αἰόλα: ποικίλα. ZYQX$A^{ti}$
E 295/$Z^s$ παμφανόωντα: πάνυ λάμποντα. ZYQX$A^{ti}$
E 295/$Z^s$ παρέτρεσαν: διὰ δέος ἔφυγον. ZYQX$A^{ti}$
E 296/$Z^s$ ὠκύποδες: ταχεῖς. ZYQX
E 296/$Z^s$ ⟨αὖθι:⟩ "αὐτοῦ" ἐπὶ τόπον, "αὐτόθι". ZYQX = K 410 + A 492𝔇. $T^r$ ἐπὶ τὸν αὐτὸν τόπον.
E 296/$Z^s$ λύθη: ἐλύθη. ZYQX
E 296/$Z^s$ ⌞λύθη⌟ ψυχή τε μένος τε: περιφραστικῶς ἀπέθανεν. ZYQX
E 297/$Z^s$ ἀπόρουσε: ἀφώρμησε. ZYQX
E 298/$Z^s$ ἐρυσαίατο: ἑλκύσειαν. ZYQX$A^{ti}$
E 299/$Z^s$ ἀμφὶ δ' ἄρ' αὐτῶι βαῖνε: περιέβαινεν δὲ αὐτὸν καὶ ὑπερεμάχει. ZYQX
αὐτῶι YQX ||
E 299/$Z^s$ λέων ὡς: ὡς λέων. ZYQX
ὡς $Z^λ$, cf A 162𝔇 : ὥς YQ$X^λ$ ||
E 299/$Z^s$ ἀλκὶ πεποιθώς: τῆι δυνάμει τεθαρρηκώς (=X). εἴρηται δὲ ¦ ἀπὸ ὀρθῆς τῆς ἄλξ (=G), ὡς ἀπὸ τῆς πλάξ YQ$T^r$ | πλακί. Z ~ Hd, EtM 66,4
E 301/$Z^s$ ὅστις τοῦ γε: ὅστις τούτου. ZYQX
E 302/$Z^s$ σμερδαλέα: καταπληκτικά, ¦ φοβερά (=$A^{ti}$). ZYQX
E 302/$Z^s$ ἰάχων: ἐκβοῶν, ¦ κράζων (=$A^{ti}$). ZYQX
E 302/$Z^s$ χερμάδιον: χειροπληθῆ λίθον. ZYQX$T^r$
E 303/$Z^s$ μέγα ἔργον: μέγα βάρος. ZYQX
E 303/$Z^s$ φέροιεν: κομίζοιεν. ZYQX
E 304/$Z^s$ οἷοι: ὁποῖοι. ZYQX
E 304/$Z^s$ ῥέα: ῥαιδίως, εὐκόλως. ZQ
E 304/$Z^s$ πάλλε: ἔπαλλεν, ἐκίνει. ZYQX
E 304/$Z^s$ οἶος: μόνος. ZYQX
E 305/$Z^s$ ἰσχίον: τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα. ZYQXAIG
1 ὀστοῦν : ὀστέον A ||
E 306/$Z^s$ ἐνστρέφεται: ἔνδον στρέφεται (=$G^i$). κοτύλαι δὲ αἱ ἐν τοῖς ἰσχίοις κοιλότητες, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. ZYQXIG
E 307/$Z^s$ θλάσσε: περιέθραυσεν. ZYQX
E 307/$Z^s$ πρὸς δ' ἄμφω ῥῆξε τένοντε: πρὸς δὲ καὶ ἀμφότερα ἀπέρρηξε τὰ κατατεινόμενα νεῦρα. ZYQX$A^{ti}$G
E 308/$Z^s$ ὦσε: ἀπεώσατο, ¦ ἀπέσυρεν (=$T^r$). ZYQX
E 308/$Z^s$ ῥινόν: τὸ δέρμα. ZYQX$A^{ti}T^r$
E 308/$Z^s$ τρηχύς: τραχύς. ZYQX
E 309/$Z^s$ γνύξ: ἐπὶ γόνυ. ZYQX$A^{ti}$ = ApS 55,15
E 309/$Z^s$ ἐριπών: πεσών. ZYQX$A^{ti}$
E 309/$Z^s$ ἐρείσατο: ἐπερείσθη. ZYQX$T^r$
E 309/$Z^s$ παχείηι: ἰσχυρᾶι. ZYQX
E 310/$Z^s$ κελαινή: σκοτεινή, φοβερά. ZYQX
E 311/$Z^s$ καί νύ κεν: καὶ δὴ ἄν. ZYQX
E 311/$Z^s$+$Q^s$ ἔνθ' ἀπόλοιτο: τότε ἀπώλετο, ZYQX$T^r$ | ἠφάνιστο QX ≃ B 162𝔇+$Q^s$
E 312/$Z^s$ εἰ μὴ ἄρ: εἰ μὴ δή. ZYQX
E 312/$Z^s$ ὀξὺ νόησεν: ὀξέως καὶ ταχέως ἐθεάσατο. ZYQX

E 313/Z$^{s}$ ἥ μιν: ἥτις αὐτόν. ZYQXA$^{ti}$

E 313/Z$^{s}$ ὑπ' Ἀγχίσηι: συγγενομένη τῶι Ἀγχίσηι. ZYQX

συγγινομένη Y ||

E 313/Z$^{s}$ βουκολέοντι: βοῦς νέμοντι. ZYQXA$^{ti}$T$^{r}$

E 314/Z$^{s}$ ἑόν: ἴδιον. ZYQX

E 314/Z$^{s}$ ἀμφὶ δ' ἑὸν φίλον υἱόν: περιέθηκεν δὲ τῶι ἑαυτῆς παιδὶ τοὺς λευκοὺς πήχεις, τουτέστιν περιεπτύξατο καὶ ἐνηγκαλίσατο αὐτόν. ZYQXG

↑ E 314/Z$^{s}$ ἐχεύατο: περιεπτύξατο, περιέβαλεν. ZYQX. A$^{ti}$ περιεβάλετο.

περιέλαβε YQX ||

E 314/Z$^{s}$ πήχεε λευκώ: τοῖς λευκοῖς πήχεσι. λέγει δὲ ταῖς χερσὶν ἀπὸ μέρους. ZYQX

E 315/Z$^{s}$ πρόσθε δέ οἱ: ἔμπροσθεν δὲ αὐτοῦ. οὐχ ὡς ἄτρωτον δὲ περιβάλλει τὸν πέπλον αὐτῶι (cf 316 ἕρκος), ἀλλ' ἵνα κρύφηι αὐτόν. ZYQXAU$^{m}$G*

1 ἀτρώτω A || 1-2 αὐτῶι τὸν πέπλον QX ||

E 315/Z$^{s}$ φαεινῶι (φαεινοῦ Hom.): λαμπρῶι. ZYQX = E 215𝔇

E 315/Z$^{s}$ πτύγμ' ἐκάλυψεν: ἀντὶ τοῦ διπλῶι τῶι πέπλωι (=G) αὐτὸν ἐσκέπασεν. ZYQXA$^{ti}$

ἑαυτὸν A$^{ti}$ ||

E 316/Z$^{s}$ ἕρκος: περίφραγμα, τειχίον. ZYQX

E 316/Z$^{s}$ ἔμεν: ὑπάρχειν, εἶναι. ZYQX

ἔμμεν' Y$^{\lambda}$ ||

E 316/Z$^{s}$ ταχυπώλων: ἱππικῶν, πολεμικῶν. ZYQX

E 317/Z$^{s}$ ἕλοιτο: ἀφέλοιτο. ZYQX

E 318/Z$^{s}$+Y$^{s}$ ὑπεξέφερεν: ἠρέμα ἐξέφερεν, ZYQXA$^{ti}$ | ἐξέκλεπτεν. Y

E 319/Z$^{s}$ ἐλήθετο: ἐπελάθετο. ZYQX

E 319/Z$^{s}$ συνθεσιάων: συνθηκῶν, ¦ ἐντολῶν (= A$^{t}$ ὅτι ...). ZYQX

E 320/Z$^{s}$ τάων: τούτων. ZYQX

E 320/Z$^{s}$ ἐπέτελλε: προσέταττε. ZYQX

E 321/Z$^{s}$ ἠρύκακε: κατέσχε. ZYQXA$^{ti}$

E 322/Z$^{s}$ νόσφι: χωρίς, πόρρω. ZYQX

E 322/Z$^{s}$ φλοίσβου: ταραχῆς, θορύβου. ZYQX

↑ E 322/A$^{ti}$ ⌊νόσφιν ἀπὸ φλοίσβου⌋ χωρίς, ἔξω τῆς μάχης.

E 323/Z$^{s}$ ἐπαΐξας: ἐφορμήσας. ZYQX

E 324/Z$^{s}$ ἐξέλασεν: ἐξήγαγεν, ἤλασεν. ZYQX

ἐξήλασεν ἐξήγαγεν YQ ||

E 325/Z$^{s}$ ὃν περὶ πάσης τῖεν ὁμηλικίης: ὃν ὑπὲρ πάντας ἐτίμα τοὺς ὁμήλικας. ZYQX

E 326/Z$^{s}$ ὅτι οἱ: ὅτι αὐτῶι. ZYQX

E 326/Z$^{s}$ ἄρτια: ὑγιῆ, ἡρμοσμένα. ZYQXA$^{ti}$

E 328/Z$^{s}$ ὧν ἵππων: τῶν ἰδίων ἁρμάτων. ZYQX

E 328/A$^{ti}$ ⌊σιγαλόεντα⌋ τὰ λαμπρά. = E 226𝔇

E 329/Z$^{s}$ μέθεπε: κατόπιν Διομήδους ἐδίωκεν, ZYQXA$^{ti}$ | ἐπορεύετο. ZYA$^{ti}$

E 329/Z$^{s}$ κρατερώνυχας: ἰσχυροὺς ὄνυχας ἔχοντας. ZYQX

E 330/Z$^{s}$ ἐμμεμαώς: προθυμούμενος. ZYQX. T$^{r}$ εὐπρόθυμος.

ἐμμαώς Z$^{\lambda}$ ||

E 330/Z$^{s}$ ὁ δὲ Κύπριν ἐπώιχετο: ἐπὶ Ἀφροδίτην ὥρμα (=A$^{ti}$). οὕτως γὰρ ἐκλήθη ἡ θεὸς (=G) παρόσον μεγάλως ἐν τῆι Κύπρωι τιμᾶται. ZYQU$^{m}$I~G

E 330/Z$^{s}$ νηλέϊ: ἀνηλεεῖ, σκληρῶι. ZYQX

E 331/$Z^s$ γιγνώcκων: ἐπιcτάμενοc. ZYQX

E 331/$Z^s$ ἄναλκιc: ἀcθενήc. ZYQX

E 331/$Z^s$ θεάων: θεῶν θηλυκῶc. ἡ διάλεκτοc Βοιωτῶν. ZYQ(X)G

⟨τῶν⟩ θεῶν YQX ||

E 332/$Z^s$ τάων: τούτων. ZYQX

E 332/$Z^s$ αἵ τε: αἵτινεc. ZYQX

E 332/$Z^s$ κοιρανέουcιν: διατάccουcιν. ZYQX

E 333/$Z^s$ πτολίπορθοc: πόλειc πορθοῦcα (=$XG^i$), πολεμική. ἡ γὰρ Ἐνυὼ ¦ δαίμων ἐcτὶ πολεμική (~ $A^{ts}$ ὅτι ...), ἧc οἱ νεώτεροι ποιηταὶ υἱὸν εἶναί φαcιν τὸν Ἄρεα καὶ διὰ τοῦτο καλεῖcθαι Ἐνυάλιον μητρωνυμικῶc. $ZYQU^mI$~G*. cf $T^s$, E 892/Ak, Pfeiffer ad Call. fr. 664.

E 334/$Z^s$ ὅμιλον: πλῆθοc, θόρυβον. ἀπὸ τῆc παρακολουθούcηc ἐν ὄχλωι ὁμιλίαc. ZYQIG

1 θόρυβοc Z ||

E 334/$Z^s$ ὀπάζων: νῦν κατόπιν διώκων. $ZYQXA^{ti}$ ≃ Θ 103𝔇 | ἡ γὰρ λέξιc αὕτη πλείονα cημαίνει. ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι ὡc ἐκεῖ 'Τρωcίν τε καὶ Ἕκτορι κῦδοc ὀπάζει' (~ O 327𝔇), ποτὲ δὲ τὸ καταφέρεcθαι ὡc ἐν ἐκείνοιc 'χειμάρρουc κατ' ὄρεcφιν ὀπαζόμενοc Διὸc ὄμβρωι' (Λ 493𝔇), ποτὲ δὲ τὸ ἐπιλέγεcθαι ὡc ἐκεῖ 'ἦ καὶ Νέcτοροc υἱὸν ὀπάccατο κυδαλίμοιο' (~T 238 υἷαc, cf 𝔇), ποτὲ δὲ τὸ διώκειν ὡc ἐνθάδε 'ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων' (E 334). ZYQXAUIG, ~ ApS 121,23

4 ὄμβροc Z || 5 νέcτοροc : νεώτεροc ZA || 6 ἐνθάδε : ἐνταῦθα A ||

E 335/$Z^s$ ἐπορεξάμενοc: ἐπεκτείναc. ZY =$A^{ti}$. $T^r$ ἐκτείναc.

E 336/$Z^s$ ἄκρην οὔταcε χεῖρα: ἐκ τοῦ cύνεγγυc ἄκραν τὴν χεῖρα αὐτῆc ἔτρωcεν. ZYQX

E 336/$Z^s$ ἐπάλμενοc (μετάλμενοc Hom.): ἐφαλλόμενοc. ZYQX = H 260𝔇

E 337/$Z^s$ ἀβληχρήν: ἀcθενῆ (=$T^r$), ἀπαλήν. ZYQX

E 337/$Z^s$ εἶθαρ: εὐθέωc, καὶ παραχρῆμα. $ZYQXT^r$

E 337/$Z^s$ ἀντετόρηcεν: διῆλθεν (=$T^r$), διέτρηcεν. ZYQX

E 338/$Z^s$ ἀμβροcίου: θείου. ZYQX

E 338/$Z^s$ ὅν οἱ: ὅνπερ αὐτῆι. ZYQX

E 338/$Z^s$ κάμον: ἔκαμον καταcκευάζουcαι. ZYQX

E 339/$Z^s$ πρυμνόν: τὸ ἔcχατον. 'ὑπὲρ θέναροc' δὲ ὑπὲρ τὸ κοῖλον τῆc χειρόc. λέγει δὲ εἰc τὸ μεταξὺ τοῦ λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου τὸ cαρκῶδεc καὶ κοῖλον τῆc χειρόc. $ZYQXU^mIG$

1 lemma 'ὑπὲρ θέναροc' pro δὲ QX || 2 ⟨τὸ⟩ εἰc τὸ Y, τὸ QX || μεγάλου : δακτύλου Y ||

E 339/$Z^s$ ῥέε: ἔρρει, ἐφέρετο. ZYQX

E 339/$Z^s$ ἄμβροτον: θεῖον, οὗ οὐ μετέχουcιν οἱ ἄνθρωποι. ZYQX

E 340/$Z^s$ ἰχώρ: ὑγραcία τιc διεφθαρμένηc cαρκὸc ὕφαιμοc. ZYQX

E 340/$Z^s$ οἷοc: ὁποῖοc. ZYQX

E 340/$Z^s$ μακάρεccι: τοῖc μακαριcμοῦ ἀξίοιc θεοῖc. ZYQX

E 341/$Z^s$ οὐ γὰρ cῖτον ἔδουcιν: οὐ διὰ τὸ μὴ ἄρτον αὐτοὺc ἐcθίειν μήτε οἶνον πίνειν θεοὶ ὑπάρχουcιν, ἀλλὰ διὰ τὸ ἀθανάτουc εἶναι τῶν τοιούτων τροφῶν ἀπέχονται. ZYQXUI~G

† E 341/$Q^s$ οὐ γὰρ cῖτον ἔδουcι: καὶ μὴν πολλὰ τῶν ζώιων οὐ cῖτον ἔδουcιν, οὐκ οἶνον πίνουcι, καὶ οὔτε ἄναιμα, οὔτε ἀθάνατά εἰcι. τοίνυν προcυπακουcτέον τὸ 'οὐκ ἔδουcι cῖτον' ἀλλ' ἀμβροcίαν, 'οὐ πίνουcιν αἴθοπα οἶνον' ἀλλὰ νέκταρ. QXIT

E 341/$Z^s$ ἔδουcιν: ἐcθίουcιν. ZYQX

E 341/$Z^s$ αἴθοπα: μέλανα. ZYQX

E 342/$Z^s$ τοὔνεκα: τούτου ἕνεκα, τούτου χάριν. ZYQX

E 342/Z$^{s}$+Q$^{s}$ ἀναίμονες: ἄνευ αἵματος. ZYQXG* | ἀναίμονες μὲν ἐπεὶ οὐ τρέφονται· ἀθάνατοι δὲ ὅτι ἀναίμονες. ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίγνεται. QTUG

E 343/Z$^{s}$ ἰάχουσα: βοήσασα (=T$^{r}$), κράξασα. ZYQX

E 343/Z$^{s}$ ἀπὸ ἕο: ἀπὸ ἑαυτῆς. ZY

E 343/Z$^{s}$ κάββαλεν: κατέβαλεν. ZYQX. T$^{r}$ ἀπέρριψεν.

E 344/Z$^{s}$ μετὰ χερσίν: διὰ τῶν ἑαυτοῦ χειρῶν. ZYQX

E 344/Z$^{s}$ ἐρύσατο: ἐφύλαξεν, ἔσωσεν. ZYQX

ἐρρύσατο Y$^{\lambda}$ = α 6𝔇 || 1 ἐφύλαξεν Z ~ E 23𝔇 : ἐφύλαξατο YQX = B 859𝔇 ||

E 345/Z$^{s}$ κυανέηι: μελαίνηι νεφέληι. λέγει δὲ τῆι ἀορασίαι. ZYQX

E 347/Z$^{s}$ τῆι δ' ἐπί: ἐπὶ ταύτηι δέ. ZYQX

E 348/Z$^{s}$ εἶκε: ὑποχώρει. ZYQX

E 348/Z$^{s}$ δηϊοτῆτος: τῆς μάχης, παρὰ τὸ ἐν αὐτῆι πολλοὺς δηιοῦσθαι, ὅ ἐστι διακόπτεσθαι. ZYQXG

2 κόπτεσθαι YQX ||

E 349/Z$^{s}$ ἦ οὐχ ἅλις: ἦ οὐκ αὔταρκές σοι. ZYQX

σοι om YQX ||

E 349/Z$^{s}$ ἀνάλκιδας: ἀσθενεῖς. ZYQX

E 349/Z$^{s}$ ἠπεροπεύεις: ἀπατᾶις ZYQXI | διὰ τοῦ πρὸς τοὺς ἄνδρας ἔρωτος. ZQXI

διὰ τοῦ ἔρωτος τοὺς ἄνδρας QX ||

E 350/Z$^{s}$ πωλήσεαι: φοιτήσεις, παραγενήσηι, ἢ ἀναστραφῆις. ZYQX

E 351/Z$^{s}$ ῥιγήσειν: φρίξειν, εὐλαβηθῆναι. ZYQX

E 351/Z$^{s}$ ἑτέρωθι: ἀλλαχόσε. ZYQX

E 351/Z$^{s}$ πύθηαι: ἀκούσηις, γνῶις. ὁ δὲ λόγος· ¦ ἐὰν δὲ πάλιν ἔλθηις εἰς πόλεμον, τηνικαῦτα σε κακῶς διάθωμαι, ὥστε σε καὶ ἄλλοθί πω πόλεμον ἀκούσασαν εὐλαβηθῆναι (=T$^{r}$). ZYQXU$^{m}$*IG

2 κακῶς : καθῶς Z || ὡς καὶ ἄλλοθί που QX ||

E 352/Z$^{s}$ ἀλύουσα: ἀδημονοῦσα, καὶ οἷον λύσιν μὴ εὑρίσκουσα τῶν κακῶν. ZYQXI ~T$^{s}$, ApS 23,19

E 352/Z$^{s}$ αἰνῶς: δεινῶς, χαλεπῶς. ZYQX

E 353/Z$^{s}$ ἑλοῦσα: λαβομένη. ZYQX

E 353/Z$^{s}$ ποδήνεμος: τοῖς ποσὶν ταχεῖα. ZYQX

E 353/Z$^{s}$ ἔξαγ' ὁμίλου: ἐξῆγεν τοῦ πλήθους. ZYQX

ἐξήγαγε QX ||

E 354/Z$^{s}$ ἀχθομένην: ὀδυνωμένην, βαρουμένην. ZYQX

E 354/Z$^{s}$ ὀδύνηισιν: ὀδύναις. ZYQ

E 354/Z$^{s}$ μελαίνετο: μέλαν δὲ τὸ σῶμα αὐτῆς ἐγίγνετο, ὅ ἐστιν ἐπελιοῦτο τὸ καλὸν αὐτῆς σῶμα. ZYQI~G

ἐπελιδνοῦτο Q (Hipp. Art. 86, Aristot. Pr. 887b13), ἐτελειοῦτο Y ||

E 355/Z$^{s}$ ἐπ' ἀριστερά: ἐπὶ τὸ ἀριστερὸν τῆς μάχης μέρος. ZYQ

E 355/Z$^{s}$ θοῦρον: τὸν ὁρμητικὸν καὶ πολεμιστήν. ZYQX

E 356/Z$^{s}$ ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω: ἀντὶ τοῦ ¦ ὁμίχληι (=T$^{r}$) δὲ αὐτοῦ ἐκεκάλυπτο τὸ δόρυ καὶ οἱ ἵπποι, ὅ ἐστιν ¦ ἀόρατα ἦν (T$^{r}$). ZYQXG

ταχέες Z$^{\lambda}$ || 2 ἀόρατος YQXT$^{r}$ ||

↑ E 356/Z$^{s}$ κέκλιτο (= K 472, ἐκέκλιτο Hom.): περιεκέκλιτο, περιέκειτο. ZYQX | καὶ οἱ 'ταχέες' δὲ ἀντὶ τοῦ ταχεῖς. ZQX

2 ἀντὶ τοῦ οἱ ταχεῖς QX : ταχεῖς ἀντὶ τοῦ Z ||

E 357/Z$^{s}$ γνύξ: ⌜ἀντὶ τοῦ QX⌝ ἐπὶ γόνυ. ZYQX

E 357/Z$^{s}$ ἐριποῦσα: πεσοῦσα. ZYQX

E 358/Zs χρυcάμπυκας: χρυcοχαλίνουc ἀπὸ μέρουc, ἢ χρυcοκόμουc (=Gi*). κυρίωc γὰρ ἄμπυξ καλεῖται cειρὰ κατάχρυcοc ἡ ἀπὸ μετώπου τεινομένη, ἧι cυνδοῦνται αἱ τρίχεc. ZYQXUm*IG

E 358/Zs ἤιτεεν: ἤιτει. ZYQX

E 359/Zs φίλε: προcφιλέcτατε. ZYQX

E 359/Zs καcίγνητε: ἀδελφέ. ZYQX

E 359/Zs κόμιcαι: ἐπιμελείαc καταξίωcον (~Tr), περίcωcον. ὅθεν καὶ ἱπποκόμοι οἱ ἐπιμελούμενοι τῶν ἵππων. ZYQXUmG

κόμιcε Zλ, κόμιcον QXλ ||

E 360/Zs ἵνα: ὅπου. ZYQX

E 360/Zs ἕδοc: ἕδραcμα, κάθιcμα, οἶκοc. ZYQX

κάθιcμα om Y ||

E 361/Zs λίην: λίαν, πάνυ. ZYQX

E 361/Zs ἄχθομαι: βαροῦμαι ὑπὸ τοῦ τραύματοc. ZYQX

E 362/Zs ὃc νῦν ˪γε Q˩ καὶ ἂν Διὶ πατρὶ μάχοιτο: ὃc οὐκ ἂν ἀπόcχοιτο οὔτε τῆc πρὸc τὸν Δία μάχηc. ZYQG

E 364/Zs ἀκηχεμένη: λυπουμένη. ZYQX

E 365/Zs πὰρ δέ οἱ: πὰρ αὐτὴν δέ. ZYQX

αὐτὸν Z (= Γ 262𝔇) ||

E 365/Zs λάζετο: ἐλάμβανεν. ZYQX

E 366/Zs μάcτιξεν: ἔτυψεν, ἔπληξεν. ZYQX

E 366/Zs ἐλάαν: ἐλαύνειν. ZYQX

E 366/Zs+Qs οὐκ ἄκοντε: οὐκ ἀπροθύμωc, ZYQXTr | ἀλλὰ προθύμωc. QX

E 366/Zs πετέcθην: ἔτρεχον (=Tr) ὑπερβολικῶc. ZYQX

E 367/Ls αἰπύν: ὑψηλόν. = Z 57𝔇

E 368/Ls ποδήνεμοc: τοῖc ποcὶ ταχεῖα. = E 353𝔇

E 369/Zs παρὰ δ' ἀμβρόcιον βάλεν εἶδαρ: παρέβαλεν δὲ αὐτοῖc θεῖον ἔδεcμα, ὅ ἐcτι τροφήν. ZYQX . Tr παρέθηκε τοῖc ἵπποιc).

E 371/Zs ἀγκάc: εἰc τὰc ἀγκάλαc. ZYQX

E 371/Zs ἐλάζετο: ἐλάμβανεν. ZYQX

E 371/Zs θυγατέρα ἥν: τὴν ἑαυτῆc θυγατέρα. ZYQX

E 373/Zs τίc νύ cε: τίc δή cε. ZYQX

E 373/Zs τοιάδ' ἔρεξεν: τοιαῦτα εἴργαcται, ἢ ἔδραcεν. ZYQX

εἴργαcεν Q, εἰργάcατο L ||

↑ E 373/Zs τοιάδ': τοιαῦτα. Z ≃ Γ 46𝔇 157𝔇

E 373/Zs Οὐρανιώνων: τῶν ἐν οὐρανῶι οἰκούντων θεῶν, ἢ ἀπὸ τοῦ Οὐρανοῦ τὸ γένοc ἐχόντων. ZYQ(X)G

E 374/Zs μαψιδίωc: ματαίωc. ZYQX

E 374/Zs ῥέζουcαν: πράττουcαν. ZYQX

E 374/Zs ἐνωπῆι: ἐν ὄψει, φανερῶc. ZYQX

E 376/Zs οὖτά με: ἔτρωcέν με. ZYQX

E 376/Zs ὑπέρθυμοc: μεγαλόψυχοc, γενναῖοc. ZYQX

E 377/Zs ὑπεξέφερον: διεκόμιζον, ὑπεξέκλεπτον. ZQ

κόμιζον· ὑπεκόμιζον, ὑπεξέκλεπτον Q ||

E 378/Zs ἔcκε (ἐcτιν Hom.): ὑπῆρχεν. ZYQX = Γ 180𝔇

E 379/Zs οὐ γὰρ ἔτι Τρώων καὶ 'Αχαιῶν φύλοπιc αἰνή: ἡ δεινὴ μάχη. προcληπτέον δὲ τὸ ἔcτιν. ZYQX

1 ἡ om YQX ||

E 381/$Z^s$ δῖα: διοτάτη (= B 714𝔇), θειοτάτη. Z

E 382/$Z^s$ τέτλαθι: καρτέρηϲον, ὑπόμεινον. ZYQX

E 382/$Z^s$ ἀνάϲχεο: ἀνάϲχου. ZYQX

E 382/$Z^s$ κηδομένη περ: καίπερ λυπουμένη. ZYQX

E 383/$Z^s$ τλῆμεν: ἐκαρτερήϲαμεν, ὑπεμείναμεν. ZYQX

E 384/$Z^s$ ἐξ ἀνδρῶν χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοιϲι τιθέντεϲ: ὑπὸ ἀνθρώπων ἀλλήλουϲ κακῶϲ πράϲϲοντεϲ. ZYQX

E 385/$Z^s$ τλῆ μὲν Ἄρηϲ, ὅτε μιν Ὦτοϲ κρατερόϲ τ' Ἐφιάλτηϲ: ἐκαρτέρηϲεν μὲν ὁ Ἄρηϲ, ὑπέμεινεν. Ὦτοϲ δὲ καὶ Ἐφιάλτηϲ, Ἀλωέωϲ παῖδεϲ καὶ Ἰφιμεδείαϲ, κατ' ἐπίκληϲιν δὲ Ποϲειδῶνοϲ, μέγιϲτοι καὶ ἰϲχυροὶ γενάμενοι ἔπαυϲαν τοὺϲ πολέμουϲ. διὸ ἐμυθεύθη, ὅτι ἔδηϲαν τὸν Ἄρην. ZYQXU*I~G*

2 ⟨καὶ⟩ ὑπέμεινεν YQX ‖ ἰφιμεϲείαϲ Z ‖ 3 γενόμενοι YQX ‖

E 385/$Z^s$+$U^s$ τλῆ μὲν Ἄρηϲ: Ἀρίϲταρχοϲ ἀξιοῖ «τὰ φραζόμενα ὑπὸ τοῦ ποιητοῦ μυθικώτερον ἐκδέχεϲθαι κατὰ ποιητικὴν ἐξουϲίαν, μηδὲν ἔξω τῶν φραζομένων ὑπὸ τοῦ ποιητοῦ περιεργαζομένουϲ.» Ὦτοϲ οὖν καὶ Ἐφιάλτηϲ γόνωι μὲν ἦϲαν Ποϲειδῶνοϲ, ἐπίκληϲιν δὲ Ἀλωέωϲ. οὗτοι ὑπερφυεῖϲ κατὰ μέγεθοϲ γενάμενοι τὸν Ἄρη παρ' αὐτοῖϲ ἔδηϲαν. χρόνου δὲ διελθόντοϲ ἡ Ἐρίβοια, μητρυιὰ μὲν τούτων, γυνὴ δὲ Ἀλωέωϲ, ἔπειϲεν Ἑρμῆν, ὅπωϲ κλέψηι τὸν Ἄρη κἀκείνουϲ αὐτοὺϲ ἀντὶ τῶν δεϲμῶν εἰϲπράξηται τιμωρίαν· ὁ δὲ πειϲθεὶϲ τοῦτο ἐποίηϲεν. οἱ δὲ οὐδὲ τότε τῆϲ ὑπερηφάνου ἀδικίαϲ ἐπαύϲαντο, ἀλλὰ Ἥραν καὶ Ἄρτεμιν ἐπείραζον. ἀγανακτήϲαϲα δὲ Ἄρτεμιϲ κυνηγετοῦϲιν αὐτοῖϲ ἔλαφον ἔπεμψεν, ἥτιϲ μεταξὺ τῶν δύο εἰϲελθοῦϲα παραιτία τελευτῆϲ αὐτοῖϲ ἐγένετο. προϊέμενοι γὰρ ὡϲ ἐπ' αὐτὴν τὰ δόρατα ἀμφότεροι, τῆϲ μὲν ἀπέτυχον, ἀλλήλουϲ δὲ πλήξαντεϲ ἀπέθανον. ἄλλοι δὲ πιθανώτερον βουλόμενοι ἐξηγεῖϲθαι τὸν Ὅμηρον τοὺϲ Ἀλωϊάδαϲ τούτουϲ φαϲὶ γενέϲθαι βαϲιλεῖϲ τῆϲ Ἑλλάδοϲ. πολλῆϲ δὲ καὶ βαρβάρου γῆϲ ἐπικρατήϲανταϲ καταπαῦϲαι τὸν πόλεμον καὶ τὰϲ εἰϲ αὐτὸν παραϲκευὰϲ καὶ ἐν εἰρήνηι ποιῆϲαι βιοτεύειν τοὺϲ ἀνθρώπουϲ. διὰ τούτου ἔδοξαν δῆϲαι τὸν Ἄρη, τουτέϲτι τὸν πόλεμον. οἱ δὲ νεώτεροι ἱϲτοροῦϲιν ποιηταὶ μόνον τὸν Ἄρη ἀπολειφθέντα τῶν ἄλλων θεῶν ἐν τοῖϲ ὑπερβορέοιϲ μέρεϲι ϲυλληφθῆναι καὶ ϲυνδεθῆναι ὑπὸ τῶν Ἀλωϊάδων καὶ διατεθῆναι εἰϲ Κέραμον, πόλιν τῆϲ Καρίαϲ, καὶ ἐνταῦθα βαϲανιϲθῆναι μηϲὶν τριϲὶν καὶ δέκα, μέχριϲ οὗ ἡ Ἐρίβοια, ἡ τῶν Ἀλωϊάδων μητρυιά, ἐμήνυϲεν τῶι Ἑρμῆι· ὁ δὲ ὑπεξέκλεψεν αὐτόν. οἱ δέ φαϲιν {Ἄρη} περὶ τῆϲ ἱϲτορίαϲ τῶν ἄϲτρων καὶ περὶ τῶν μετεώρων διαλέγεϲθαι τὸν Ὅμηρον, μαθηματικὸν ὄντα πιϲτὸν ἐπιδεικνύναι. ἐπεὶ γὰρ ὁ τοῦ Ἄρεωϲ ἀϲτὴρ ὁ Cίριοϲ καλούμενοϲ ἐν τῶι λέοντι γινόμενοϲ ὀκτὼ μηϲὶν ϲτηρίζει, κατὰ τοῦτο λέγειν τὸν ποιητὴν 'χαλκέωι δ'ἐν κεράμωι δέδετο τριϲκαίδεκα μῆναϲ' (E 387) τῶι πλείονι ἀριθμῶι χρηϲάμενοϲ διὰ τὸ μέτρον. χάλκεον δὲ πίθον λέγει τὸν λέοντα. ἐν γὰρ τῶι ζωιδίωι τούτωι γενόμενοϲ ὁ ἥλιοϲ ἔξοπτα ποιεῖ καὶ μεγάλα καύματα, ὥϲ φηϲι καὶ Ἄρατοϲ· 'ἔνθα μὲν ἠελίοιο θερείτατοί εἰϲι κέλευθοι. αἱ δέ που ἀϲταχύων κενεαὶ φαίνονται ἄρουραι· ἠελίου τὰ πρῶτα ϲυνερχομένοιο λέοντι' (Phain. 149ss). βέλτιον δ' ὅτι φιλοϲοφεῖν βούλεται διὰ τῆϲδε τῆϲ ῥαψωιδίαϲ ὡϲ καὶ δι' ὅληϲ τῆϲ ποιήϲεωϲ. Ἄρη οὖν ὀνομάζει τὸν θυμόν, Ὦτον δὲ καὶ Ἐφιάλτην τοὺϲ ἐν παιδείαι λόγουϲ. τούτων γὰρ τῶν λόγων ὁ μέν τιϲ ἐκ μαθήϲεωϲ καὶ διδαϲκαλίαϲ κινεῖται, ὁ δὲ ἕτεροϲ ἐνδιάθετόϲ ἐϲτι καὶ ἐκ φύϲεωϲ παρεπόμενοϲ τοῖϲ ἀνθρώποιϲ. τὸν μὲν οὖν διὰ τῆϲ μαθήϲεωϲ διδαϲκόμενον λόγον Ὦτον προϲηγόρευϲεν, ὅτι διὰ τῶν ὤτων αὐτὸν καὶ τῆϲ ἀκοῆϲ ἐκμανθάνομεν παιδευόμενοι. τὸν δὲ ἐνδιάθετον καὶ ἐκ φύϲεωϲ παρεπόμενον τοῖϲ ἀνθρώποιϲ Ἐφιάλτην ὠνόμαϲεν, οἷον τὸν αὐτομάτωϲ ἐφαλλόμενον, τουτέϲτιν ἐμβαλλόμενον ταῖϲ ἀκοαῖϲ. ὑπὸ τούτων δὲ ἀμφοτέρων φηϲὶν δεθῆναι τὸν Ἄρη, τουτέϲτιν τὸν θυμόν, καὶ ἐπὶ πολὺ βαϲανιϲθῆναι, ἐπειδὴ οἱ ἐν παιδείαι λόγοι ἐκπαιδεύουϲι καὶ ἐκδιδάϲκουϲι τοὺϲ ἀνθρώπουϲ κατέχειν μὲν ὀργὴν καὶ ἐπιθυμίαν, ἥκιϲτα δὲ θυμῶι χρῆϲθαι. ὅπερ φηϲὶν Ὅμηροϲ· κατέχεϲθαι θυμὸν μὲν ἐπὶ τῶν λόγων τούτων, ἐπεὶ πάντοτε οἱ τῆϲ παιδείαϲ λόγοι ἐκπαιδεύουϲι καὶ ἀναγκάζουϲι τοὺϲ ἀνθρώπουϲ μετὰ γνώμηϲ ἅπαντα πράττειν καὶ

μὴ πολλάκις ὀργῆι χρωμένους κατὰ τῶν φίλων ἀνήκεστόν τι πράττειν. ἐκδιδάσκουσιν δὲ καὶ ὃν τρόπον δεῖ γονέων ἐπιμελεῖσθαι καὶ φίλων καὶ ἀδελφῶν κήδεσθαι καὶ τῶν ἄλλων ἁπάντων. αὖθις δὲ λυθῆναι φησὶν αὐτὸν ὑπὸ Ἑρμοῦ Ἐριβοίας τοῦτο μηνυούσης, Ἑρμῆν πάλιν ὀνομάζων τὸν λόγον, ὅτι Ἑρμηνεὺς γίνεται πάντων ὁ λόγος. ἢ Ἐρίβοιαν δὲ ὀνομάζει τὴν στάσιν παρὰ τὸ μεγίστηι βοῆι χρᾶσθαι τὰ στασιάζοντα πλήθη ἐν ταῖς πόλεσιν. ἐπειδὴ πολλάκις ⟨ὁ⟩ λόγος ἐξουσίαν δίδωσιν τῶι θυμῶι χρῆσθαι τῆι οἰκείαι ῥώμηι, ὅταν ὑπὲρ πατρίδος δέοι, καὶ ὑπὲρ παίδων καὶ γονέων καὶ κτημάτων καὶ πολιτείας πρὸς πολεμίους ἀγωνίζεσθαι. τότε γὰρ ὁ λόγος οὐκέτι κατέχει τὸν θυμὸν οὐδὲ εἴργει χρῆσθαι τῆι οἰκείαι δυνάμει, ἀλλὰ τοὐναντίον αὐτὸς καὶ παρακελεύεται καὶ προτρέπεται χρῆσθαι κατὰ τῶν οἰκείων, μᾶλλον δὲ τῶν ἐχθίστων, ἵνα μὴ ὑπὸ τῶν πολεμίων ληφθέντες κακῶς πείσονται. ZYQXUI | οὕτως οὖν φασὶ καὶ τὸν φιλόσοφον Σωκράτην καιρῶι ἀνάγκης ἄρασθαι ὅπλα πρὸς πολεμίους καὶ πολεμῆσαι προθύμως ὑπὲρ τοιούτων ἁπάντων. UI

3 περιεργαζόμενος YQ || 4 γενόμενοι YQXU || 5 γυνὴ : γαμετὴ U || δὲ om Z || 6 ἄρην semper YQX) || 12 πιθανώτεροι Z || φησὶν Z || 15 ἔδειξαν Z || 18 διαχθῆναι Z || 20 ἄρη om L || ἐν τῇδε τῇ ἱστορίᾳ L || ἱστορίας τῶν μετεώρων ἄστρων Y, ἱστορίας ἄστρων μετεώρων QXU || 22 σίριος Z : σιδήρειος Q(YXU) || 23 κατὰ τοῦτο QX : κατὰ τοῦ Z, κατὰ τοῦτον YU || 28 λέοντος Y || 30 τῶν λόγων om YQX || 35-6 τουτέστιν ... ἀκοαῖς : ἤτ' οὖν ἐπερχόμενον ταῖς διανοίαις ἡμῶν L || 38 διδάσκουσι YQXU || 39 χρήσασθαι Y || ὅμηρον ZY || 41 χρωμένων Z, χρῆσθαι Y || 44 αὐτῶν Z || 44 ⟨ἢ⟩ ἐριβοίας YQXU || 46 ὀνομάζων YQX (= 45), λέγων U || 46 βοῇ Z : φωνῆι YQXU || 47 ⟨ὁ⟩ suppl. L || 52 πείσωνται Y ||

E 386/$Z^s$ Ἀλωῆος: Ἀλωέως. ZYQX

E 386/$Z^s$ κρατερῶι: ἰσχυρῶι. ZYQX

E 387/$Z^s$ χαλκέωι δ' ἐν κεράμωι: χαλκῶι ¦ ἀγγείωι, πίθωι (=$T^r$), ἢ δεσμωτηρίωι. οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον κέραμον καλοῦσιν (~ ApS 98,4). ZYQX$U^i$IG, cf Latte, Kl. Schr. 698f.

E 388/$Z^s$ καί νύ κεν: καὶ δὴ ἄν. ZYQX

E 388/$Z^s$ ἔνθα: τότε. ZYQX

E 388/$Z^s$ ἆτος πολέμοιο: ὁ ἀπλήρωτος καὶ ¦ ἀκόρεστος (= $T^i$) τοῦ πολέμου. ZYQX

E 389/$Z^s$ εἰ μὴ μητρυιή: εἰ μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ Ἠερίβοια ἀπήγγειλε τῶι Ἑρμῆι, ἵνα ἐκκλέψηι τὸν Ἄρη τοῦ δεσμοῦ. Ἠερίβοια δὲ ἡ ἀέρια καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ ὁ Κολοφώνιος Ἠερίβοιαν μητρυιὰν Ὤτου καὶ Ἐφιάλτου παραδίδωσιν (fr. 146 Wyss). ZYQXUIG

2 ἵνα om Z || κλέψη Y || ἄρην YQX ||

E 389/$Z^s$ περικαλλής: πάνυ καλή. ZYQX

E 390/$Z^s$ ἐξήγγειλεν: παρεκάλεσεν, ἐδεήθη. ZYQX

E 391/$Z^s$ ἤδη: εὐθέως· ἐπίρρημα χρόνου δηλωτικόν. ZYQX

E 391/$Z^s$ τειρόμενον: καταπονούμενον. ZYQX

E 391/$Z^s$ ἕ: αὐτόν. ZYQX

E 391/$Z^s$ ἐδάμνα: ἐδάμαζεν, κατεπόνει. ZYQX

E 392/$Z^s$ τλῆ δ' Ἥρη: ἐκαρτέρησεν δὲ καὶ ἡ Ἥρα. 'παῖς' δὲ ''Ἀμφιτρύωνος' ὁ Ἡρακλῆς. ἑκατέραις γὰρ ταῖς γενεαλογίαις καλεῖ αὐτὸν ὁ ποιητής, ὁτὲ μὲν Διὸς υἱὸν λέγων, ὁτὲ δὲ Ἀμφιτρύωνος. ZYQXUI

lemma 'παῖς Ἀμφιτρύωνος' pro δὲ QX || 1 παῖς δὲ : παῖδες Z ||

E 392/$Z^s$ τλῆ δ' Ἥρη: Εὔρυτος ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίαι βασιλεὺς προέθηκεν τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῶι κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένωι ἤ, ὥς τινες, τοὺς παῖδας. παρὰ γὰρ Ἀπόλλωνος εἰλήφει τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνισαμένου ἀγανακτήσας Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν καὶ τὴν Ἰόλην αἰχμάλωτον ἤγαγεν, οὐδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων ξενίσας ἀπέκτεινεν. φεύγων δὲ τὸ τοῦ φόνου μῦσος παρεγένετο πρὸς Νηλέα καθάρσεως τευξόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι ὁ

Νηλεὺϲ ἐξέβαλεν αὐτόν. Ἡρακλῆϲ δὲ ἐκεῖθεν χωριϲθεὶϲ ἐπεξενώθη Δηϊφόβωι τῶι τῶν Ἀρκάδων βαϲιλεῖ καὶ οὕτωϲ ἐκαθάρθη τοῦ φόνου (Apd. 2,6,2). καὶ ὕϲτερον ἐπιϲτρατεύϲαϲ Νηλεῖ οὐ μόνον τὴν Πύλον ἐπόρθηϲεν ἀλλὰ καὶ Ἥραν Νηλεῖ ϲυμμαχοῦϲαν ἔτρωϲεν, αὐτόν τε Νηλέα τοῖϲ παιϲὶν ἅμα κτείνει δίχα τοῦ νεωτέρου Νέϲτοροϲ. οὗτοϲ γὰρ ἐν Γερήνοιϲ ἐτρέφετο· διόπερ ἐϲώθη. ὅθεν αὐτὸν Γερήνιον ὁ ποιητὴϲ προϲηγόρευϲεν. ZYQXUI cf φ 22𝔇-Pherecydes (3F82FGrHist)

9 δηϊφόντι Z ||

E 393/$Z^s$ δεξιτερὸν κατὰ μαζόν: κατὰ τὸν δεξιὸν μαζόν. ZYQX

E 393/$Z^s$ τριγλώχινι: τρεῖϲ ἀκίδαϲ ἔχοντι, τριγώνωι. ZYQX

E 394/$Z^s$ βεβλήκει: ἀντὶ τοῦ ἔβαλεν. ZYQXI | ῥῆμα ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ. ZI (cf introd. n. 18)

E 394/$Z^s$ τότε κέν μιν: τότε ἂν αὐτόν. ZYQX = A 100𝔇

debuit αὐτήν ||

E 394/$Z^s$ ἀνήκεϲτον: ἀνίατον, ἀθεράπευτον. ZYQX

E 394/$Z^s$ ἄλγοϲ: κακόν. ZQX | τραῦμα, ¦ λύπη (= Γ 97𝔇). Y

E 395/$Z^s$ Ἀΐδηϲ: ὁ Ἅιδηϲ. ZYQX

E 395/$Z^s$ πελώριοϲ: μέγαϲ. ZYQX

E 396/$Z^s$ ωὑτὸϲ ἀνήρ: "ὁ αὐτὸϲ ἀνήρ", διϲυλλάβωϲ δὲ ἀναγνωϲτέον. 'υἱὸϲ' δὲ 'Διὸϲ αἰγιόχοιο' ὁ Ἡρακλῆϲ. ZYQ

ὡυτοϲ $Z^{\lambda}$, ὡυτὸϲ $YQ^{\lambda}$ || 1 lemma 'υἱὸϲ Διὸϲ αἰγιόχοιο' pro δὲ YQ ||

E 397/$Z^s$ ἐν Πύλωι ἐν νεκύεϲϲιν: ὁ μὲν Ἀρίϲταρχοϲ τὸν πύλον ἀκούει κατὰ μεταπλαϲμὸν ἀντὶ τοῦ πύλην (=G) ὡϲ ἀπὸ τοῦ 'πολύαρνι' (B 106) πολυάρνωι. καὶ τὸ 'ἐν νεκύεϲϲι' κυρίωϲ ἀκούει "ἔνθα αἱ τῶν τετελευτηκότων ἀναχωροῦϲιν ψυχαί". ZYQXUI | καὶ τὸν Ἀϊδωνέα τρωθῆναι ὑπὸ Ἡρακλέουϲ· εἰκὸϲ περὶ τὴν τοῦ Κερβέρου ἀναγωγὴν τετοξεῦϲθαι ἐμποδὼν γινόμενον αὐτῶι καὶ κωλύοντα, ἐπειδὴ καὶ ἐν ἑτέροιϲ τῆϲ ἱϲτορίαϲ ταύτηϲ μέμνηται ὁ ποιητὴϲ λέγων 'εὖτέ μιν εἰϲ Ἀΐδαο πυλάρταο προὔπεμψεν / ἐξ Ἐρέβευϲ ἄξοντα κύνα ϲτυγεροῦ Ἀΐδαο' (Θ 367-8). οἱ δὲ νεώτεροι Ὁμήρου ποιηταὶ τὸ 'ἐν Πύλωι' κυρίωϲ περὶ Πύλον τὸν Μεϲϲηνιακὸν ἤκουϲαν τοῦτο πεπονθέναι αὐτόν, καθ' ὃν χρόνον Ἡρακλῆϲ ἐπόρθηϲεν Πύλον, καὶ προϲεμυθεύϲαντο ἴδιον διήγημα, ὅπερ ἀνωτέρω εἴπομεν ἐπὶ τῆϲ Ἥραϲ ἐν τῆι πρὸ ταύτηϲ ἱϲτορίαι (E 392𝔇). Z cf T

1 τὴν πύλον Y || 5 καὶ κωλύοντα : κεκωλύοντι Z ||

↑ E 397/$Q^s$ ἐν Πύλωι ἐν νεκύεϲϲι: ἀντὶ τοῦ ἐν πύληι, πρὸϲ τῆι πύληι. οὐ γὰρ ἐν τῆι πύληι τῶν Πυλίων λέγει, ἀλλ' ἐν τῆι πύληι τῶν νεκρῶν κατὰ τὴν τοῦ Κερβέρου ἀναγωγήν. QXUIG ~ sch. Pi. Ol. 9, 44a, 46. Erbse, Beiträge 343.

E 397/$Z^s$ ὀδύνηιϲιν ἔδωκεν: εἰϲ ὀδύναϲ ἔβαλεν. ZYQX

ἔβαλεν Z : ἔδωκε YQX (λυπούμενοϲ add. YX ex 399/$Z^s$ ||

E 399/$Z^s$ κῆρ ἀχέων: τὴν ψυχὴν λυπούμενοϲ. Z = A 491𝔇 + B 694𝔇

E 399/$Z^s$ πεπαρμένοϲ: ϲυνεχόμενοϲ (?), βεβλημένοϲ. Z

↑ E 399/$Y^s$ πεπαρμένοϲ: διαπεπερονημένοϲ. YQX

E 400/$Z^s$ ἐλήλατο (ἠλήλατο Hom.): ἐνεπέπηκτο. $ZT^r$ ~ Δ 135𝔇 "ἐπέπηκτο"

↑ E 400/$Y^s$ ἐλήλατο: ἐνελήλατο, ἐνήρειϲτο, ὑπέκειτο. YQX

E 400/$Z^s$+$Y^s$ κῆδε: ἐκάκου, ἐλύπει, ZYQX | ἠνία, YQX | κατεπόνει Y. = E 404𝔇

ἠνία ἐλύπει ἐκάκου Y, ἐλύπει ἠνία ἐκάκου QX ||

E 401/$Z^s$ Παιήων: ὁ τῶν θεῶν ἰατρόϲ, ZYQX | ὃν οἱ μὲν Ἀπόλλωνα εἶπον, οἱ δὲ Ἀϲκληπιόν. Z

E 401/$Z^s$ ὀδυνήφατα: ὀδυνῶν ἀναιρετικὰ καὶ ¦ παυϲτικά (≈ Λ 847𝔇). Z

↑ E 401/$Y^s$ ὀδυνήφατα: τὰϲ ὀδύναϲ καταπαύοντα καὶ φθείροντα. YQXG = E 900𝔇

E 401/$Y^s$ πάϲϲων: ἐπιβάλλων. YQX

E 402/$Z^s$ ἠκέϲατο: ἐθεράπευϲεν, (ZY ἠκέϲϲατο$^{\lambda}$)QX | ἰάϲατο (~ κ 69𝔇). Z

E 402/$Z^s$ ἐτέτυκτο: κατεσκεύαστο, ἦν. Z = E 78𝔇

E 403/$Z^s$+$Y^s$+$Z^s$ σχέτλιος: σχετλιασμοῦ ἄξιος, Z = Σ 13𝔇 | ἀγνώμων, YQX = Σ 13𝔇 | ἄδικος. ZYQX

E 403/$Z^s$ ὀβριμοεργός: βαρέα καὶ μεγάλα ἐργαζόμενος. Z~I cf ApS 118,19 ὄβριμα ἔργα ποιῶν.

↑ E 403/$Y^s$ ὀβριμοεργός: μεγάλοις ἔργοις ἐπιτιθέμενος, ἰσχυρὰ διαπραττόμενος, ἰσχυροπράγμων, ἰσχυρὸς ἐν τῶι ἐργάζεσθαι, ἰσχυρὰ ἐργαζόμενος. YQXG~I

ὀμβριμοεργός QX ||

E 403/$Z^s$ ὃς οὐκ ὄθεται: ὃς οὐκ ἐπιστρέφεται Z(YQX ὃς bis om) | οὐδὲ φροντίζει. Z ~ He o 142

E 403/$Z^s$ αἴσυλα: παράνομα, ἁμαρτωλά, τοῦ ὁσίου ‹σε›συλημένα, ὅ ἐστιν δικαίου. Z cf ApS 16,7-Apio "τὰ σεσυλημένα τῆς αἴσης".

↑ E 403/$Y^s$+$Q^s$ αἴσυλα: ἁμαρτωλά, παράνομα (= ε 10𝔇). ὁ δὲ Ἀπίων ἐτυμολογῶν τὴν λέξιν φησὶ τὰ σεσυλημένα τῆς αἴσης, τουτέστιν ἁμαρτωλά (~ ApS-Apio 16,6, fr. 15 Neitzel). βέλτιον δὲ τὸ μὴ δοκεῖν ἐγκεῖσθαι τὰ σεσυλημένα· οὐκέτι γὰρ ἡ αἶσα φανήσεται ἐγκειμένη. ἔστιν οὖν αἴσυλα κατὰ παράλειψιν ἑτέρου ᾱ στέρησιν δηλοῦντος {κείμενα} ¦ "ἀαίσυλα", "ἐστερημένα τῆς αἴσης" (~$T^r$), YQXUIG | τουτέστι τοῦ καθήκοντος. QXUI$T^r$~G (cf Γ 59𝔇 κατ' αἶσαν· κατὰ τὸ προσῆκον)

4 στέρησιν om QX || 5 κείμενα YX : κειμένην Q, om U || ἀαίσυλα cf E876𝔇 ἀήσυλα "παρὰ τὴν αἶσαν καὶ παρὰ τὸ καθῆκον καὶ πρέπον" ||

E 403/$Z^s$ ῥέζων: πράττων. Z ≃ Δ 32𝔇

E 404/$Y^s$+$Z^s$+$Y^s$ ἔκηδε: ἐκάκου YQXT, | ἐλύπει, ZYQX | κατεπόνει YQX. = E 400/$Y^s$

E 404/$Z^s$ οἵ: οἵτινες. Z = A 175𝔇

E 405/$Z^s$ σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε: ἐπὶ σοὶ δὲ τοῦτον ¦ ἀνέπεισε (= YQX, Z 256𝔇), ὅ ἐστιν παρώρμησεν. Z (≃ E 761𝔇)

E 406/$Y^s$ νήπιος: ἄφρων. YQX = B 38𝔇

E 406/$Z^s$ οὐδὲ τὸ οἶδε: οὐδὲ ¦ ἐπίσταται τοῦτο (= Γ 308𝔇). Z

E 407/$Z^s$ οὐ δηναιός: οὐ πολυχρόνιος. Z(YQX$T^i$ οὐ bis om)

E 408/$Z^s$ ποτὶ γούνασι: πρὸς τοῖς γόνασιν. Z(YQX ποτὶ et πρὸς τοῖς om)

E 408/$Z^s$ παππάζουσιν: πάπ‹π›αν ἢ πατέρα προσαγορεύουσιν. μεμίμηται δὲ νηπίων φωνήν, ἧι προσπαίζουσιν. καὶ ἔστιν ὁ τρόπος ὀνοματοποιία (~ Θ 393𝔇). Z

↑ E 408/$Y^s$ παππάζουσι: πάππα φωνοῦσι, ¦ πατέρα καλοῦσιν (= $T^i$). ἐτυμολογεῖ δὲ τὰς τῶν παίδων φωνάς. YQX$U^m$G

E 410/$Z^s$ τῶ νῦν: διὸ δή. (post 114) ZYQ ~ B 250𝔇

E 411/$Z^s$ φραζέσθω: λογιζέσθω, σκεπτέσθω. Z ≃ O 163𝔇

E 411/$Z^s$ σεῖο: σοῦ. Z = Γ 137𝔇

E 412/$Y^s$ Αἰγιάλεια: γυνὴ Διομήδους. YQX

E 412/$Z^s$ περίφρων: πάνυ σώφρων. Z ~ Σ 108𝔇

↑ E 412/$Y^s$+$Q^s$ περίφρων: περισσόφρων, ἄγαν συνετή, YQX | περισσῶς φρονοῦσα. QX

E 412/$Z^s$ Ἀδρηστίνη: Ἀδράστου θυγάτηρ. ZYQX

E 412/$Z^s$ μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη: Διομήδης Αἰτωλίας βασιλεύων ἔγημεν Αἰγιάλειαν τὴν νεωτάτην τῶν Ἀδράστου θυγατέρων. στρατευόμενος δὲ ἐπὶ Ἴλιον κατέλειπεν τῆς βασιλείας καὶ τῶν γάμων ἐπίτροπον Κομήτην τὸν Σθενέλου. Ἀφροδίτη δὲ τρωθεῖσα ὑπὸ Διομήδους αὐτὸν μὲν οὐκ ἠδύνατο κακῶσαι διὰ τὴν τῆς Ἀθηνᾶς πρόνοιαν, Αἰγιάλειαν δὲ τὴν αὐτοῦ γυναῖκα πρὸς ἀσελγείας οἶστρον ἐξελύσσησεν, ἐνέβαλεν δὲ καὶ Κομήτηι τῆς Αἰγιαλείας ἔρωτα, ὃς ὑποστρέψαντα Διομήδην ἐξήλασεν τῆς Αἰτωλίας. διωχθεὶς δὲ οὗτος εἰς Ἰβηρίαν ἀπέρχεται κἀκεῖ βιώσας τελευτᾶι. τοὺς δὲ ἑταίρους αὐτοῦ τροφῆς σπανίζοντας εἰς ἐρωδιοὺς Ἀθηνᾶ μετέβαλεν. Z cf T

7 Ἰταλίαν sch. Lycophr. 592 || 8 σπανίζοντας de Marco : βασανίζοντας Z ||

↑ E 412/$Y^s$ μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη: Διομήδης γήμας τὴν Αἰγιάλειαν, τὴν νεωτάτην τῶν Ἀδράστου θυγατέρων – τρεῖς γὰρ ἔσχεν ὁ Ἄδραστος, Ἀργείαν τὴν Πολυνείκους καὶ Δηϊπύλην τὴν Τυδέως ‹ *** ›. τῆς οὖν μητρὸς αὐτοῦ ἀδελφὴ ἦν. παραγενόμενος τῆς στρατείας ἕνεκεν ἐπὶ τὸ Ἴλιον κατέλιπε τῆς ἀρχῆς καὶ τῆς οἰκίας ἐπίτροπον τὸν Σθενέλου Κομήτην. κατέχει δὲ ὁ λόγος· τρωθεῖσαν τὴν Ἀφροδίτην ὑπὸ Διομήδους αὐτῶι μὲν μὴ μνησικακῆσαι διὰ τὴν τῆς Ἀθηνᾶς ἐπικουρίαν, τὴν δὲ τούτου γυναῖκα ἐκμῆναι περὶ πορνείαν καὶ πᾶσαν τὴν τῶν νέων ἡλικίαν συγχορεύειν ἀσελγαίνουσαν, τῶι τε Κομήτηι ἔρωτα περὶ τὴν Αἰγιάλειαν ἐμποιῆσαι. παραγενόμενον δὲ τὸν Διομήδην ἐξ Ἰλίου διώκειν μετὰ δορυφόρων ἀποκτεῖναι βουλόμενον· τὸν δὲ λοιπὸν τοῖς ἀσθενέσι βοηθήμασι χρώμενον καταφυγεῖν ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμόν. μετὰ ταῦτα δὲ ἀπῆιρεν εἰς τὴν Ἰβηρίαν, καὶ παραλαβεῖν λέγεται παρὰ Δαύνου τινὰς εἰς κατοικισμόν. καὶ τέλος ἀπορηθέντων αὐτοῦ τῶν ἑταίρων καὶ λιμωττόντων, τούτους μὲν τὴν Ἀθηνᾶν εἰς ἐρωδιοὺς ἀπορνεῶσαι, τὸν δὲ Διομήδην ἐνταῦθα καταστρέψαι τὸν βίον. ἡ ἱστορία παρὰ Λυκόφρονι (592ss). ταύτην δὲ τὴν ἱστορίαν ὁ ποιητὴς οὐ λέγει, ἀλλὰ τοῦτο λέγει ὅτι "μὴ μαχεσθέντος αὐτῶι τινὸς τῶν ἰσχυροτέρων σου θεῶν ἀποθάνηι" (411), εἶτα τὸν θάνατον αὐτοῦ ἡ γυνὴ μαθοῦσα ἅμα τοῖς οἰκείοις αὐτοῦ θρηνήσει. YQXUI~T

1-9 verba corrupta L multifarie corrigere conatus est || 12 ἰβηρίαν YQXTU : καλαυρίαν $T^c$, ἑσπερίαν L, Ἰταλίαν sch. Lyc. 592 || λέγεται om Y || 16 ὅτι om QX ||

E 413/$Z^s$ γοόωσα: θρηνοῦσα. ZYQX

E 413/$Z^s$+$Y^s$ οἰκῆας: οἰκείους (= Z 366/$Y^s$), ZYQX | συγγενεῖς. Z | οἰκέτας (~ δ 245𝔇). YQX

E 413/$Y^s$ ἐγείρηι: διϋπνίσηι. YQX ≃ K 124𝔇

E 414/$Z^s$ κουρίδιον: τὸν ἐκ παρθενίας συνόντα ἄνδρα. ZYQX

συνόντα ἄνδρα Z : ἄνδρα γεγαμηκότα YQX ~ ο 22𝔇 ||

E 414/$Z^s$ ποθέουσα: ποθοῦσα, ZYQX | ζητοῦσα (~ B 703𝔇). 'πόσιν' δὲ ἄνδρα (= α 15𝔇). Z

E 415/$Z^s$ ἰφθίμη: νῦν ἀγαθή. Z ≃ T 116𝔇

E 416/$Z^s$ ἰχῶρ': ἰχῶρα, ὑγρασίαν. Z ≃ E 340𝔇

E 416/$Y^s$ ἰχῶ: ἰχῶρα. λέγει δὲ τὸ θεῖον αἷμα. YQX | ἡ ὑγρὰ οὐσία θεῶν ἰχὼρ καλεῖται. YQ

ἰχῶ $Y^λ$ : ἰχῶρ' $QX^λ$ = vv.ll. Hom. ||

E 416/$Z^s$+$Y^s$ ‹ὀμόργνυ:› ἀπεμόργνυ, ⌜ἀπέψα YQX ~T, ApS 39,22⌝, ἀπέματτεν. ZYQX (= E 798𝔇) | ἐξέθλιβεν τῆς χειρὸς τὸν ἰχῶρα. Z

lemma ἀπεμόργνυ ZYQXL : ὀμόργνυ supplevi, cf introd. p. 6,a || 1 ἀπέμασσεν YQX ||

E 417/$Z^s$+$Y^s$ ἄλθετο: ἐθεραπεύετο, ὑγιάζετο. ZYQX | ὑγιὴς ἐγίνετο. YQX

ὑγιάζετο ZY : ἀφυγιάζετο QX ||

E 417/$Z^s$ κατηπιόωντο: κατεπραΰνοντο. ZYQX$T^r$ cf Δ 218𝔇 | 'βαρεῖαι' δὲ αἱ ἰσχυραί (≃ A 219𝔇). Z

E 419/$Y^s$ κερτομίοις: ἐρεθιστικοῖς. YQX = A 539𝔇

E 419/$Y^s$ ἐρέθιζον: παρώξυνον (≃ A 32𝔇), ἐκίνουν. YQX

E 421/$Y^s$ χολωθεῖσα (κεχολώσεαι Hom.): ὀργισθεῖσα. YQX ≃ A 9𝔇

E 422/$Z^s$ ἦ μάλα: ὄντως πάνυ (~ Θ 102𝔇 + A 178𝔇). παρέλκεται δὲ τὸ μάλα. Z

E 422/$Z^s$ Κύπρις: ἡ Ἀφροδίτη. Z

E 422/$Y^s$+$Q^s$+$Y^s$ Κύπρις: τὸ ἐπίθετον Ἀφροδίτης, ὃ οὐκ ἐνόησαν οἱ πρὸ ἡμῶν τί σημαίνει (cf E 330𝔇)· συμπλανηθέντες τῶι Ἡσιόδωι ἔδοξαν, ὅτι Κύπρις λέγεται, ὥς φησιν Ἡσίοδος, Κυπρογένεια, διότι γεννᾶται ἐν τῶι 'περικλύστωι ἐνὶ Κύπρωι' (Theog. 199), ὥσπερ καὶ τὴν φιλομειδῆ, ὅτι 'μηδέων ἐξεφαάνθη' (Theog. 200). Ὅμηρος δὲ οὐκ εἶπεν, ἀλλὰ τὴν μειδιάματα φιλοῦσαν, οἷον ἱλαρὰν διὰ τὴν ἐγκειμένην αὐτῆι δύναμιν ἀπὸ τῆς συνουσίας. **YQXUI** | ὥσπερ οὖν τὸ πῦρ Ἥφαιστον λέγει ὁμωνύμως τῶι εὑρόντι (B 426), οὕτω καὶ τὴν Ἀφροδίτην ποτὲ τὴν ἀνδρὸς πρὸς γυ-

ναῖκα ϲυνουϲίαν, ἡνίκ' ἂν περὶ τῶν μνηϲτήρων λέγει· 'καὶ ἐκλελάθοντ' Ἀφροδίτηϲ, ἣν ἄρα ὑπὸ μνηϲτῆρϲιν ἔχον, μίϲγοντο δὲ λάθρηι' (χ 444-5 τὴν ἂρ). τὸ οὖν ἐπίθετον τὸ διὰ τοῦ 'Κύπριϲ' ϲημαινόμενον ἀπὸ τῆϲ περὶ αὐτὴν δυνάμεωϲ Ὁμήρωι παρείληπται. ἔϲτιν οὖν κατὰ ϲυγκοπὴν εἰρημένον κύποριϲ, ἡ τὸ κύειν πορίϲκουϲα. ἴδιον γὰρ τῆϲ Ἀφροδίτηϲ τοῦτο· οὐ γὰρ ἄλλωϲ γυναῖκεϲ κυΐϲκουϲι χωρὶϲ τῆϲ Ἀφροδιϲιακῆϲ ϲυνουϲίαϲ. τὸ δὲ πλανῆϲαν τὸν Ἡϲίοδον καὶ τοὺϲ ἄλλουϲ ἐϲτὶ τὸ ἐν τῆι Θ ῥαψωιδίαι λεγόμενον· 'ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομειδὴϲ Ἀφροδίτη ἐϲ Πάφον, ἔνθα δέ οἱ τέμενοϲ βωμόϲ τε θυήειϲ' (θ 361s.). οὐκ εἴ τιϲ δὲ ἔν τινι τόπωι τετίμηται κεῖθι καὶ γεγέννηται καὶ διὰ τοῦτο τῶι ἐπιθέτωι κοϲμεῖται. οὐδέποτε γοῦν Δήλιοϲ ὁ Ἀπόλλων παρ' Ὁμήρωι οὐδὲ Πύθιοϲ, καίτοι γε καὶ ἑκάτερον τῶν ἱερῶν οἶδε, δι' ὧν φηϲι ποτὲ μὲν 'Δήλωι δή ποτε τοῖον Ἀπόλλωνοϲ παρὰ βωμῶι φοίνικοϲ νέον ἔρνοϲ ἀνερχόμενον ἐνόηϲα' (ζ 162s.), ποτὲ δὲ 'οὐδ' ὅϲα λάϊνοϲ οὐδὸϲ ἀφήτοροϲ ἐντὸϲ ἐέργει, Φοίβου Ἀπόλλωνοϲ Πυθοῖ ἐνὶ πετρηέϲϲηι' (Ι 404s.). **YQUBI** | οὐδ' ἐπεί φηϲιν 'ἵκετο εἰϲ Αἰγὰϲ ὅθι οἱ κλυτὰ δώματα ἔαϲιν' (ε 381 δώματ'), Αἰγαῖόϲ ποτε εἴρηται ὁ Ποϲειδῶν παρ' Ὁμήρωι. καὶ ἡ Κυθέρεια δὲ καθ' Ὅμηρον οὐχ ὅτι 'προϲέκυρϲε Κυθήροιϲ' (Theog. 198) οἶδε μὲν γὰρ τὰ Κύθηρα, οὐκ ἀπὸ τούτου δὲ εἴρηται. Κυθέρεια δὲ ἡ κευθόμενον ἔχουϲα ἐν ἑαυτῆι τὸν πᾶϲι τῆϲ ἐρωτικῆϲ φιλίαϲ ἐξηρτημένον ἱμάντα, οἷον τὸν ἔρωτα, ὃν πᾶϲι τοῖϲ νέοιϲ ἀφίηϲιν. διὰ γὰρ τοῦ κεϲτοῦ ταῦτα παρέπεται· 'ἔνθ' ἔνι μὲν φιλότηϲ, ἔνι δ' ἵμεροϲ, ἐν δ' ὀαριϲτὺϲ πάρφαϲιϲ, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων' (Ξ 216s.). ἐπεί τοι 'καὶ Ἀλαλκομενηῒϲ Ἀθήνη' (Δ 8) παρὰ τοῖϲ εὖ λογιζομένοιϲ ἀπὸ τῆϲ ἐνεργείαϲ, ἡ ἀπαλέξουϲα τῶι ἰδίωι μένει τοὺϲ ἐναντίουϲ. οὐ γὰρ πειθόμεθα τοῖϲ νεωτέροιϲ, οἵ φαϲιν ἀπὸ Ἀλαλκομενΐου ⟨τόπου⟩ τινὸϲ εἰρῆϲθαι. οὐδ' ὡϲ Ἐρατοϲθένηϲ (fr. 3. Powell) παρήκουϲεν Ὁμήρου εἰπόντοϲ ''Ἑρμείαϲ ἀκάκητα' (Π 185) ὅτι ἀπὸ Ἀκακηϲίου ὄρουϲ, ἀλλὰ μηδενὸϲ κακοῦ μεταδοτικόϲ, ἐπεὶ καὶ 'δοτὴρ ἐάων' (~ θ 323). πᾶν γοῦν ἀπὸ τῶν παρεπομένων τοῖϲ θεοῖϲ· καὶ γὰρ ἡ γλαυκῶπιϲ οὐκ ἀπὸ τοῦ 'ἥ τ' ἄκρηϲ θῖνα Γλαυκώπιον ἵζει' (Callim. fr. 238,11), ἀλλ' ἀπὸ τῆϲ περὶ τὴν πρόϲοψιν τῶν ὀφθαλμῶν καταπλήξεωϲ. καὶ τἆλλα δὲ τῶν ἐπιθέτων ἐπιοῦϲιν ἡμῖν πάρεϲτιν ὁρᾶν, οὐκ ἀπὸ τῶν ἱερῶν τόπων ὠνομαϲμένα, ἀπὸ δὲ τῶν ἐνεργειῶν τῶν ψυχικῶν, ἢ διὰ ϲυμβεβηκότων περὶ τὸ ϲῶμα, ὡϲ ἡ 'λευκώλενοϲ Ἥρη' καὶ 'ἀργυρόπεζα Θέτιϲ' καὶ 'Φοῖβοϲ Ἀπόλλων' καὶ 'ἀκερϲεκόμηϲ' (Υ 39). καὶ πάλιν ἀπὸ πράξεων, Ἕκατοϲ (≃ Υ 71) καὶ ἑκατηβελέτηϲ (≃ Α 75), καὶ Ἑκηβόλοϲ (≃ Ο 237). Ἄρτεμιϲ δὲ καὶ ἀγροτέρη (Φ 471) καὶ ἰοχέαιρα (Υ 71), καὶ πάντα τὰ παραπλήϲια. καὶ γὰρ εἰ ϲπανίωϲ Ἑλικώνιον τὸν Ποϲειδῶνα εἴρηκεν (~ Υ 403) ἀπὸ Ἑλικῶνοϲ, ὡϲ Ἀρίϲταρχοϲ βούλεται, ἐπεὶ ἡ Βοιωτία ὅλη ἱερὰ Ποϲειδῶνοϲ. οὐ γὰρ ἀρέϲκει ἀπὸ Ἑλίκηϲ, ἐπεὶ φηϲὶν 'οἱ δέ τοι εἰϲ Ἑλίκην τε καὶ Αἰγὰϲ δῶρ' ἀνάγουϲιν' (Θ 203)· Ἑλικήϊον γὰρ ἂν εἶπεν, ϲυγχωροῦν-τοϲ τοῦ μέτρου (~ Υ 403𝔇). δύναται γὰρ Ἑλικώνιοϲ λέγεϲθαι διὰ τὸ ἕλικαϲ καὶ περιφερεῖϲ εἶναι τὰϲ δίναϲ τῆϲ θαλάϲϲηϲ. ἔτι δὲ εἴπερ ἦν ἡ Κύπριϲ ἀπὸ τῆϲ Κύπρου, πολλῶι μᾶλλον ἀπὸ τῆϲ Πάφου, ἐν ἧι 'βωμόϲ τε θυήειϲ' αὐτῆϲ (θ 363), Παφίη ἐλέγετο. ἀλλ' οὐδέποτε Παφίην εἶπε τὴν Ἀφροδίτην Ὅμηροϲ, ὡϲ οἱ νεώτεροι. καὶ γὰρ εἴ ποτε ϲπανίωϲ ἐπίθετα ἐξενήνοχε ἀπὸ τόπου, ἐξ ἡρωϊκοῦ προϲώπου κατὰ τὸ εἰκὸϲ αὐτὰ λέγει. Ἀχιλλεὺϲ μὲν γὰρ Θεϲϲαλὸϲ ὢν φηϲί· 'Ζεῦ ἄνα Δωδωναῖε, Πελαϲγικέ, τηλόθι ναίων' (Π 233). καὶ Ἑκάβη 'ἀλλ' εὔχεο ϲύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι Ἰδαίωι, ὅϲ τε Τροίην κατὰ πᾶϲαν ὁρᾶται' (Ω 290s). εἰ γὰρ Ἴδη τῆϲ Τροίαϲ, οἰκείωϲ ἡ Ἑκάβη ἔϲχηκεν παρωνομαϲμένον τὸν Ἰδαῖον. **QUIB** | ὁ δ' Ὅμηροϲ οὐκ ἂν εἴποι ἀπὸ τῆϲ Κύπρου τὸ ἐπίθετον ἐξ ἰδίου προϲώπου λέγων· 'ὁ δὲ Κύπριν ἐπώιχετο νηλέϊ χαλκῶι' (Ε 330). **YQUIB**, omnia et EtM 546,17ss (Apd Περὶ θεῶν FGrHist 244F353). Ad 34 Callim. cf G. Hermann Opusc. 8,362s.

7 τήν ποτε Y ‖ 11 κυόποριϲ QU ‖ 13 ϲυνηθείαϲ QU ‖ 16 κοϲμεῖται QU : τούτω κοϲμεῖϲθαι Y ‖ 17 ἑκάτερον L : ἑκατέρων YQU ‖ 18 ποτὲ μὲν om Y ‖ 29 μένει U, EtM (Δ 8𝔇) : τεμένει Q ‖ 30 ἀλαλκομενου L ‖ ⟨τόπου⟩ ApS 22,8, ⟨ὄρουϲ⟩ Δ 8𝔇 ‖ 31 ὁμήρου om QU ‖ 34 ἄκρηϲ θῖνα L : ἀκρηϲτῖνα Q, ἀκρίϲτια U ‖ ἵζειν Q ‖ 37 διὰ : ⟨νὴ⟩ Δία L ‖ διὰ ϲυμβεβηκὸϲ τῶν EtM ‖ 39 ἕκατοϲ EtM : ἕκαϲτοϲ QU ‖ 48 ἀπὸ τόπου om QU ‖ 49 προϲώπου om Q ‖ 54 νηλέϊ χαλκῶι om Q ‖

E 422/$Z^s$ Ἀχαιϊάδων: τῶν Ἑλληνίδων γυναικῶν. ZYQX = β 101𝔇
γυναικῶν om Z ||

E 422/$Z^s$ ἀνιεῖcα: ἀναπείθουcα, ZYQX ≃ E 405𝔇 | παρορμῶcα. Z

E 423/$Z^s$+$Y^s$ ἕπεcθαι: ἀκολουθῆcαι, ZYQX | ἢ ἀκολουθεῖν. Y = α 278𝔇

E 423/$Z^s$ ἔκπαγλα: ἐκπληκτικῶc (= Γ 415𝔇), ὑπερφυῶc. Z

↑ E 423/$Y^s$ ἔκπαγλα: ἐξόχωc. YQX = Γ 415𝔇

E 424/$Z^s$ καρρέζουcα: καταψήχουcα. Z = E 425𝔇

↑ E 424/$Y^s$ καρρέζουcα: καταρέζουcα, πληcίον παρακαθίζουcα (=$X^s$), καταψῶcα τῆι χειρί. YQ

E 424/$Z^s$ ἐϋπέπλων: εὐειμόνων (≃ Lex ε 973)· πέπλοc γὰρ ἔνδυμα γυναικεῖον (E 734𝔇). Z

↑ E 424/$Y^s$ ἐϋπέπλων: εὖ ἐcτολιcμένων, εὐcτόλων. YQX

E 425/$Z^s$ πρὸc χρυcῆι περόνηι: πρὸc τῶι χρυcῶι κνήcτρωι. Z

↑ E 425/$Y^s$ περόνη: πόρπη (= τ 226𝔇) ἐν τῆι περιβολῆι. YQX

E 425/$Z^s$ κατεμύξατο: κατέκνιcεν (~ A 243𝔇), κατέξυcεν. Z

↑ E 425/$Y^s$ κατεμύξατο: κατεξέcθη. YQX$T^r$ ≃ T 284𝔇

E 425/$Z^s$ ἀραιήν: λεπτήν, ἀcθενῆ (~ Σ 411𝔇). ἢ τρυφερήν. τὸ δὲ ὅλον· ἔοικεν δὴ φηcὶν τινα ἡ Ἀφροδίτη τῶν Ἑλληνίδων γυναικῶν ἀναπείθουcα ὥcτε τινὶ τῶν Τρώων ἐπακολουθῆcαι καταψήχουcά τε αὐτὴν πρὸc τῆι χρυcῆι περόνηι τῆc κεφαλῆc κατακεκνίcθαι τὴν χεῖρα. Z

↑ E 425/$Y^s$ ἀραιήν: ἀcθενῆ. cημαίνει δὲ καὶ λεπτήν. YQX

E 427/$Y^s$ χρυcῆν Ἀφροδίτην: τὴν καλὴν λέγει νῦν. YQX ~ Γ 64𝔇

Z 123/Um ⌊τίc⌋ ὅτι οὐ καθόλου τὴν ἀχλὺν ἀφηιρέθη παρὰ τῆc Ἀθηνᾶc. UIm cf Ts, cf 128 εἰ δέ τιc ἀθανάτων)

Z 124/Zs+Ys+Ls ὄπωπα: τεθέαμαι. Z | εἶδον. Y | ἑώρακα L. = B 799𝔇

Z 125/Zs προβέβηκαc: προελήλυθαc (=Tr), προέδραμεc, προώρμηκαc. Z

↑ Z 125/Ys προβέβηκαc: προελήλυθαc (= Ψ 890𝔇), ὑπερεμάχηcαc, ¦ ὑπερβέβηκαc (=X). YQG

Z 126/Zs cῶι θάρcει: ὑπὸ τῆc ⟨cῆc⟩ τόλμηc. Z cf Γ 429𝔇 ὑπὸ τοῦ ἀνδρόc.

⟨cῆc⟩ de Marco ||

Z 126/Zs ἔμειναc: ὑπέμειναc. Z

Z 127/Zs+Ys δυcτήνων: κακοcτόνων, Z | δυcτυχῶν, ZYQX (= Φ 151) | ταλαιπώρων, Z | ἀθλίων YQX (~ α 55𝔇).

Z 127/Zs ἐμῶι μένει ἀντιόωcιν: ἐμοὶ ἀντιτάccονται. ὁ δὲ λόγοc· δυcτυχεῖc εἰcιν οἱ ἐμοὶ ἀντιτάττοντεc. Z cf M 18𝔇 'μένοc' περιφραcτικῶc.

Z 128/$Z^s$ κατ' οὐρανοῦ: ἀντὶ τοῦ ἀπ' οὐρανοῦ. Z

Z 129/$Z^s$ μαχοίμην: μαχεϲθείην. Z ≃ Γ 393𝔇, Z 329𝔇

Z 129/$Z^s$ ἐπουρανίοιϲι: περιϲϲεύει. Z cf Z 19𝔇 ὑφηνίοχοϲ· περιϲϲεύει ἡ ὑπ̅ο̅.

Z 130/$Z^s$ οὐδὲ γὰρ οὐδὲ Δρύαντοϲ υἱὸϲ κρατερὸϲ Λυκόοργοϲ: Διόνυϲοϲ υἱὸϲ Διὸϲ καὶ Ϲεμέληϲ ἐν Κυβέλοιϲ τῆϲ Φρυγίαϲ τυχὼν καθαρϲίων καὶ διδαχθεὶϲ τὰϲ τελετὰϲ λαβών τε πᾶϲαν παρὰ τῆϲ θεοῦ τὴν διαϲκευὴν ἀνὰ πᾶϲαν τὴν γῆν ἐφέρετο χορεύων καὶ τελετὰϲ ποιούμενοϲ τιμῶν τε τυγχάνων ὧν προείρητο. παραγενόμενον δὲ αὐτὸν εἰϲ Θράικην Λυκοῦργοϲ ὁ Δρύαντοϲ ἀπελαύνει τῆϲ γῆϲ καὶ ἅπτεται τῶν τούτου τιθηνῶν· ἐτύγχανον γὰρ αὐτῶι ϲυνοργιάζουϲαι. ὁ δὲ διωκόμενοϲ κατέδυϲεν εἰϲ τὴν θάλαϲϲαν, καὶ αὐτὸν Θέτιϲ προϲδέχεται εἰϲ τὸν κόλπον. τὸν δὲ Λυκοῦργον παρὰ τοῦ Διὸϲ τιμωρίαν δοῦναι ἀφαιρεθέντα τῆϲ ὁράϲεωϲ. ἱϲτορεῖ ὁ τὴν Εὐρωπίαν πεποιηκὼϲ Εὔμηλοϲ (Europia fr. 1, p. 102 Davies). Z cf Σ 486𝔇, Ψ 91𝔇

↑ Z 130/$Y^s$ οὐδὲ γὰρ οὐδὲ Δρύαντοϲ υἱὸϲ κρατερὸϲ Λυκόοργοϲ: Διόνυϲοϲ ὁ Διὸϲ καὶ Ϲεμέληϲ παῖϲ ἐν Κυβέλοιϲ τῆϲ Φρυγίαϲ ὑπὸ τῆϲ Ῥέαϲ τυχὼν καθαρμῶν καὶ διαθεὶϲ τὰϲ τελέταϲ καὶ λαβὼν πᾶϲαν παρὰ τῆϲ θεᾶϲ τὴν διαϲκευὴν ἀνὰ πᾶϲαν ἐφέρετο τὴν οἰκουμένην χορεύων, καὶ τιμῶν τυγχάνων προηγεῖτο πάντων τῶν ἀνθρώπων. παραγενόμενον δὲ αὐτὸν εἰϲ τὴν Θράικην Λυκοῦργοϲ ὁ Δρύαντοϲ λυπήϲαϲ Ἥραϲ μίϲει μύωπι ἀπελαύνει αὐτὸν τῆϲ γῆϲ καὶ καθάπτεται τῶν τούτου τιθηνῶν· ἐτύγχανον γὰρ αὐτῶι ϲυνοργιάζουϲαι. θεηλάτωι δ' ἐλαυνόμενοϲ μάϲτιγι τὸν θεὸν ἔϲπευδε τιμωρήϲαϲθαι· ὁ δὲ ὑπὸ δέουϲ εἰϲ τὴν θάλαϲϲαν καταδύνει καὶ ὑπὸ Θέτιδοϲ ὑπολαμβάνεται καὶ Εὐρυνόμηϲ (≃ Σ 405 de Vulcano). ὁ οὖν Λυκοῦργοϲ οὐκ ἀμιϲθὶ δυϲϲεβήϲαϲ ἔδωκε τὴν ἐξ ἀνθρώπων δίκην· ἀφηιρέθη γὰρ πρὸϲ τοῦ Διὸϲ τοὺϲ ὀφθαλμούϲ. τῆϲ ἱϲτορίαϲ πολλοὶ ἐμνήϲθηϲαν, προηγουμένωϲ δὲ ὁ τὴν Εὐρωπίαν πεποιηκὼϲ Εὔμηλοϲ (Europia fr. 1 Davies). (inter 0 et 1 YQ) YQAUIG

4 οἰκουμένην Y : γῆν QAU (et Z supra) || χορειῶν Q || 6 μύωπι om Y || καθάπτεται YQ : καθάπτει αὐτὸν A, καθάπτει αὐτοῦ Q, καθάπτει αὐτῶν U || 10 τὸν ὀφθαλμὸν A, τῶν ὀφθαλμῶν U ||

Z 130/$Z^s$ Λυκόοργοϲ: Λυκοῦργοϲ. ἦν δὲ οὗτοϲ Θραικῶν βαϲιλεύϲ, ἄθεοϲ ἀνὴρ καὶ μὴ πιϲτεύων Διόνυϲον θεὸν εἶναι. Z

Z 131/$Z^s$ δὴν ἦν: πολυχρόνιοϲ (E 407𝔇 δηναιόϲ) ἐγένετο. Z. $T^r$ ἐπὶ πολύ.

Z 131/$Z^s$ ἔριζεν: ἐξιϲοῦϲθαι ἤθελεν (≃ B 555𝔇), ἢ ἀντετάϲϲετο. Z

Z 132/$Z^s$ μαινομένοιο: μανίαν ἐμποιοῦντοϲ (cf Γ 39𝔇 εἰϲ μανίαν φέρων)· ὁ τρόποϲ μετωνυμία. ἢ βακχεύοντοϲ. Z

↑ Z 132/$Y^s$ μαινομένοιο: μανιοποιοῦ (=$T^r$) διὰ τὴν μέθην, ὡϲ τὸ 'χλωρὸν δέοϲ' (H 479) τὸ χλωροποιόν. YQX(T)G cf Z 254𝔇

Z 132/$U^m$ ⸤μαινομένοιο⸥ ἢ μανιοποιοῦ, βακχείαϲ καταϲκευαϲτικοῦ, ἢ αὐτοῦ μαινομένου, ἐνθουϲιαϲτοῦ ἢ βακχευτοῦ. $U^m I^m$ = Ak

Z 132/$Z^s$ τιθήναϲ: τροφούϲ, ZYQX | τὰϲ Βάκχαϲ. Z

Z 133/$Z^s$ ϲεῦεν: ἐδίωξεν, Z(YQX$T^r$ ἐδίωκεν) | ὥρμηϲεν. Z ≃ Y 325𝔇

Z 133/$Z^s$ ἠγάθεον: ἄγαν θεῖον. ZYQX$T^r$ = ApS 82,11

Z 133/$Z^s$ Νυϲήϊον: ὄροϲ Θράικηϲ. καὶ ἕτερον τῆϲ Ἀραβίαϲ (Arr. Anab. 5,1,1 μεταξὺ Κωφῆνοϲ καὶ Ἰνδοῦ ποταμοῦ"). Z

↑ Z 133/$Y^s$ Νυϲήϊον: τὴν λεγομένην Νῦϲαν. ὄροϲ δὲ λέγει τῆϲ Θράικηϲ νῦν. ἐν ἄλλωι αὐτὴ ἡ Νῦϲα ἐν μέν τιϲι χώραιϲ ὄροϲ, ὡϲ ἐν Βοιωτίαι καὶ Θράικηι καὶ Ἀραβίαι καὶ Ἰνδικῆι καὶ Λιβύηι καὶ Νάξωι, ὅπου δὲ πόλιϲ ὡϲ ἐν Καρίαι, ὅπου δὲ νῆϲοϲ ὡϲ ἐν τῶι Καυκαϲίωι ὄρει καὶ ἐν τῶι Νείλωι ποταμῶι. οὐ δεδήλωκε δὲ ὁ ποιητὴϲ ἐν ποίαι Νύϲηι τὰ περὶ τὴν Λυκούργου δίωξιν ἐγένετο. YQAIG. $T^r$ ὄροϲ Θράικηϲ.

2 αὐτὴ de Marco : αὐτὴν YQAU || 3-4 ὅπου δὲ πόλιϲ ὡϲ ἐν Καρίαι om A ||

Z 134/$Z^s$ θύϲθλα: θύρϲουϲ. ἔνιοι δὲ τὰϲ βακχικὰϲ κράδαϲ ἀπὸ τοῦ κραδαίνεϲθαι. θύϲθλα ἀπὸ τοῦ ϲυνόλωϲ θύνεϲθαι καὶ ἐν κινήϲει εἶναι, ὅθεν καὶ θυιάδεϲ αἱ Βάκχαι. ἔνιοι δὲ τοὺϲ θύρϲουϲ καὶ κλάδουϲ, οὓϲ αἱ Βάκχαι κρατοῦϲιν, ἔνιοι δὲ τὰ εἰϲ θυϲίαν εἰϲφερόμενα, οἱ δὲ τὰ φύλλα τῆϲ ἀμπέλου. λέγει δὲ καὶ ἐπὶ τοῦ Διομήδουϲ 'θῦνε γὰρ ἂμ πεδίον' (E 87), τουτέϲτιν ὥρμα καὶ ἐν πολλῆι κινήϲει ἦν. Z

↑ Z 134/Y$^{s}$ θύϲθλα: οἱ μὲν τοὺϲ κλάδουϲ, οἱ δὲ τοὺϲ θύρϲουϲ, τουτέϲτι τὰϲ βακχικὰϲ †δράκαϲ, ὅ ἐϲτι Διονυϲιακὰ μυϲτήρια. ἔνιοι δὲ πάντα κοινῶϲ τὰ πρὸϲ τὴν τελετήν. YQI(T)G = EtM 459,30

2 δράκαϲ : κράδαϲ Z supra l. 1 || 2 ὅ : ἅ Y ||

Z 134/Z$^{s}$ κατέχευαν: ἔρριψαν. Z ≃ Γ 10𝔇 "κατέχεεν, κατέβαλεν".

Z 135/Z$^{s}$ θεινόμενα⟨ι⟩: τυπτόμεναι, πληϲϲόμεναι. Z ≃ Α 588𝔇

Z 135/Z$^{s}$ βουπλῆγι: μάϲτιγι ἐκ βοείου δέρματοϲ γινομένηι πρὸϲ τὸ πλήϲϲειν, ἢ πέλεκι ὧι τὰϲ βοῦϲ κτείνουϲι. Z ~T

↑ Z 135/Y$^{s}$ βουπλῆγι: τῶι πελέκει, ὅτι ἐν αὐτῶι τυπτόμενοι οἱ βόεϲ ἀναιροῦνται. οἱ δὲ μάϲτιγι, ἐπεὶ ἐκ βύρϲηϲ γίνεται. YQI(T)G*

Z 135/Z$^{s}$ φοβηθείϲ: εἰϲ φυγὴν τραπείϲ, ZYQX | φυγών. Z

Z 136/Z$^{s}$ δύϲεθ' ἁλὸϲ κατὰ κῦμα: κατέδυ ὑπὸ τὰ κύματα τῆϲ θαλάϲϲηϲ. Z

ὑπὸ τὰ : υποκατα Z (κατα del. de Marco) ||

Z 136/Z$^{s}$ Θέτιϲ δ' ὑπεδέξατο κόλπωι: ἡ δὲ Θέτιϲ ὑπεδέξατο αὐτὸν εἰϲ τὸν ἴδιον κόλπον. Z

Z 137/Z$^{s}$ δειδιότα: εὐλαβούμενον, φοβούμενον. Z ≃ Ε 827𝔇

Z 137/Z$^{s}$ ἀνδρὸϲ ὁμοκλῆι: ὑπὸ τῆϲ τοῦ Λυκούργου ἀπειλῆϲ. Z

Z 137/Y$^{s}$ ὁμοκλῆι: ἀπειλῆι. YQ

Z 138/Z$^{s}$ ὀδύϲαντο: ἐχολώθηϲαν, | ὠργίϲθηϲαν (= T$^{i}$). ZYQ

ὠργίϲθηϲαν ἐχολώθηϲαν YQ ||

Z 138/Z$^{s}$ ῥεῖα ζώοντεϲ: ῥαδίωϲ καὶ ἀπόνωϲ ζῶντεϲ, ZYQ = δ 805𝔇 | ἀθάνατοι. Z

Z 139/Z$^{s}$ τυφλόν: πηρόν. Z cf Β 599𝔇

Z 140/Z$^{s}$ ἀπήχθετο: ἐμιϲήθη. ZYQ | 'πᾶϲι' δὲ 'θεοῖϲιν' ἀντὶ τοῦ ὑπὸ πάντων θεῶν. Z

ἐμιϲεῖτο YQ = Z 200𝔇 ||

Z 142/Z$^{s}$ ἔδουϲιν: ἀντὶ ἐδόντων. Z (i.e. dativus pro genitivo!)

↑ Z 142/Y$^{s}$ ἔδουϲιν: ἐϲθίουϲιν. YQ

Z 143/Z$^{s}$ ἆϲϲον ἴθι: ἐγγὺϲ παραγίνου. Z ≃ Α 335𝔇

Z 143/Z$^{s}$ θᾶϲϲον: τάχιον. Z | ταχύτερον (≃ Ο 570𝔇). YQ

Z 143/Z$^{s}$ ὀλέθρου: ἐπὶ πέραϲ θανάτου. Z

Z 143/Y$^{s}$ πείρατα: πέρατα νῦν. YQ cf μ 51𝔇 "τὰ ϲχοινία".

Z 143/Z$^{s}$ ἵκηαι: ἔλθηιϲ. Z ≃ Θ 478𝔇

Z 144/Z$^{s}$ Ἱππολόχου υἱόϲ: Γλαῦκοϲ. Z

Z 144/Z$^{s}$ φαίδιμοϲ: ἐπίϲημοϲ. Z = Δ 505𝔇 "ἐπιφανήϲ"

Z 145/Z$^{s}$ τίη γενεὴν ἐρεείνειϲ: τί δή με περὶ τοῦ γένουϲ ἀνακρίνειϲ; Z ~ Ν 810$^{t}$ + φ 46𝔇

↑ Z 145/Y$^{s}$ γενεήν: νῦν γένοϲ. YQ ≃ Ε 277𝔇

↑ Z 145/Y$^{s}$ ἐρεείνειϲ: ἐρωτᾶιϲ. YQ = α 20𝔇

Z 146/Z$^{s}$ οἵη περ φύλλων γενεή: ὁποῖα (≃ Α 272𝔇) τῶν φύλλων ἡ ¦ γέννηϲιϲ (≃ δ 27𝔇). Z

Z 146/U$^{m}$ ⌞φύλλων⌟ τὰ τῶν δένδρων φύλλα δηλονότι. U$^{m}$I$^{m}$, cf T$^{i}$ "φύλλα"

Z 146/Z$^{s}$ τοίη δὲ καὶ ἀνδρῶν: τοιαύτη (= Δ 390𝔇) καὶ τῶν ¦ ἀνθρώπων (= Α 334𝔇). Z

Z 147/Z$^{s}$ φύλλα τὰ μέν τ' ἄνεμοϲ: τῶν φύλλων ἃ μὲν ὁ ἄνεμοϲ. Z

Z 147/Z$^{s}$ χαμάδιϲ: χαμαί, ZYQ | ἐπὶ γῆϲ (= Γ 300𝔇). Z

Z 147/Z$^{s}$ χέει: χεῖ, καταβάλλει. Z

Z 148/Z$^{s}$ τηλεθόωϲα: θάλλουϲα, εὐαξήϲ, εὐθαλήϲ. Ἀρίϲταρχοϲ 'τηλεθάοντα' (η 114𝔇), ἵν' ἦι ἐπὶ τῶν φύλλων. Z ~ Di

↑ Z 148/Y$^{s}$ τηλεθόωϲα: θάλλουϲα, εὐθαλέϲι δένδροιϲ κομῶϲα. YQ

Z 148/L$^{s}$ φύει: αὔξει.

Z 148/Z$^{s}$ ἔαροϲ δ' ἐπιγίγνεται ὥρηι: τῶι ἔαροϲ δὲ καιρῶι πάλιν ἐπιγεννᾶται. Z

Z 149/Z$^{s}$ ἡ μὲν φύει ἡ δ' ἀπολήγει: γεννᾶται καὶ παύεται. Z

Z 149/U$^{m}$ ⌊ἣ μὲν φύει ἣ δ' ἀπολήγει⌋ τὸ ἡμεν̄ καὶ ἠδε̄ ἀντὶ τοῦ καί. δύναται δὲ εἶναι καὶ ἄρθρον. βέλτιον δὲ εἶναι σύνδεσμον. U$^{m}$I$^{m}$ ~ Hd

Z 150/U$^{m}$ (εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι) ὑποστικτέον εἰς τὸ ἐθέλεις καὶ τὸ δαήμεναι, ἵν' ἦι ἀντὶ τοῦ δάηθι προστακτικοῦ. U$^{m}$(δαήσηι) ~ I$^{m}$T$^{s}$G

Z 150/Z$^{s}$ δαήμεναι: μαθεῖν. ZYQ

Z 150/Z$^{s}$ ὄφρ' εὖ εἰδῆις: ἵνα γνῶις. Z = Z 170𝔇 + A 546𝔇

Z 151/Z$^{s}$ ἴσασι: γινώσκουσι. ZYQ

Z 152/Z$^{s}$ ἔστι πόλις Ἐφύρη: Ἐφύρα ἡ νῦν Κόρινθος λεγομένη. πόλις ἐν Θεσπρωτίαι γειτονεύουσα τῆι Θράικηι καὶ τῆι Λακεδαιμονίαι. ἡ γὰρ Θεσπρωτία ταύταις παράκειται καὶ ἡ λεγομένη Ἤπειρος. τοὺς δὲ Κορινθίους οὐδέποτε Ἐφυραίους εἶπεν Ὅμηρος. τὸ δὲ 'ἐστίν' ὀξύνεται κατὰ τὴν ἡγουμένην ὅτι ἐν ἀρχῆι λόγου κεῖται, ὅταν δὲ ἐπί τισι προειρημένοις λέγεται βαρυτονεῖται. Z cf Ak et B 113$^{t}$

↑ Z 152/Y$^{s}$ Ἐφύρη: οὕτω τὸ πρότερον ἐκαλεῖτο ἡ Κόρινθος. ἔστι δὲ καὶ τῆς Θεσπρωτίας πόλις. Y(om τὸ) QI ~ Ak

Z 152/Z$^{s}$ μυχῶι: ἐσωτάτωι (= δ 304𝔇) τόπωι. οἱ δὲ ἐν μέσωι Ἄργει, ἄλλοι δὲ ἐν ¦ ἐσχάτωι (= ε 226𝔇). Z

↑ Z 152/Y$^{s}$ μυχῶι: τῶι ἐσωτέρωι τόπωι. (post 145) Y

↑ Z 152/Y$^{s}$ μυχῶι Ἄργεος: τῶι ἐσωτάτωι τόπωι τῆς Πελοποννήσου. YQI

Z 152/Y$^{s}$ ἱπποβότοιο: ἱπποτρόφου. YQ = B 287𝔇

Z 153/Z$^{s}$ ἐνθάδε Σίσυφος ἔσκεν ὃ κέρδιστος γένετ' ἀνδρῶν: Ζεὺς Αἴγιναν τὴν Ἀσώπου θυγατέρα ἐκ Φλιοῦντος πτερωτὸς γενόμενος εἰς Οἰνώνην διεκόμισεν διὰ τῆς Κορίνθου· Σίσυφος δὲ ζητοῦντι τῶι Ἀσώπωι τὰ τῆς ἁρπαγῆς ἐμήνυσεν καὶ διὰ τοῦτο εἰς ὀργὴν τὸν Δία παρεσκεύασεν. πέμπει γὰρ πρὸς αὐτὸν Θάνατον· ὁ δὲ Σίσυφος αἰσθάνομενος τὴν ἔφοδον τοῦτον δεσμοῖς καρτεροῖς συνδεῖ, συνέβαινέ τε κατ' ἐκεῖνον τὸν καιρὸν θνήσκειν μηδένα. ὁ οὖν Ἅιδης λοιπὸν αὐτὸν τῶι Θανάτωι παρέδωκεν, τὸν δὲ Θάνατον ἀπέλυσε τῶν δεσμῶν. πρὶν δὲ ἀποθανεῖν ὁ Σίσυφος ἐνετείλατο τῆι γυναικὶ Μέροπι τὰ νομιζόμενα μὴ ποιεῖν αὐτῶι ἀποθανόντι. πείσας δὲ Ἅιδην ὡς ἐπὶ μέμψει τῆς γυναικὸς ἀνέβη καὶ γενάμενος ἐν Κορίνθωι οὐκέτι ἐβούλετο κατιέναι. διὸ παρ' ἑαυτῶι θανόντι Ἅιδης κόλασιν ἐπέθηκε, λίθον διὰ παντὸς ἀναγκάσας εἰς ὕψος κυλίειν. Z

9 ἐπὶ μέμψει de Marco : ἐπιπέμψει Z, μεμφόμενον UL, v. infra l. 10 ||

↑ Z 153/Y$^{s}$ ἔνθα δὲ Σίσυφος ἔσκεν ὃ κέρδιστος γένετ' ἀνδρῶν: Διὸς τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν ἀπὸ Φλιοῦντος εἰς Οἰνώνην διὰ τῆς Κορίνθου μεταβιβάσαντος Σίσυφος ζητοῦντι τῶι Ἀσωπῶι τὴν ἁρπαγὴν ἐπιδεικνύει τέχνηι· καὶ διὰ τοῦτο ἐπεσπάσατο εἰς ὀργὴν καθ' ἑαυτοῦ τὸν Δία. ἐπιπέμπει οὖν αὐτῶι τὸν Θάνατον· ὁ δὲ Σίσυφος αἰσθόμενος τὴν ἔφοδον δεσμοῖς καρτεροῖς ἀποδεσμεῖ τὸν Θάνατον. τότε οὖν συνέβαινεν οὐδένα τῶν ἀνθρώπων ἀποθνήσκειν, ἕως αὐτὸν Ἅιδης τῶι Θανάτωι παρέδωκε καὶ τὸν Θάνατον τῶν δεσμῶν ἀπέλυσε. πρὶν ἢ δὲ ἀποθανεῖν τὸν Σίσυφον ἐντέλλεται τῆι γυναικὶ Μερόπηι τὰ νενομισμένα αὐτῶι ⟨μὴ⟩ πέμπειν εἰς Ἅιδου· καὶ μετὰ τὸν χρόνον οὐκ ἀποδιδούσης τῶι Σισύφωι τῆς γυναικὸς ὁ Ἅιδης πυθόμενος μεθίησιν αὐτὸν ὡς τῆι γυναικὶ μεμφόμενον· ὁ δὲ εἰς Κόρινθον ἀφικόμενος οὐκέτι ὀπίσω ἄγει. καὶ γηραιὸν αὐτὸν ἀποθανόντα κυλινδεῖν ἠνάγκασεν εἰς Ἅιδου λίθον, πρὸς τὸ μὴ πάλιν ἀποδράναι. ἡ δὲ ἱστορία παρὰ Φερεκύδηι (FGrHist 3F119 = Fowler). (inter 0 et 1 YQ) YQAUIG

2 εἰς οἰνώνην Q = Z supra : εἰς βιώνην XAU, om Y || 6 τότε YQU : τοῦτο A || ἕως ⟨ἂν⟩ A, ὡς δὲ U || 8 αὐτὸν A || ⟨μὴ⟩ Z supra l. 8 || 9 {τὸν} χρόνον A || 10 μεθίστησιν A || μεμφόμενον UL : πεμφόμενον YQA || 11 καὶ L : ἢ YQAU || 12 ἡ {δὲ} ἱστορία AU ||

Z 153/Z$^{s}$+Y$^{s}$ ἔσκεν: ἐγεννήθη, ZYQ | ἐγένετο, Z | ὑπῆρχεν YQ (= Γ 180𝔇).

Z 153/Z$^{s}$+U$^{s}$ κέρδιστος: συνετώτατος, ZYQAT$^{r}$ | ἐντρεχέστατος {διλιώτατος}· ¦ οὐ γὰρ ἂν τὸν πρόγονον αὐτοῦ πανουργότατον ἔλεγεν (= UI$^{m}$). ZA | οἱ γὰρ νεώτεροι τὴν λέξιν ἐπὶ τοῦ φιλοκερδοῦς λαμβάνουσιν. UI$^{m}$ ~ Ak, cf Petzl p. 27s.

1 κέρδιϲτον τὸν ϲυνετώτατον φηϲὶ καὶ κερδαλέον τὸν αὐτόν. UI ~ Ak || διλιώτατοϲ (Z) om A : δολιώτατοϲ de Marco contra ea quae sequuntur ||

Z 154/$Z^s$ Αἰολίδηϲ: Αἰόλου τοῦ Ἕλληνοϲ παῖϲ. Z

Z 154/$Z^s$ Γλαῦκον τέκεν: ἐκ Μερόπηϲ τῆϲ Ἄτλαντοϲ. Z

Z 155/$Z^s$ αὐτὰρ Γλαῦκοϲ ἔτικτεν ἀμύμονα Βελλεροφόντην: Βελλεροφόντηϲ παῖϲ μὲν ἦν Ποϲειδῶνοϲ, ἐπίκληϲιν δὲ Γλαύκου. οὗτοϲ λαβὼν παρὰ Ποϲειδῶνοϲ τὸν Μεδούϲηϲ τῆϲ Γοργόνοϲ παῖδα Πήδαϲον πτερωτὸν ἵππον – διὰ τοῦτο ἔϲχε τὸ ὄνομα ὅτι ἐκπεπηδήκει τοῦ τῆϲ Γοργόνοϲ τραχήλου – ἐνήθληϲε πολλὰ ἐν τῆι θρεφάϲηι γῆι. δράϲαϲ δὲ ἐμφύλιον φόνον καὶ Βέλλερόν τινα τῶν πολιτῶν ἀποκτείναϲ, παρ' ἣν αἰτίαν καὶ Βελλεροφόντηϲ προϲηγορεύθη, μετὰ Προίτου τοῦ βαϲιλέωϲ Φρυγῶν διέτριβεν. Ἄντεια δὲ ἡ τοῦ Προίτου ⟨γυνὴ⟩ ἐραϲθεῖϲα Βελλεροφόντου ἐδεῖτο ὅπωϲ αὐτῆι ϲυμμιγῆι, ὁ δὲ ἀποβλέπων πρὸϲ τὸ ὅϲιον ἀντέλεγεν. ἡ δὲ Ἄντεια δείϲαϲα μὴ Προίτωι προλαβὼν ἐξείποι τοὺϲ αὐτῆϲ ἔρωταϲ, ἔφθαϲε τὸν Βελλεροφόντην κατείπαϲα. ⟨* * *⟩ πέμπει δὲ αὐτὸν εἰϲ Λυκίαν πρὸϲ τὸν πενθερὸν Ἰοβάτην τὰ καθ' ἑαυτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖϲ αὐτὸν ἐγγυμνάϲαϲ θανάτοιϲ ὡϲ οὐχ ἑώρα φθειρόμενον, ἔδοξε τὰ γράμματα διαβολὴν εἶναι – μὴ γὰρ ἄτερ θεῶν τοϲοῦτον ὄχλον καταγωνίϲαϲθαι –, ἔδωκέ ⟨τε⟩ αὐτῶι τὴν θυγατέρα πρὸϲ γάμον καὶ τῆϲ βαϲιλείαϲ ἀπόμοιραν. λέγουϲι δὲ αὐτὸν ἐφ' οἷϲ ἔπραξεν ἐπαρθέντα καὶ διὰ τοῦ Πηγάϲου τὸν οὐρανὸν κατοπτεύϲειν πειρώμενον· πτερωτὸϲ γὰρ ἦν ἐπὶ τῶν ὤμων. τὸν δὲ Δία ὀργιϲθέντα οἶϲτρον ἐμβαλεῖν τῶι Πηγάϲωι, ὅθεν ἐκπεϲεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰϲ Κιλικίαν πηρωθέντα, τὸν δὲ Δία θέϲθαι τοῦ κεραυνοῦ ταμίαν τὸν Πήγαϲον (~ Hes. Theog. 286). ἡ ἱϲτορία παρὰ Ἀϲκληπιάδηι (FGrHist 12F13). Z

3 πήγαϲον Y infra l. 4 || 7 ⟨γυνὴ⟩ Y || 10 lac. expl. Y, v. infra l. 11-2 || 10 ἰοβάτην de Marco : βελλερεφόντην Z || 13 τε suppl. Y, v. infra 16 ||

↑ Z 155/$Y^s$ αὐτὰρ {ὃ} Γλαῦκοϲ ἔτικτεν ἀμύμονα Βελλεροφόντην: οὗτοϲ πρῶτον ἐκαλεῖτο Ἱππόνουϲ, ἀνελὼν δὲ Βέλλερον τὸν Κορινθίων δυνάϲτην Βελλεροφόντηϲ ἐκλήθη. ἦν δὲ φύϲει μὲν παῖϲ Ποϲειδῶνοϲ, ἐπίκληϲιν δὲ Γλαύκου. λαβὼν οὖν παρὰ Ποϲειδῶνοϲ τὸν Μεδούϲηϲ τῆϲ Γοργόνοϲ Πήγαϲον πτερωτὸν ἵππον (immo Πήδαϲον ut Z supra l. 3) – διὰ γὰρ τοῦτο ἔϲχε καὶ τὴν προϲηγορίαν, ὅτι ἐκπεπηδήκει ἐκ τοῦ τῆϲ Γοργόνοϲ τραχήλου – τοῦτον ἐπ' Ἐλευϲίνου †θρεφάϲη ἐν Κορίνθωι. δράϲαϲ δὲ ἐμφύλιον φόνον, Βέλλερον γάρ τινα ὡϲ ἔφην τῶν πολιτῶν ἀποκτείναϲ, φεύγει εἰϲ Ἄργοϲ. τυχὼν δὲ παρὰ Προίτου καθαρϲίων τοῦ βαϲιλέωϲ μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ Προίτου γυνὴ ἐραϲθεῖϲα τοῦ Βελλεροφόντου ἐδέετο ὅπωϲ αὐτῆι ϲυνευναϲθῆι, ὁ δὲ δεξιούμενοϲ τὸ ὅϲιον ἀντέλεγεν. ἡ δὲ Ἄντεια δείϲαϲα μὴ τῶι Προίτωι προλαβὼν ἐξείποι τοὺϲ αὐτῆϲ ἔρωταϲ, ἔφθαϲε τοῦ Βελλεροφόντου κατειποῦϲα ὡϲ ἄρα εἴη βεβιαϲμένη πρὸϲ αὐτοῦ. ὁ δὲ Προῖτοϲ αὐτόχειρ μὲν οὐκ ἐβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι, πέμπει δὲ αὐτὸν εἰϲ Λυκίαν πρὸϲ τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτωϲ καθ' αὑτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖϲ αὐτὸν ἐγγυμνάϲαϲ ἄθλοιϲ ὡϲ οὐχ ἑώρα φθειρόμενον, ὑπετόπηϲε τὴν κατ' αὐτοῦ ϲτρατηγηθεῖϲαν δεινὴν καταβολήν – τοϲούτων γὰρ κακῶν ὄχλον τῆι δυνάμει κατηγωνίϲατο –, ἔδωκέ τε αὐτῶι εἰϲ γάμον τὴν ἰδίαν θυγατέρα Καϲάνδραν καὶ τῆϲ βαϲιλείαϲ μοῖράν τινα. λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷϲ ἔπραξε θελῆϲαι μετὰ τοῦ Πηγάϲου τὸν οὐρανὸν κατοπτεῦϲαι (=$I^s$) – τὰ γὰρ νῶτα ὡϲ ἔφαμεν πτερωτὰ εἶχεν ὁ ἵπποϲ –, τὸν δὲ Δία μηνίϲαντα οἶϲτρον ἐμβαλεῖν τῶι Πηγάϲωι. ὅθεν ἐκπεϲεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰϲ τὸ τῆϲ Λυκίαϲ πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήϊον πεδίον, ἀλᾶϲθαι δὲ κατὰ τοῦτο πηρωθέντα. τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖϲαν τοῦ Διὸϲ δῶρον πρὸϲ τὸ ἀκόπωϲ περιϊέναι τὰϲ τοῦ κόϲμου περιόδουϲ (cf Lycophr. 17). ἡ ἱϲτορία παρὰ Ἀϲκληπιάδηι ἐν Τραγωιδουμένοιϲ (FGrHist 12F13). YQA$U^s$

1 πρῶτον Y : πρότερον QAU || 3 οὖν : δὲ A || 6 τοῦ} om A. τῆϲ om U || 6-7 τούτωι ἐπὶ ἐλευϲίνου θρεφάϲηι κορίνθωι AU, τούτωι ἐπωιχεῖτο Q || 8 ⟨τὸ⟩ ἄργοϲ Y || 10 προβαλὼν A || 11-13 τοῦ βελλεροφόντου ... ἐβουλήθη om Y || 11 τὸν βελλεροφόντην AU || πρὸϲ : παρ U || 13 εἰϲ λυκίαν om A || 14 καθ' ἑαυτοῦ U || .. κατ' αὐτοῦ κομίζων τὰ A || 15 ἐγγυμναϲάμενοϲ U || 16 καταβολήν :

διαβολήν L || κακῶν ⟨ἄθλων καὶ⟩ U || 17 τε L : δὲ YQAU || εἰς : πρὸς A || παςάνδραν YU || 20 ὅθεν : ὥςτε A || 22 ἀλήϊον {πεδίον} Y || 22 ἀςκόπως Y || 24 ἱςτορεῖ ἀςκληπιάδης .. Y || ἐν ⟨τοῖς⟩ Q ||

Z 156/Z$^{s}$ ἠνορέην: ἀνδρείαν. ZYQ

Z 156/Y$^{s}$ ἐρατεινήν: ἐπέραςτον, καλήν. YQ ≃ B 532𝔇

Z 157/Z$^{s}$+Y$^{s}$+Z$^{s}$ ὤπαςαν: ἐδωρήςαντο, Z | ἔδωκαν, YQ | περιεποίηςαν. ZYQ

Z 157/Z$^{s}$ κάκ' ἐμήςατο: κακὰ ἐβουλεύςατο περὶ αὐτόν. Z(ἐμνέατο$^{\lambda}$)

↑ Z 157/Y$^{s}$ ἐμήςατο: ἐβουλεύςατο (= K 289𝔇), νῦν δὲ ¦ εἰργάςατο (=T$^{r}$; K 52𝔇). YQ

Z 158/Z$^{s}$ ἐκ δήμου ἔλας⟨ς⟩εν: ἐκ δήμου καὶ ἐκ πόλεως τῶν Ἀργείων ἤλαςεν. Z

↑ Z 158/Y$^{s}$ ἐκ δήμου ἔλαςςεν: ἐξήλαςεν, ἐφυγάδευςεν. YQ

Z 158/Z$^{s}$ πολὺ φέρτερος: πολλῶι ¦ κρείςςων (= A 186𝔇). Z

Z 159/Z$^{s}$ ὑπὸ ςκήπτρωι ἐδάμαςςε: τῆι βαςιλείαι ὑπέταξεν. Z

Z 160/Z$^{s}$ ἐπεμήνατο: ἐπεμάνη, ἠράςθη. πᾶςαν δὲ τὴν ςύντονον πρᾶξιν καὶ ςφοδρὰν "μανί(αν)" ἔλεγον οἱ ἀρχαῖοι. Z cf T$^{s}$ πρὸς ἀποτροπὴν μανίαν ὀνομάζει τὸ πάθος.

1 πᾶςιν Z || ςύντονον conieci : ςύντομον Z ||

↑ Z 160/Y$^{s}$ ἐπεμήνατο: ἐμάνη. YQ

Z 160/Y$^{s}$ δῖα: ἤτοι κρατίςτη, εὐγενεςτάτη εἰρωνικῶς. YQI cf E 277𝔇, K 563𝔇

Z 160/U$^{m}$ ⌊δῖ' Ἄντεια⌋ τὸ δῖα ἐπίθετον προπεριςπᾶται, τὸ δὲ Ἄντεια ὄνομα. ὅςοι δὲ ὑφ' ἓν ἀναγινώςκουςι (scil. Διάντεια), πταίουςι. U$^{m}$I$^{m}$ ~T$^{s}$

Z 160/Z$^{s}$ Ἄντεια: γυνὴ Προίτου· ταύτην οἱ τραγικοὶ Cθενέβοιαν λέγουςιν (e.g. Euripides). Z ~ Ak

Z 161/Z$^{s}$ κρυπταδίηι φιλότητι: λαθραίαι (≃ A 542𝔇) ¦ μίξει (~ λ 246𝔇, cf Δ 499𝔇). Z

↑ Z 161/Y$^{s}$ κρυπταδίηι: λαθραίαι καὶ μοιχικῆι. YXI

Z 161/Y$^{s}$ μιγήμεναι: μιγῆναι, ςυνελθεῖν. YQ ≃ I 452𝔇

Z 161/Z$^{s}$ ἀλλὰ τὸν οὔ τι: ἀλλὰ τοῦτον ¦ οὐδαμῶς (= E 64𝔇), ¦ οὐθ' ὅλως (~ θ 451𝔇). Z

Z 162/Z$^{s}$ πεῖθεν: ἔπειθεν. Z ≃ B 85𝔇

Z 162/Z$^{s}$ ἀγαθὰ φρονέοντα: ςωφρονοῦντα. Z ≃ I 554𝔇, cf Ψ 305𝔇 ςωφρονίζων.

Z 164/Z$^{s}$ τεθναίης: ἀντὶ τοῦ θνῆςκε. Z cf Γ 102𝔇 τεθναίη· ἀποθάνοι.

Z 164/Z$^{s}$+Y$^{s}$ κάκτανε: φόνευε. Z | κατάκτεινε. YQ

Z 165/Z$^{s}$ ὅς μ' ἔθελεν: τὸ πλῆρες ὅς μοι ἤθελεν. Z. T$^{i}$ ἀντὶ τοῦ μοί.

Z 165/Z$^{s}$ οὐκ ἐθέλουςαν: οὐ θελούςηι, ἀλλ' ἀκούςηι. Z

Z 166/Z$^{s}$ οἷον ἄκουςεν: ὁποῖον ἤκουςεν. Z = A 263𝔇 + B 16𝔇

Z 167/Z$^{s}$ ἀλέεινεν: ἐξέκλινεν (= Λ 542𝔇), ἐφυλάξατο (~ α 433𝔇), τουτέςτιν οὐκ ἠθέληςεν. Z

Z 167/Z$^{s}$ ςεβάςςατο γάρ: ἐνετράπη (~ Δ 242𝔇) διὰ τὸ ἱκέτην εἶναι, ἀςεβὲς ἡγήςατο. Z

↑ Z 167/I$^{s}$ ςεβάςςατο: ςεβαςτὸν ἡγήςατο (=ApS 140), ἠιδέςθη.

Z 168/Z$^{s}$ πόρεν: ἔδωκεν (~ π 230𝔇), ¦ παρέςχεν (= A 72𝔇). Z

Z 168/Z$^{s}$ ςήματα: ςημεῖα (= B 353𝔇), γράμματα. Z

Z 168/I$^{s}$ ςήματα: ςημεῖα καὶ τύπους, δι' ὧν δηλοῖ τὴν ἐπιβουλήν. οὐδὲ γὰρ ἦν τῶν γραμμάτων χρῆςις (cf 169𝔇).

Z 168/Z$^{s}$ λυγρά: χαλεπά (~ B 873𝔇), ὀλέθρια (= A 51 λοίγια). Z

Z 169/Z$^{s}$ γράψας: χαράξας ςημεῖα τινὰ καὶ ςυμβόλαια. τοὺς γὰρ ἥρωας μὴ ἐπίςταςθαι γράμματα. ὁμοίως τῶι 'νῦν δέ μ' ἐπιγράψας' (Λ 388) καὶ 'κνημῖδας ῥαπτὰς δέδετο γραπτῦς ἀλεείνων' (ω 229). Z ⟨γ⟩ραπτὰς

Z 169/Z$^{s}$ πίνακι πτυκτῶι: τῆι δέλτωι (= Lex). 'πτυκτῶι' δὲ διπλῶι. Z cf α 439𝔇 πτύξαςα· διπλώςαςα. T$^{r}$ἠςφαλιςμένωι.

Z 169/I$^{s}$ πίνακι πτυκτῶι: δέλτωι πτυςςομένηι δεκτικῶι(?) τῶι ἑαυτοῦ πενθερῶι. τοῦτον οἱ μὲν Ἰοβάτην καλεῖςθαι φαςίν (~170$^{t}$, 𝔇), οἱ δὲ Ἀμιςόδαρον (~T$^{s}$). καὶ Ὅμηρος ὑπὸ Ἀμιςωδάρου φηςὶ τραφῆναι τὴν Χίμαιραν· 'θρέψεν ἀμαιμακέτην πολέςιν κακὸν ἀνθρώποιςιν' (Π 329).

Z 169/Z$^{s}$ θυμοφθόρα: φθαρτικὰ ψυχῆϲ, οἷϲ διαφθαρήϲεται, τουτέϲτι φονικά. Z

Z 170/Z$^{s}$ δεῖξαι: ἀντὶ τοῦ δοῦναι. ¦ 'ἠνώγει' δὲ ἐκέλευεν (= γ 174𝔇)· ¦ διάλεκτοϲ Ἰάϲ (= Z 247𝔇). Z

Z 170/Z$^{s}$ ᾧι πενθερῶι: τῶι Ἰοβάτηι. πενθερὸϲ δὲ ὁ γυναικόϲ τινοϲ πατήρ. Z

Z 170/Z$^{s}$ ὄφρ' ἀπόλοιτο: ἵνα ἀπόληται, ἵνα φονευθῆι. Z

Z 171/Z$^{s}$ θεῶν ὑπ' ἀμύμονι πομπῆι: κατὰ θεῶν πρόνοιαν ἐν τῆι ἐκπομπῆι διατηρούμενοϲ. Z

↑ Z 171/I$^{s}$ ὑπ' ἀμύμονι πομπῆι: ὑπὸ θεῶν ἀϲφαλείαι πεμπόμενοϲ.

Z 172/Z$^{s}$ ἷξεν: ἐφέρετο, παρεγένετο. Z = ε 442𝔇 "ἀφίκετο, παρεγένετο".

Z 172/Z$^{s}$ Ξάνθον τε ῥέοντα: Ξάνθοϲ ποταμὸϲ Λυκίαϲ (= E 479𝔇). 'ῥέοντα' δὲ ῥευϲτικόν. Z

Z 173/Z$^{s}$ προφρονέωϲ: προφρόνωϲ, προθύμωϲ. Z ≃ E 810𝔇

Z 173/Z$^{s}$ τῖεν: διὰ τιμῆϲ εἶχεν. Z ~ B 21𝔇

Z 173/Z$^{s}$ ἄναξ Λυκίηϲ εὐρείηϲ: ἤτοι Εὐρυβάτηϲ ἢ Ἀμφίαναξ. 'Λυκίαν' δὲ νῦν τὴν πληϲίον Καρίαϲ. Z cf B 877𝔇 "Λυκίαϲ τῆϲ κατὰ Caρπηδόνα".

Z 174/Z$^{s}$ ἐννῆμαρ: ἐπὶ ἐννέα ἡμέραϲ. Z = M 25𝔇

Z 174/Z$^{s}$ ξείνιϲϲεν: ἐξένιζεν. Z ≃ Z 217𝔇

Z 174/Z$^{s}$ ἱέρευϲεν: ἔθυϲεν. Z ≃ Φ 131𝔇

Z 175/Z$^{s}$ ῥοδοδάκτυλοϲ: ῥοδοειδήϲ, ῥοδόχρουϲ (= A 477𝔇). ἡ γὰρ ἑωθινὴ ἀνατολὴ ῥόδωι ἐοικότα δείκνυϲι τὸν ἀέρα. Z

Z 176/Z$^{s}$ ᾔτεε: ᾔτει. Z = E 358𝔇

Z 176/U$^{m}$ ⌊καὶ τότε μιν ἐρέεινε⌋ ὅτι ἔθοϲ ἦν παρὰ τοῖϲ παλαιοῖϲ πρῶτον ξενίζειν, ἔπειτα πυνθάνεϲθαι, τίνοϲ χάριν παραγεγόναϲιν οἱ ξένοι. U$^{m}$I$^{m}$ ~ Ak

Z 177/Z$^{s}$ ὅττι ῥά οἱ: ὅτι αὐτῶι. Z ~ Z 18𝔇

Z 177/Z$^{s}$ φέροιτο: ἀντὶ τοῦ φέροι, κομίζοι. Z cf Δ 374𝔇 ἴδοντο· ἴδον.

Z 178/U$^{m}$ ⌊ϲῆμα⌋ ὅτι ϲημ⟨εῖ⟩α, οὐ γράμματα· ὥϲτε εἴδωλον ἐνεχάραξεν. U$^{m}$ ~ Ak

Z 178/Z$^{s}$ παρεδέξατο γαμβροῦ: παρὰ τοῦ γαμβροῦ ἔλαβεν. Z cf Λ 124𝔇

Z 179/Z$^{s}$ πρῶτον μὲν ῥά: πρῶτον αὐτῶι. Z

Z 179/Z$^{s}$ ἀμαιμακέτην: ἀκαταμάχητον. ἢ 'ἀμαιμακέτην' τὴν ὑπερβάλλουϲαν τῶι μήκει. Z cf ApS 25,16, ξ 311𝔇 ἀμαιμάκετον· ἀκαταγώνιϲτον, μέγαν.

Z 179/Z$^{s}$ Χίμαιραν: ζῶιον τρίμορφον, λέοντοϲ μὲν ἔχον τὴν κεφαλήν, δράκοντοϲ δὲ τὴν οὐράν, τὰ δὲ μέϲα αἰγόϲ. λέγεται δὲ κυρίωϲ χίμαιρα ἡ ἐν χειμῶνι γεγεννημένη αἴξ· ἀπὸ μέρουϲ οὖν ὅλη ἐκαλεῖτο χίμαιρα. Z, cf 181$^{t}$ "ὅτι ἓν ϲῶμα ἡ Χίμαιρα" (~T$^{s}$).

Z 180/Z$^{s}$ πεφνέμεν: φονεύειν. Z ≃ Π 827𝔇

Z 180/Z$^{s}$ ἡ δ' ἂρ ἔην: ἡ δὲ ἦν. Z = B 16𝔇 + B 211𝔇

Z 180/Z$^{s}$ θεῖον γένοϲ: θαυμαϲτὸν (~ B 335𝔇) καὶ παρηλλαγμένον. A$^{ti}$ τεράϲτιον.

Z 180/Z$^{s}$ ἡ δ' ἂρ ἔην θεῖον γένοϲ: ἔνθεν αὐτὴν Ἡϲίοδοϲ Τυφῶνοϲ ἐγενεαλόγηϲεν (Theog. 319). Z

Z 181/A$^{i}$ ⌊χίμαιρα⌋ αἴξ. ≃ Z 179𝔇

Z 182/Z$^{s}$ ἀποπνείουϲα: ἀποπνέουϲα, ἀποφυϲῶϲα, ἀποβάλλουϲα. ζητεῖται δὲ πῶϲ ἐκ διαφόρων ζώιων ἐδύνατο ϲωματοποιηθῆναι ἡ Χίμαιρα. ἔνιοι μὲν οὖν φαϲὶν ὅτι οὐ τὸ ϲῶμα ἐμόρφωϲεν, ἀλλὰ τὸ περὶ τὴν ψυχὴν εἴκαϲεν τοῖϲ ζώιοιϲ, ὥϲτε τὴν ὁρμὴν τὴν περὶ τὴν ὄψιν λέοντι εἰκάϲαι, τὸ δὲ εὐκίνητον τῆι ὑγρότητι τοῦ δράκοντοϲ καὶ ποικιλίαι, πῦρ δὲ ἀποπνεῖν τὸ βίαιον τοῦ θυμοῦ. διὸ καὶ παρήγαγεν ἄνθρωπον ἐκθρέψαντα 'υἷεϲ ἀκοντιϲταὶ Ἀμιϲοδάρου, ὅϲ ῥα Χίμαιραν θρέψεν ἀμαιμακέτην' (Π 328). ἔνιοι δέ φαϲιν μηδὲ τὴν ἀρχὴν γεγονέναι τοῦτο τὸ ζῶιον, ὄροϲ δὲ εἶναι τῆϲ Λυκίαϲ Χίμαιραν λεγόμενον, οὗ τὰ μὲν πρῶτα μέρη ὑπὸ λεόντων κατενέμετο, τὰ δὲ μέϲα ὑπὸ χιμαίρων, αἱ δὲ ὑπωρίαι ὑπὸ δρακόντων, ὅπερ προϲετέτακτο διελθεῖν Βελλεροφόντηϲ. Z

3-4 τὴν περὶ Schimberg : τηϲ περι Z || 9 ὑπορίαι Z ||

Z 182/Zs πυρὸς μένος: δύναμιν (= E 2𝔇) πυρός. Z

Z 182/Zs αἰθομένοιο: καιομένου. Z ≃ α 428𝔇, K 246𝔇

Z 183/Zs καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας: θεῶν τισι σημείοις πεισθεὶς ἀνελεῖν αὐτήν. Z

Z 184/Zs Σολύμοισι: Σόλυμοι, ἔθνος πολεμικόν. περὶ τὴν Λυκίαν κατῴκησαν. ἔστι δὲ καὶ Σόλυμα ἔθνη περὶ τὴν Πισιδίαν. Z cf ε 283𝔇 Σόλυμα ὄρη τῆς Πισιδίας.

Z 188/Zs κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστου‹ς›: ἐκλεξάμενος (~ ξ 108𝔇 "ἐπιλεξάμενος") τοὺς τῆς Λυκίας κρατίστους ἄνδρας (~ A 91𝔇). Z

Z 189/Zs εἷσε λόχον: ἐνέδραν (= A 227𝔇) κατεστήσατο. Z

Z 189/Zs τοὶ δ' οὔ τι πάλιν οἶκόνδε νέοντο: οὗτοι δὲ οὐκ ¦ ἐπανέστρεψαν (~ δ 701𝔇) ¦ εἰς οἶκον (= Γ 390𝔇). Z

Z 191/Zs ἀλλ' ὅτε δή: ὅτε δὲ ἔγνω ὅτι τούτων πάντων περιεγένετο, Βελλεροφόντης δήλωσιν παρέσχε τῶι Ἰοβάτηι ὅτι ἐκ θεοῦ ἦν. Z

Z 191/Zs θεοῦ γόνον: ἀπόγονον θεοῦ. Z cf I 493𝔇 "γονήν, παῖδα".

Z 191/Zs ἠΰν: γενναῖον. Z ≃ B 653𝔇

Z 192/Zs κατέρυκε: κατέσχεν. Z = Θ 412𝔇

Z 192/Zs θυγατέρα ἥν: τὴν ἰδίαν θυγατέρα. Z = Z 155/Ys, A 412𝔇

↑ Z 192/Ys ἥν: τὴν ἑαυτοῦ. YQ = α 5𝔇

Z 193/Zs τιμῆς βασιληΐδος: τῆς βασιλείας. ZYQ

Z 194/Zs καὶ μέν οἱ: καὶ αὐτῶι. Z = A 79𝔇

Z 194/Zs τέμενος: ἀποτετμημένον καὶ ἀφωρισμένον χωρίον εἰς τιμὴν θεοῦ ἢ ἥρωος. σημαίνει δὲ καὶ τὸ ἱερόν. Z ~ B 696𝔇. Tr ἀποτετμημένην γῆν.

↑ Z 194/Ys τέμενος: ἀποτετμημένη γῆ κατὰ τιμὴν δενδροφόρος ἢ ἀμπελοφόρος. YQG

δενδροφόρου γῆς ἢ ἀμπελοφόρου Q = Z 195/YQ ||

Z 194/Zs τέμενος τάμον: ἀπέτεμον καὶ ἀφώρισαν. Z ~ Ak ὅτι ..., B 696𝔇

↑ Z 194/Ys τέμενος τάμον: ἀπέτεμον τόπον τινά. YQ

Z 195/Zs φυταλιῆς: δενδροφύτου χωρίου. Z cf M 314𝔇 ἀμπελοφύτου γῆς.

↑ Z 195/Ys φυταλιῆς: δενδροφόρου γῆς, ἢ ¦ ἀμπελοφόρου (=Tr). YQ

Z 195/Ys ἀρούρης: σπορίμου γῆς, καὶ ¦ σιτοφόρου (=Tr). YQ | ἀροτριασίμης γῆς. Y

σπορίμης Y || ἀροσίμης He α 7385 ||

Z 198/Zs παρελέξατο: παρεκλίθη (~ I 664𝔇), Z | παρεκοιμήθη (= B 515𝔇). ZYQ

Z 198/Zs μητίετα: μητιέτης (= A 175𝔇)· ὁ περὶ τῶν ὅλων βουλευόμενος (~ α 52𝔇 ὁλοόφρονος!, A 175𝔇 "βουλευτικός"). Z

Z 199/Zs χαλκοκορυστήν: πολεμικόν· ἀπὸ τῆς τοῦ χαλκοῦ ὁπλίσεως. Z

↑ Z 199/Ys χαλκοκορυστήν: χαλκῶι καθωπλισμένον. YQ ≃ E 699𝔇

Z 200/Zs καὶ κεῖνος: περισσὸς ὁ και̅. Z ~ α 33t/Ar+𝔇 ad καὶ αὐτοί.

Z 200/Zs ἀπήχθετο πᾶσι θεοῖσι: ἐμισήθη ὑπὸ πάντων τῶν θεῶν. Z = Z 140𝔇

↑ Z 200/Ys ἀπήχθετο: ἐμισεῖτο. YQ = Z 140𝔇

Z 201/Ys καπ (= Ω) πεδίον: κατὰ τὸ πεδίον. YQ cf Δ 523𝔇 κάππεσε· κατέπεσεν.

Z 201/Zs Ἀλήϊον: χωρίον τῆς Κιλικίας ὠνομασμένον ἀπὸ τῆς τοῦ Βελλεροφόντου ἄλης, ὅ ἐστι πλάνης (~ κ 464𝔇, ο 342𝔓). ZYQGTr ~ Ak ὅτι ...

1 οὕτω πεδίον τῆς λυκίας καλούμενον ab initio YQ || 2 τουτέστιν YQ ||

Z 201/Us ὅτι παρετυμολόγησε τὸ 'Ἀλήϊον' ἀπὸ τῆς πλάνης τοῦ Βελλεροφόντου (~ Ak). τὸ δὲ 'ἀπήχθετο πᾶσι θεοῖσιν' (200) οὐ δι' ἁμάρτημα κεῖται, ἀλλ' ἐξ ὧν ἐπεξηγεῖται συμφορῶν τοῦ υἱοῦ καὶ τῆς θυγατρός (203-5, cf Ts). εἰώθαμεν ἐπὶ τῶν δυστυχούντων λέγειν, ὅτι "θεὸς αὐτὸν μισεῖ".

Z 201/Ys ἀλᾶτο: ἐπλανᾶτο. YQ = γ 302𝔇

Z 202/$Z^s$ κατέδων: κατεσθίων. ZYQ ≃ λ 116𝔇 | ἐκ δὲ τούτου λυπούμενος. Z (cf E 749𝔇 μύκον· ἤχησαν. ἐκ δὲ τούτου ἀνεῳίχθησαν)

Z 202/$Z^s$ πάτον ἀνθρώπων: τὴν πεπατημένην γῆν ὑπ' ἀνθρώπων καὶ κατημβατευμένην. θέλει δὲ εἰπεῖν τὴν συνάντησιν τῶν ἀνθρώπων ἐκκλίνων. Z

↑ Z 202/$Y^s$ πάτον: τὴν πεπατημένην ὁδόν, γῆν πατουμένην ὑπὸ ἀνθρώπων, τουτέστι τὴν κοινὴν καὶ λεωφόρον. $YQU^m$~$T^r$ cf Y 137𝔇 ἐκ πάτου· ἔξω τῆς κοινῆς ὁδοῦ.

2 τὴν om Y ||

Z 205/$Z^s$ χρυσήνιος: χρυσαῖς ἡνίαις χρωμένη· λέγει δὲ τὴν ἱππικήν. ὀχεῖται γὰρ ἡ Ἄρτεμις ὑπὸ τῶν ἵππων. Z

↑ Z 205/$Y^s$ χρυσήνιος: χρυσᾶς ἡνίας ἔχουσα (~ θ 285𝔇), ὡς ἐφ' ἅρματος ὀχουμένη. YQG

Z 205/$Z^s$ ἔκτα: ἔκτανεν, ἐφόνευσεν. Z = α 300𝔇 "ἀπέκτεινεν".

Z 207/$Z^s$ ἐπέτελλεν: ἐνετείλατο. Z ≃ λ 622𝔇

Z 208/$Z^s$ αἰὲν ἀριστεύειν: αἰτίαν ἀπέδωκεν δι' ἣν 'προβέβηκεν ἁπάντων' (~ 125 -κας). ζητεῖται δὲ πῶς ὁ Διομήδης Ἀθηνᾶς αὐτῶι χαριζομένης 'ὄφρ' εὖ γινώσκοι ἠμὲν θεὸν' (~ E 128) ἀγνοεῖ Γλαῦκον. ῥητέον ὅτι τοῦτ' αὐτῶι παρέσχετο ἕως τρώσηι Ἀφροδίτην καὶ Ἄρην, καὶ πάλιν κατὰ τὸ σιωπώμενον ἀφείλατο. πολλάκις δὲ τοῦτο ποιεῖ· τὴν γοῦν Ἶριν οὐ παράγει ἀπαγγέλλουσαν τῶι Διὶ κεχωρίσθαι τὸν Ποσειδῶνα τῆς μάχης (cf O 220). ἔτι δὲ ζητεῖται πῶς Ἄρην καὶ Ἀφροδίτην τετρωκὼς φησὶν Γλαύκωι 'οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην' (129). ῥητέον ὅτι ἡ Ἀθηνᾶ παρήγγειλεν αὐτῶι μὴ ἀγωνίζεσθαι κατὰ τῶν θεῶν, μόνην δὲ Ἀφροδίτην τρῶσαι, ὕστερον δὲ αὐτὸν κατὰ τοῦ Ἄρεως 〈 * * * 〉. Z ~ E 127𝔇, cf Z $128^t$ $123^T$

9 possis αὐτὴ κατὰ τοῦ Ἄρεως 〈ἡγεῖται〉, vel 〈ἀγωνίζεσθαι〉 de Marco ||

Z 208/$Z^s$ ὑπείροχον: ἐξοχώτερον. ZYQ.

↑ Z 208/$Y^s$ ὑπείροχον: ὑπερέχοντα. YQ = Λ 784/$A^{ti}$

Z 211/$Y^s$ αἵματος: νῦν γένους (= T 105𝔇, ApS 17,6), οἱονεὶ γονέων καὶ ἀδελφῶν. γένος γὰρ τὸ πρὸ τούτων. YQ

Z 211/$Z^s$ εὔχομαι: καυχῶμαι (= Θ 526/Ak). λέγω. Z ≃ λ 261𝔇

Z 214/$Z^s$ μειλιχίοισι: προσηνέσι. Z = Δ 256𝔇

Z 215/$Z^s$ ἦ ῥα νύ μοι ξεῖνος (sic accentus, cf Ilias$^2$ p. XIV): ξένος δή μου καὶ φίλος ὑπάρχεις. Z cf Γ 183𝔇 ἦ ῥά νύ τοι· εὐλόγως δή σοι.

Z 215/$Z^s$ πατρώϊος: ἐκ πατέρων καὶ προγόνων. Z ~ B 46𝔇 "προγονικόν"

↑ Z 215/$Y^s$ πατρώϊος: ἀντὶ τοῦ παππικός. YQ

πατρικός Q ≃ E 125𝔇 ||

Z 217/$Z^s$ ξείνισεν: ἐξένισεν, ὑπεδέξατο. Z ≃ Z 174 + τ 194𝔇

Z 217/$Z^s$ ἤματα: ἡμέρας. Z = ι 74𝔇

Z 217/$Z^s$ ἐρύξας: κατασχών. ZYQ ≃ Γ 113𝔇

Z 218/$Z^s$ οἱ δὲ καὶ ἀλλήλοισι: οὗτοι δὲ ἀλλήλοις. Z = A 314𝔇+ B 151𝔇

Z 218/$Z^s$+$Y^s$ πόρον: ἐδωρήσαντο (≃ A 72𝔇). Z | ἔδωκαν (~ Z 168𝔇), Y | παρέσχον (≃ A 72𝔇). YQ

Z 218/$Z^s$ ξεινήϊα: ξένια, ZYQ ≃ Λ 20𝔇 | δῶρα, σύμβολα τῆς ἐπιξενώσεως. Z

Z 219/$Z^s$ φοίνικι φαεινόν: φοινικῶι ἄνθει βεβαμμένον ZYQ ≃ O 538𝔇, ~ H 305/Ak | καὶ λελαμπρυμένον. Z. $T^r$ φοινικῶι χρώματι.

φοινικίωι Z || λελαμπρυμμένον Z, cf N 265𝔇 λελαμπρυσμένοι ||

Z 220/$Z^s$ ἀμφικύπελλον: περιφερές, ἄμφωτον. Z cf A 584𝔇 ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές. cf ν 105𝔇 ἀμφιφορῆες· εἶδος κεράμων ἀμφώτων.

Z 221/$Z^s$ καί μιν: καὶ αὐτό. Z ≃ A 201𝔇 441𝔇

Z 222/$Z^s$ τυτθόν: νήπιον. Z cf K 345𝔇 ἐπὶ τῶν βρεφῶν.

↑ Z 222/$Y^s$ τυτθόν: ὀλίγον, μικρόν. YQ = E 443𝔇

Z 224/$Y^s$ τῶ: διό. YX = B 250𝔇

Z 225/Z$^s$ ὅτε κεν τῶν: ὅτ' ἂν ¦ τούτων (= B 806𝔇). Z

Z 225/Z$^s$ ἵκωμαι: ἀφίκωμαι. Z ≃ A 328𝔇

Z 226/Z$^s$ ἔγχεcι δ' ἀλλήλων ἀλεώμεθα: φυλαξώμεθα δὲ ἀλλήλουc ἐν τῶι πολέμωι. Z ~ E 34𝔇 "ἐκφύγωμεν". A$^{td}$ ἀντὶ τοῦ φειδώμεθα.

↑ Z 226/Y$^s$ ἔγχεcι δ' ἀλλήλων ἀλεώμεθα: ἐκκλίνωμεν ἀλλήλοιc ἐφιέναι τὰ δόρατα. (Y ἀφιέναι) QT$^r$ ~T

↑ Z 227/U$^s$ ⸤Τρῶεc κλειτοί τ' ἐπίκουροι⸥ ἀμφίβολον τὸ λεγόμενον· οὐ μόνον ἀλλήλων (126) παρακελεύεται φείcαcθαι τόν τε Διομήδην καὶ τὸν Γλαῦκον, ἀλλὰ καὶ τὰ πλήθη ἀλλήλων τοὺc Λυκίουc καὶ τοὺc Ἀργείουc, ἵν' ὥcπερ cπονδὰc ἔχωcιν οἱ βαcιλεῖc, οὕτωc καὶ τὰ πλήθη τῶν βαcιλέων, cυντομώτερον εἰπεῖν "πάντεc". U ~ Ni, F$^s$M$^s$ (cf Erbse test.)

Z 227/Z$^s$ πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶεc: πολλοὺc μὲν γὰρ ἐγὼ φονεύcω. Z

Z 228/Z$^s$+Y$^s$ πόρηι: περιποιήcηι (~ M 328𝔇 ὀρέξομεν), ZYQ | παράcχηι (= β 186𝔇). YQ

περιποιήcει Z ||

Z 228/Z$^s$ κιχείω: ἀντὶ τοῦ κιχήοιμι, ὅ ἐcτι τοῖc ποcὶν ¦ καταλάβοιμι (≃ A 26𝔇). Z

Z 230/Z$^s$ ἐπαμείψομεν: ἀντὶ τοῦ ἀντιδῶμεν, ἀλλάξωμεν. Z cf Z 339𝔇

↑ Z 230/Y$^s$ ἐπαμείψομεν: ἀντὶ τοῦ ἀμείψομεν, καταλλάξομεν. YQ

ἀμείψωμεν καταλλάξωμεν L, cf B 72𝔇 θωρήξομεν· καθοπλίcωμεν ||

Z 231/Z$^s$ εὐχόμεθα: λεγόμεθα. Z cf π 62𝔇 νῦν λέγει.

Z 232/Z$^s$ ἀΐξαντε: καταβάντεc, ὁρμήcαντεc. Z ≃ Y 401/A$^{td}$ + B 167𝔇

Z 233/Z$^s$ χεῖράc τ' ἀλλήλων λαβέτην: ἐδεξιώcαντο (≃ Ω 671𝔇) ἀλλήλουc. Z

↑ Z 233/Z$^s$ λαβέτην: ἔλαβον. Z ≃ K 545𝔇

Z 233/Z$^s$+Y$^s$ καὶ πιcτώcαντο: καὶ πίcτειc ἐποιήcαντο ZYQ | ἀλλήλοιc καὶ cυνθήκαc. YQ cf Φ 286𝔇 πίcτιν τῆc cωτηρίαc ἔδωκαν.

Z 234/Z$^s$ φρέναc ἐξέλετο: ἄφρονα ἐποίηcεν. ἢ ἐξαιρέταc ἔδωκεν αὐτῶι φρέναc· εἰ μὴ γὰρ ἀντιδεδώκει οὕτω τὰ ὅπλα ἀνήιρητο ἄν. Z

1 ἄφρονα scripsi : ἀφρόνουc Z, ἀφρένουc de Marco ||

Z 235/Z$^s$ ἄμειβεν: ὑπήλαττεν (~ P 112𝔇), ἀντεδίδου. Z

Z 236/Z$^s$ χρύcεα χαλκείων: δοὺc χρύcεα καὶ λαβὼν χάλκεα. Z

Z 236/Z$^s$ ἑκατόμβοι': πολυτελῆ. Z = Z 324 περικλυτά.

ἑκατομβοίων Z$^{\lambda}$ ||

↑ Z 236/Y$^s$ ἑκατόμβοια: ἑκατὸν βοῶν ἄξια· οὐ γὰρ νομίcμαcιν ἐχρῶντο. ὅθεν καὶ 'ἀλφεcίβοιαι' (Σ 593).YQATU$^m$G | οἱ δὲ παρ' Ἀθηναίοιc νόμιcμα εἶχον βοῦν. YATU$^m$ ~ B 449𝔇, Zenob. vulg. I 20, Fraenkel ad Aesch. Ag. 36f

2 νόμιcμα A : νο( ) T, οἵ μὴ Y ||

Z 236/Z$^s$ ⟨ἐννεαβοίων:⟩ ἐννέα βοῶν· εὐτελῆ. ὁ δὲ λόγοc· ἑκατὸν βοῶν ἄξια ἔδωκεν ἀντὶ ἐννεα βοῶν ἀξίων. οἱ γὰρ ἀρχαῖοι νομίcματι οὐκ ἐχρῶντο, πρὸc δὲ τὰ θρέμματα καὶ τὰ τοιαῦτα τὰc ἀμοιβὰc ἐποιοῦντο. Z

↑ Z 236/Y$^s$ ἐννεαβοίων: ἐννέα βοῶν ἄξια. YQA | κεκώλυται δὲ ὑπὸ τοῦ μέτρου εἰπεῖν δεκαβοίων. Y(ἀξίων) QATU$^m$G

Z 237/Z$^s$ ὡc Cκαιάc τε πύλαc: ὅτε ἐπὶ τὰc ¦ ἀριcτερὰc (=G$^i$) πύλαc. Z cf Γ 145𝔇. A$^{ti}$ ἀντὶ τοῦ ὅτε.

↑ Z 237/Y$^s$ Cκαιάc: Cκαιαὶ πύλαι τῆc Ἰλίου οὕτω καλούμεναι. YQI$^m$

Z 238/Z$^s$ ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι θέον: περιέτρεχον δὲ αὐτὸν αἱ Τρωιάδεc γυναῖκεc. Z

Z 239/Z$^s$ εἰρόμεναι: πυνθανόμεναι, ¦ ἐπερωτῶcαι (≃ A 513𝔇). Z

↑ Z 239/Y$^s$ εἰρόμεναι: ἐρωτῶcαι. YQ

Z 239/Z$^s$ παῖδαc: περὶ παίδων καὶ ἀδελφῶν καὶ πολιτῶν. Z ~ Ak πρὸc τὸ ...

↑ Z 239/Q$^s$ παῖδαc: ἀντὶ τοῦ ὑπὲρ παίδων. QT$^i$ cf Θ 57𝔇 πρό τε παίδων· ἀντὶ τοῦ ὑπέρ

Z 239/Y$^s$ ἔταc: ἑταίρουc, cυνήθειc, φίλουc. YQ cf I 464𝔇 "ἑταῖροι, πολῖται".

Z 241/$Z^s$ ἑξείηϲ: ἐφεξῆϲ (= A 448𝔇), ἐν τάξει. Z

Z 241/$Z^s$ κήδεα: λῦπαι. Z = Δ 270𝔇

Z 241/$Z^s$ ἐφῆπτο: ἐπέκειντο. Z

Z 241/$Y^s$ πολλῆιϲι δὲ κήδε' ἐφῆπτο: πολλαῖϲ δὲ κακὰ ἐξῆπτο, τουτέϲτι ¦ πολλαὶ αὐτῶν ἐν κακώϲει ἐγένοντο (=G*$T^r$). YQ

ἐφῆπται $Y^\lambda$ ||

Z 242/$U^m$ τὸ ἑξῆϲ 'ἀλλ' ὅτε δὴ Πριάμοιο', 'ἔνθα οἱ ἠπιόδωροϲ' (251). τὰ δὲ λοιπὰ διὰ μέϲου λεγόμενα. $U^m I^m$ = Ni

Z 243/$Z^s$ ξεϲτῆιϲ: ἀντὶ τοῦ ξεϲταῖϲ, ποικίλαιϲ καὶ καλῶϲ κατεϲκευαϲμέναιϲ. Z cf Z 248𝔇 "τεγέουϲ ... εὐϲτέκτουϲ".

↑ Z 243/$Y^s$ ξεϲτῆιϲ: εὖ ἐξεϲμέναιϲ, εὖ κατεϲκευαϲμέναιϲ. YQG cf E 198𝔇, δ 272𝔇

Z 243/$Z^s$ αἰθούϲηιϲι: ταῖϲ πρὸϲ ἥλιον τετραμμέναιϲ ϲτοαῖϲ, ἀπὸ τοῦ καταίθεϲθαι, ὅ ἐϲτιν ἐκθερμαίνεϲθαι. ἢ λαμπραῖϲ. Z ~ I 471𝔇

1 καταίθεϲθαι de Marco, cf Y αἴθεϲθαι : καθῆϲθαι Z ||

↑ Z 243/$Y^s$ αἰθούϲηιϲι: ϲτοαῖϲ ταῖϲ καταλαμπομέναιϲ ὑπὸ τοῦ ἡλίου. ἢ αἴθουϲαι διὰ τὸ αἴθεϲθαι ἐν αὐταῖϲ τὸ φῶϲ τοῦ χειμῶνοϲ. ἢ ¦ διὰ τὴν τοῦ ἡλίου βολήν (=$T^r$). YQA~G*

1 διὰ Q : αἷϲ διὰ Y, αἷϲ τὸ διὰ A || 2 βολήν QA : καῦϲιν Y ||

Z 243/$Z^s$ τετυγμένον: κατεϲκευαϲμένον, ZYQ ≃ A 467𝔇 | ᾠκοδομημένον. Z

Z 243/$Z^s$ αὐτὰρ ἐν αὐτῶι: ἐν αὐτῶι δέ. Z

Z 244/$Z^s$ ἔνεϲαν: ἐνῆϲαν. Z ≃ A 266𝔇

Z 245/$Z^s$ δεδμημένοι: δεδομημένοι (≃ ι 185𝔇), κατεϲκευαϲμένοι. Z

↑ Z 245/$Y^s$ δεδμημένοι: ᾠκοδομημένοι. ϲημαίνει δὲ καὶ δεδαμαϲμένοι (~ η 318𝔇). YQG ~$T^r$

Z 246/$Z^s$ μνηϲτῆιϲι: ταῖϲ ἐκ μνηϲτείαϲ καταγεγαμημέναιϲ, τουτέϲτι ταῖϲ κατὰ νόμον ἠγμέναιϲ γυναιξίν. Z ~ I 399𝔇

↑ Z 246/$Y^s$ μνηϲτῆιϲ: αἷϲ μνηϲτευόμενοι ⌜φηϲὶ QG⌝ ¦ ταῖϲ ἐκ μνηϲτείαϲ γεγαμημέναιϲ (=$T^r$). YQG

Z 247/$Z^s$ κουράων: κουρῶν, θυγατέρων. διάλεκτοϲ Ἰάϲ. Z cf E 331𝔇 θεάων· ἡ διάλεκτοϲ Βοιωτῶν. E 792𝔇 αὐτάων· Δωρικόν.

Z 247/$Z^s$ ἔνδοθεν αὐλῆϲ: ἐντὸϲ τῆϲ αὐλῆϲ. Z, δ 283𝔇 "ἔϲωθεν"

Z 248/$Z^s$ τέγεοι: οἶκοι (~ θ 458𝔇) οἱ μὴ ἐπὶ ἐδάφουϲ ὄντεϲ, ἀλλὰ κλίμακαϲ ἔχοντεϲ· οἱ δὲ αὐτοὶ καὶ ὑπερῶιοι λέγονται. οἱ γὰρ κατώτεροι καὶ ἐπὶ ἐδάφουϲ ὄντεϲ καλοῦνται θάλαμοι. Z

↑ Z 248/$Y^s$ τέγεοι: ὑπερῶοι. YQ = ApS 150,25

Z 248/$Z^s$ τέγεοι: ἐϲτεγαϲμένοι. ὅτι οὐκ εἰϲὶν ὑπερῶιοι δῆλον ἐκ τοῦ εἰπεῖν 'ἔνδοθεν αὐλῆϲ' (247), καὶ οὐχὶ ἄνωθεν τῶν ἐπιπέδων. ὃν δὲ τρόπον εἴωθεν λέγειν 'ποιηταϲ' (M 470) οἷον "καλλίϲταϲ", καὶ 'κύκλου ποιητοῖο' (Ψ 340), οὕτω καὶ τεγέουϲ εἶπεν θαλάμουϲ τοὺϲ εὐϲτέκτουϲ. Z

3 οἷον καλλίϲταϲ καὶ κύκλου ποιητοῖο conieci coll. M $470^i$ : καὶ καλλίϲτουϲ κύκλουϲ ποιητέον Z ||

Z 251/$Z^s$ ἠπιόδωροϲ: ἤπια καὶ προϲηνῆ δεδωρημένη κατὰ τὴν παιδοτροφίαν, ἥ ποτε τὸν λαθικηδέα μαζὸν ἐπέϲχεν (~ X 83). προϲηνεϲτάτη. Z

↑ Z 251/$Y^s$ ἠπιόδωροϲ: ἤπια καὶ πρᾶα, τουτέϲτι πραϋντικὰ δωρουμένη κατὰ τὴν παιδοτροφίαν, ἢ λαβοῦϲα ὡϲ πολύδωροϲ (cf Z 394𝔇). YQG

Z 251/$Z^s$ ἐναντίη ἤλυθεν: ἄντικρυϲ ἦλθεν. Z = M 152𝔇 ἄντην + Γ 205𝔇.

Z 252/$Z^s$ Λαοδίκην ἐϲάγουϲα{ν}: πρὸϲ Λαοδίκην πορευομένη. Z = $A^{td}$ ὅτι ..., ApS 7,7, ~ H $336^T$

↑ Z 252/$Y^s$ Λαοδίκην ἐϲάγουϲα: ἀντὶ τοῦ πρὸϲ Λαοδίκην πορευομένη. ἔτυχε γὰρ εἰϲελθεῖν πρὸϲ αὐτὴν βουλομένη. YQG

↑ Z 252/$Y^s$ ἄγουϲα: πορευομένη. YQ

Z 252/Z$^{s}$ θυγατρῶν εἶδος ἀρίστην: τῶν λοιπῶν θυγατέρων εἴδει ἐξοχωτάτην. Z cf N 365/Ak ὅτι νῦν μὲν τὴν Κασσάνδραν εἶδος ἀρίστην... T$^{r}$ τῶν ἐχουσῶν ἄνδρας.

Z 253/Z$^{s}$ ἔν τ' ἄρα οἱ φῦ χειρί: ἐνέφυ (= Ξ 233𝔇) δὲ αὐτοῦ τῆι χειρί, τουτέστιν ἐπελάβετο τῆς χειρός αὐτοῦ καὶ κατέσχεν. Z

Z 254/Z$^{s}$ τίπτε: τί δή. Z = B 323𝔇

Z 254/Z$^{s}$ θρασύν: ἤτοι θρασεῖς ποιοῦντα, ἢ ἐν ὧι δεῖ θαρρεῖν. ὁ τρόπος μετωνυμία. Z cf Z 132𝔇 μαινομένοιο· μανίαν ἐμποιοῦντος· ὁ τρόπος μετωνυμία.

Z 255/Z$^{s}$ τείρουσιν: καταπονοῦσιν. ZYQ ≃ Δ 315𝔇

Z 255/Z$^{s}$ δυσώνυμοι: ἐπὶ κακῶι ὠνομασμένοι, χαλεπώτατοι (~ M 116𝔇). Z

↑ Z 255/Y$^{s}$ δυσώνυμοι: κακώνυμοι. YQ

Z 256/Z$^{s}$ περὶ ἄστυ: ἀντὶ τοῦ περὶ ἄστεως. Z

Z 256/Z$^{s}$ ἀνῆκεν: ἀνέπεισεν, ZYQ (= P 705𝔇) | προετρέψατο. Z = Z 338𝔇 ὥρμησε.

Z 257/Y$^{s}$ ἐξ ἄκρης πόλιος: ἐκ τῆς ἀκροπόλεως. YQ ~ A$^{ts}$ ὅτι ..., X 172𝔇

Z 257/Y$^{s}$ χεῖρας ἀνασχεῖν: εὔξασθαι. YQ ≃ E 174𝔇

Z 258/Z$^{s}$ μέν': ἐπίμεινον. Z (~ λ 356𝔇)

Z 258/Z$^{s}$ μελιηδέα: ⸢τὸν YQ⸣ ἡδύν. ZYQ ≃ Δ 346𝔇

μελίφρονα YQ$^{\lambda}$ (=T$^{r}$; Z 264𝔇) ||

Z 258/T$^{r}$+Z$^{s}$ ἐνείκω: πέμψω. T$^{r}$ | κομίσω. ZT$^{r}$ ≃ θ 393𝔇

Z 259/Z$^{s}$ ὡς σπείσηις: ὅπως (= A 32𝔇) σπείσηις. Z

Z 260/Z$^{s}$ καὶ αὐτὸς ὀνήσεαι: καὶ αὐτὸς ὠφεληθήσηι. ZYQX

nihil nisi ὀνήσεαι· ὠφεληθήσηι YQX ||

Z 260/Z$^{s}$ πίηισθα: πίηις. Z cf T 270$^{T}$+𝔇 δίδοισθα.

Z 261/Z$^{s}$ ἀνδρὶ δὲ κεκμηῶτι: ἀντὶ τοῦ ἀνδρὸς κεκοπιακότος· σχῆμα πτωτικόν. Z ~ B 816𝔇

↑ Z 261/Y$^{s}$ κεκμηῶτι: κεκοπιακότι. YQX ≃ Δ 27𝔇

Z 261/Z$^{s}$ ἀέξει: αὔξει. ZYQX ≃ M 214𝔇

Z 262/Z$^{s}$ τύνη: σὺ Δωρικῶς. Z = E 485𝔇 ~ A$^{td}$ ὅτι ...

Z 262/Z$^{s}$ ἔτηισιν: ἑταίροις. ἢ 'ἔτηισι' Z | πολίταις. ZYQXTT$^{r}$ ≃ I 464𝔇

Z 263/Z$^{s}$ ἠμείβετο: ἀμοιβὴν λέγων ἐποιεῖτο. Z ~ A 121𝔇

Z 264/Z$^{s}$ μή μοι οἶνον ἄειρε: αἶρε, Z | πρόσφερε. ZYQX. A$^{ts}$ ἀντὶ τοῦ πρόσφερε, δίδου, ~ ApS 10,22.

1 nihil nisi ἄειρε Y$^{\lambda}$ || εἶρε Z ||

Z 264/Z$^{s}$ μελίφρονα: ἡδύν (~ B 34𝔇)· τὸν εἰς εὐφροσύνην ἄγοντα τὰς φρένας. Z, cf Z 258 app.

Z 264/Y$^{s}$ μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, μή μ' ἀπογυιώσηις: ζητεῖται, πῶς ποτε ἐναντία ἑαυτῶι ὁ ποιητὴς λέγει· προειπὼν γὰρ 'ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει' (261) νῦν ἐπάγει 'μή μ' ἀπογυιώσηις, μένεος δ' ἀλκῆς τε λάθωμαι' (265). ἡ μὲν οὖν ὑπὸ πολλῶν λεγομένη λύσις τοῦ ζητήματος τοιαύτη, ὅτι ἕτερόν ἐστι τὸ πρόσωπον τῆς Ἑκάβης τὸ λέγον ὠφέλιμον εἶναι τὸν οἶνον, **YQXUG~I$^{s}$I$^{m}$** | ἕτερον δὲ τὸ τοῦ Ἕκτορος τὸ ἀρνούμενον. οὐδὲν δὲ θαυμαστὸν εἰ παρὰ τῶι αὐτῶι ποιητῆι ἐναντίοι λέγονται λόγοι ὑπὸ προσώπων διαφόρων. ὅσα μὲν γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ καὶ ἐξ ἰδίου προσώπου φησὶν ὁ ποιητὴς ταῦτα δεῖ ἀκόλουθα εἶναι ἀλλήλοις καὶ μὴ ἐναντία, ὅσα δὲ προσώποις περιτίθησιν, οὐκ αὐτοῦ ἐστιν ἀλλὰ τῶν λεγόντων νοεῖται· ὅθεν καὶ ἐπιδέχεται πολλάκις διαφωνίαν ὥσπερ καὶ ἐν τούτοις. ἡ μὲν γὰρ οὐκ εἰδυῖα τὸν κάματον τῶν ἀνδρῶν ταύτης ἐστὶ τῆς γνώμης, ὁ δὲ μάλιστα ἐπιστάμενος ἀντιλέγει. ἔπειτα καὶ ἡ μὲν πρεσβῦτις ἦν· χαίρει δὲ τῶι οἴνωι ἡ ἡλικία αὕτη· ἐπωφελὴς γὰρ αὐτῆι ἐστι θερμὸς ὢν καὶ ὑγρὸς ψυχρᾶι οὔσηι καὶ ξηρᾶι καὶ ἀναρρώννυσιν αὐτήν, ὁ δὲ Ἕκτωρ νέος ἦν καὶ ἀκμαῖος. ἄμεινον δέ ἐστιν ἐκεῖνο λέγειν καὶ δεικνύειν ἑκάτερον τῶν εἰρημένων ἔχεσθαι λόγου, καὶ μὴ εἶναι ἐναντία τὰ περὶ τοῦ οἴνου λεγόμενα, ἐὰν σκοπῆι τις, ὅτι ἐπὶ παντὸς πράγματος ὁ καιρὸς

καὶ τὸ μέτρον πολὺ διαλλάττει. οὕτως οὖν καὶ ἐπὶ τούτου. τῶι μὲν γὰρ μέτρια πεπονηκότι πρὸς ἰςχὺν ὁ οἶνος ςυμφέρει, τὸν δὲ πάνυ κεκμηκότα ςφάλλει. ὅπερ ςυμβέβηκε τῶι Ἕκτορι οὐ μόνον ὑπὸ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὸ τοῦ δρόμου τοῦ ἐπὶ τὴν πόλιν. ἄλλως τε καὶ οὐδὲ ςιτίου οὐδενός πω ἐγέγευςτο. ἡ γὰρ τροφὴ ςὺν τῶι οἴνωι τὸ πλεῖςτον εἰς δύναμιν ςυμβάλλεται, ὥςπερ καὶ ἀλλαχοῦ εἶπεν ὁ ποιητής· 'ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεςςάμενος καὶ ἐδωδῆς ἀνδράςι δυςμενέεςςι πανημέριος πολεμίζηι' καὶ τὰ λοιπά (Τ 167-8). ἔςτι δὲ καὶ ἑτέρα λύςις τοῦ ζητήματος, καθ' ὑπερβατὸν ἐξηγουμένων τινῶν οὕτως· 'μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ – χερςὶ δ' ἀνίπτοιςι⟨ν⟩ Διὶ λείβειν αἴθοπα οἶνον ἅζομαι, οὐδέ πή ἐςτι κελαινεφέϊ Κρονίωνι αἵματι καὶ λύθρωι πεπαλαγμένον εὐχετάαςθαι – μή μ' ἀπογυιώςηις, μένεος ἀλκῆς τε λάθωμαι'. ἵνα ὡς μὴ καθαρὸς τὰς χεῖρας τὸν οἶνον ςπένδειν θεοῖς παραιτήςηται, μὴ ὀργήν τινα παρὰ θεῶν λάβοι διὰ τοῦτο. δυνατὸν δὲ καὶ οὕτως λύειν τὸ προκείμενον, ὅτι τὸ 'μένος' διχῶς νοεῖται· καὶ ἐπὶ θυμοῦ καὶ ὀργῆς (= Α 103𝔇) καὶ ἐπὶ δυνάμεως (~ Ι 706𝔇). ἡ μὲν οὖν Ἑκάβη φύςει τὴν δύναμιν τοῦ πιόντος τὸν οἶνον αὔξειν λέγει· ὁ δὲ μαραίνεςθαι τὴν ὀργὴν καὶ τὸν θυμὸν τοῦ πιόντος λέγει ὑπὸ τοῦ οἴνου, ὥςτε μὴ κινεῖςθαι ἐναντίως. **YQUIG~I$^m$**

2 πῶς ἐνάντια αὐτῶι Y || 7 προςώπων διαφόρων : διαφόρων φωνῶν Q || 8 φηςιν YUI : λέγει Q || 12 ἔπειτα YUI : ἐπεὶ Q || 15 λόγου om Y || 20 ςίτου Y || 22 πανημέριον YU ||

Z 265/Z$^s$ ἀπογυιώςηι (ἀπογυιώςηις Hom.): τὴν τῶν γυίων ἀλκὴν ἀφέληται, ἀποχωλώςηι (~ Θ 402𝔇), τουτέςτι βλάψει καὶ ἀςθενῆ ποιήςει κατὰ τὰ γυῖα. Z. T$^r$ βλάψηις μοι τὰ μέλη.

↑ Z 265/Y$^s$ ἀπογυιώςηις: βλάψηις μου τὰ μέλη, ἀποχωλώςηις, οἷον ἐκλύςηις μου τὰ μέλη. YQXIG

Z 265/Z$^s$ ἀλκῆς τε λάθωμαι: ἀντὶ τοῦ ἐπιλαθέςθαι ποιήςηι τῆς ἰςχύος, τουτέςτι ςτερήςηι τῆς ἐν ἐμοὶ δυνάμεως, ἤτοι δὴ ὁ οἶνος ἢ ὁ Ζεύς. Z

1 ποιήςει Z || 2 ςτερήςει Z ||

Z 266/Z$^s$ ἀνίπτοιςι: μεμολυμμέναις, οὐ καθαραῖς. Z cf 268𝔇

Z 266/Z$^s$ λείβειν: ςπένδειν. Z ≃ Α 463𝔇

Z 266/Z$^s$ αἴθοπα: μέλανα, ἢ θερμαντικόν. Z = Α 462𝔇

Z 267/Z$^s$ ἅζομαι: νῦν φοβοῦμαι. Z ≃ Ε 830𝔇, cf Α 21𝔇 ςεβόμενοι ἢ ἐντρεπόμενοι.

Z 267/Z$^s$ οὐδέ πηι ἔςτι: οὐδαμῶς δὲ (~ Β 252𝔇) προςῆκόν ἐςτιν οὐδὲ ἐνδέχεται. Z

Z 268/Z$^s$ λύθρωι: τὸ μεθ' αἵματος καὶ κονιορτοῦ ἀναμεμιγμένον ἱδρῶτι. καὶ κατὰ τὸ ἔτυμον λύθρον {φονίωι αἵματι} λύθορος ὁ λύων τὸν θορόν, τουτέςτιν τὸ πήδημα (cf He λ 1363 ἀπὸ τοῦ λύειν .. τοῦ θορεῖν). Z

2 ἔτυμον de Marco : ἕτοιμον Z || φονίωι αἵματι delevi ||

↑ Z 268/Y$^s$ λύθρωι: τῶι μετὰ κονιορτοῦ αἵματι, ἢ ἱδρῶτι τινὶ μεθ' αἵματος (=T$^r$) καὶ κονιορτοῦ. YQXIG ~ Y 503𝔇

↑ Z 268/U$^m$ αἵματι καὶ λύθρωι⌋ λύθρος καὶ αἷμα καὶ κονιορτὸς καὶ ἱδρὼς ἀναμεμιγμένοι. ¦ ἵνα μὴ δοκῆι †διάνδρομον τῆς μητρὸς ἀφίςταςθαι (=I$^m$).

Z 268/Z$^s$ πεπαλαγμένον: ἀναδεδευμένον, Z | μεμολυςμένον. ZYQX

μεμολυμμένον Z ~ 266𝔇 ||

Z 268/Z$^s$ εὐχετάαςθαι: εὔχεςθαι. Z ≃ θ 467𝔇

Z 270/Z$^s$ ἔρχεο: ἀντὶ τοῦ ἄπιθι. Z = Α 32𝔇 ἴθι

↑ Z 270/Y$^s$ ἔρχεο: ἀπέρχου YQX = α 281𝔇

Z 270/Z$^s$ θυέεςςι: θυμιάμαςι λιβανωτοῖς. οἱ δὲ θυςίαις. Z ~ Ι 499𝔇

↑ Z 270/Y$^s$ ςὺν θυέεςςι: ςὺν θυμιάμαςι. Y

↑ Z 270/Q$^s$ ςὺν θυέεςςι: θυμιάμαςι, μετὰ θυςιῶν. QXG$^i$ ≃ Ι 499𝔇

Z 270/Z$^s$ ἀολλίςαςα: ἀθροίςαςα. ZYQX ≃ Ο 588𝔇

Z 270/Y$^s$ γεραιάς: τὰς ἐντίμους. YQX = Z 87𝔇

Z 271/Y$^s$ χαριέςτατος: εὐειδέςτατος. YQX cf Z 90𝔇 ἐπιχαριτώτατος πολυτελέςτατος.

Z 272/Z$^{s}$ πολὺ φίλτατοϲ: τιμιώτατοϲ. Z = κ 225𝔇 κεδνότατοϲ.

Z 272/Z$^{s}$ αὐτῆι: ϲοί. Z cf B 263𝔇 αὐτὸν δέ· "ἀντὶ τοῦ ϲὲ δέ".

Z 274/Z$^{s}$+Y$^{s}$ ὑποϲχέϲθαι: ἀντὶ τοῦ ¦ ὑπόϲχου (=T$^{r}$) ZYQX | καὶ ὁμολόγηϲον. YQX

ἀποϲχέϲθαι Y$^{\lambda}$ = ι 211 ||

Z 280/Z$^{s}$ Πάριν μετελεύϲομαι: πρὸϲ τὸν Ἀλέξανδρον πορεύϲομαι. ZYQX

πρὸϲ τὸν πάριν ἀπελεύϲομαι YQX ||

Z 281/Z$^{s}$ ὥϲ κε οἱ: εἴθε αὐτῶι. Z (~ Γ 173𝔇 ὡϲ ὄφελέν μοι)

Z 282/Z$^{s}$ χάνοι: διαϲταίη. Z

↑ Z 282/Y$^{s}$ γαῖα χάνοι: διαϲταίη ἡ γῆ, ¦ ὡϲ χάϲματοϲ γενομένου καταποθῆναι (~ U$^{m}$ ὥϲτε), καταπίοι ἡ γῆ. YQAIG*

Z 282/Y$^{s}$ τρέφε (= Ψ 142): ἔτρεφεν. YQX

τρέφε YQX$^{\lambda}$ : ἔτρεφε / ἔτραφε vv.ll. Hom. || ἀνέτρεφε L ≃ A 414𝔇 ||

Z 282/Z$^{s}$ πῆμα: κακόν, βλάβη. Z = Γ 160𝔇

Z 283/Y$^{s}$ τοῖο: τούτου. YQX = Δ 28𝔇

Z 284/Z$^{s}$ ἴδοιμι: θεαϲαίμην. Z ≃ Γ 453𝔇

Z 284/Y$^{s}$ Ἄϊδοϲ εἴϲω: ἔϲω τοῦ Ἅιδου. YQX

εἰϲ Ἅιδου QX = ζ 11𝔇 ||

Z 285/Z$^{s}$ φαίην κεν: ὑπολάβοιμι ἄν, ἢ εἴποιμι ἄν. Z ≃ Γ 220𝔇

Z 285/Z$^{s}$ φρέν' ἀτέρπου ὀϊζύοϲ ἐκ⟨λε⟩λαθέϲθαι: τὴν φρένα μου ἐπιλελῆϲθαι τῆϲ λυπηρᾶϲ ταλαιπωρίαϲ (= δ 812𝔇), τουτέϲτιν ἐκλάθοιμι ἂν τῶν κακῶν. Z ~ Ak ὅτι ...

Z 285/Z$^{s}$ ἀτέρπου: τῆϲ μὴ τερπούϲηϲ, ἀλλὰ λυπηρᾶϲ. Z

↑ Z 285/Q$^{s}$ ἀτέρπου: ἀηδοῦϲ, τέρψιν οὐκ ἐχούϲηϲ. Q

↑ Z 285/X$^{s}$ ἀτέρπου: χωρὶϲ τέρψεωϲ, ἀηδοῦϲ. X (~T 354𝔇)

↑ Z 285/Y$^{s}$+Q$^{s}$ ὀϊζύοϲ: μόχθου, κακοπαθείαϲ (~ δ 812𝔇). YQXG | εἰ θεαϲαίμην αὐτὸν νεκρόν, ὑπολάβοιμι ἂν {αὐτὸν ἐκεῖνον} ἔξω πάϲηϲ ταλαιπωρίαϲ εἶναι (~ Ak). καὶ γὰρ κατείληπται ὅτι μιϲεῖται. QXUIG

2 delevi sec. Ak "δόξαιμι ἂν ἐκλελῆϲθαι τῆϲ κακοπαθείαϲ" || .. ἐκεῖνον om U ||

↑ Z 285/Q$^{s}$ ὀϊζύοϲ ἐκλελαθέϲθαι: ἤτοι τὴν ἐμὴν φρένα τῆϲ ἀτέρπου ὀϊζύοϲ ἐπιλαθέϲθαι, ἀπὸ εὐθείαϲ τῆϲ ἡ ἄτερποϲ ὀϊζύϲ. ἢ εἴποιμι ἂν τὴν ἐμὴν φρένα ἄτερ ὀϊζύοϲ εἶναι καὶ ἐπιλελῆϲθαι πάϲηϲ ταλαιπωρίαϲ ἀτέρπου. QXG~U, cf Ak

ἐπιλαθέϲθαι QX$^{\lambda}$ ex interpretatione l. 2 ||

↑ Z 285/Q$^{s}$ ⟨ἀτέρ που:⟩ ἄτερ δή, χωρὶϲ δή. QX cf E 473/Q$^{s}$ που· δή et E 473𝔇 ἄτερ· χωρίϲ.

Z 286/Z$^{s}$ μολοῦϲα: ἀπελθοῦϲα. Z cf M 216𝔇 ἴομεν· "ἀπέλθωμεν".

↑ Z 286/Y$^{s}$ μολοῦϲα: ἐλθοῦϲα (~ Γ 44𝔇), πορευθεῖϲα. YQX

Z 286/Z$^{s}$ ποτὶ μέγαρα: εἰϲ ¦ τοὺϲ οἴκουϲ (= α 365𝔇). Z

Z 286/Y$^{s}$ ἀμφιπόλοιϲι: δούλαιϲ. YQX = Z 375/Y$^{s}$ δμωῆιϲι.

Z 287/Z$^{s}$ ἀόλλιϲϲαν: ϲυνήθροιϲαν. Z ≃ Z 270𝔇

Z 288/Z$^{s}$ κηώεντα: εὔπνουν, εὔοϲμον. ἢ μέγα κύτοϲ ἔχοντα (~ Θ 222𝔇 μεγακήτεϊ). Z

↑ Z 288/Y$^{s}$ ἐϲ θάλαμον κηώεντα: εἰϲ τὸν θάλαμον τὸν τεθυμιαμένον (=X). εἴρηται δὲ παρὰ τὸ κῆαι, ὅ ἐϲτι καῦϲαι τὰ θυμιάματα. YQIG cf Ω 191𝔇 τεθυμιαμένον, εὐώδη.

Z 289/Z$^{s}$ ἔνθ' ἔϲαν οἱ: ὅπου ἦϲαν αὐτῆϲ. Z = B 594𝔇 + A 266𝔇 + Γ 195𝔇

Z 289/Z$^{s}$ παμποίκιλοι: πολυτελεῖϲ. Z

Z 291/Z$^{s}$ Ϲιδονίηθεν: ἐκ Ϲιδῶνοϲ. Ϲιδὼν δὲ πόλιϲ Φοινίκηϲ (= Ψ 743𝔇, ~ A$^{ts}$ ὅτι ..). Z

↑ Z 291/Y$^{s}$ ἤγαγε Ϲιδονίηθεν: ἐκ τῆϲ Ϲιδῶνοϲ ἤγαγεν. YQXG

Z 291/Q$^{s}$ ἤγαγε Ϲιδονίηθεν ἐπιπλώϲ: κλέψαϲ γὰρ τὴν Ἑλένην ἀπὸ Λακεδαίμονοϲ οὐχ' ἣν ἦλθεν ὁδὸν οὐδὲ τὸν κατ' εὐθεῖαν πλοῦν ἐπορεύθη, ἵνα μὴ διωχθεὶϲ καταληφθῆι, ἀλλ' ἔπλευϲε διὰ τῆϲ Αἰγύπτου καὶ Φοινίκηϲ. παριὼν οὖν διὰ τῆϲ Ϲιδῶνοϲ, κἀκεῖθεν γυναῖκαϲ ἔξω τοῦ ἄϲτεοϲ εὑρὼν ἔλαβε τρόπωι ληιϲτρικῶι. QXUI$^{m}$ ~TG

Z 291/Z^s ἐπιπλώς: πλεύσας Ἰακῶς, ὡς 'ὑποφθὰς' ἀντὶ τοῦ φθάσας. Z cf Γ 47𝔇 ἐπιπλώσας· ἐπιπλεύσας. H 144/Ak ἀντὶ τοῦ ὑποφθάσας Ἀττικῶς.

Z 292/Z^s τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν: δι' ἧς ὁδοῦ ἀνήγαγεν. σημαίνει δὲ ⟨* * *⟩. σεσημείωται δὲ ὁ στίχος, ὅτι τὸν ἀπὸ τῶν νοτίων πλοῦν ὡς ἐπὶ τὰ βόρεια ἀναγωγὴν (Γ 48 ἀνῆγες, Lex 510) καὶ ἀνάβασιν (α 210 ἀναβήμεναι, ApS 33) καὶ ἀνάπλουν (Λ 22 ἀναπλεύσεσθαι) καλεῖ Ὅμηρος, καταγωγὴν (τ 186 κατήγαγεν) δὲ τὸν ἐναντίον πλοῦν ὡς ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια. Z, cf T^s

2 ⟨τὸν εἰς Ἴλιον πλοῦν⟩ suppl. Y || 4 ἀπὸ de Marco : ἐπὶ Z ||

↑ Z 292/Y^s ἀνήγαγε: τὸν εἰς τὴν Ἴλιον πλοῦν ἀνάπλουν καὶ ἀναγωγὴν εἴρηκεν ὁ ποιητής. YQXIGT^r ~ Ak ὅτι ..., cf Ξ 77^T+Q^s ἀνάπλους μὲν ἡ ἀναγωγή.

ἀνήγαγον QX^λ = O 29 ||

Z 292/Z^s εὐπατέρειαν: ἄριστον πατέρα ἔχουσαν. Z = λ 235𝔇

↑ Z 292/Y^s εὐπατέρειαν: ἔνδοξον κατὰ πατέρα. Διὸς γὰρ ἦν θυγάτηρ ἡ Ἑλένη. Y(ἦν om) QXG

Z 293/Z^s ἀειραμένη: ἄρασα (≃ Ξ 411𝔇). ZY¦QX(ἀείρασα)

Z 294/Z^s ποικίλμασι: βαφαῖς. Z cf Δ142𝔇

↑ Z 294/Y^s ποικίλμασι: τοῖς ἐνυφασμένοις ποικίλμασι. Y(ἐνυφαινομένοις) QX

Z 295/Z^s ἀστὴρ ⸤δ' ὥς⸥: {λείπει δὲ τὸ ὡς̄, ἵν' ἦι} ὡς ἀστήρ. Z

1 delevi, cf Δ 482𝔇 αἴγειρος ὥς· ὡς αἴγειρος, ἀναστροφή. cf Ξ 499𝔇 ὁ δ' ἔφη κώδειαν ἀνασχών· ἐλλείπει τὸ ὡς̄, ἵν' ἦι ὡς κώδειαν ἀνατείνας ||

Z 295/Z^s ἔκειτο δὲ νείατος ἄλλων: ἀπέκειτο δὲ ἔσχατος τῶν λοιπῶν πέπλων, ὥσπερ ἀπόθετος διὰ τὸ κάλλος, φυλαττόμενος ἐν ἐσχάτωι. Z

↑ Z 295/Y^s νείατος: ἔσχατος. YQX ≃ E 293𝔇 "ἔσχατον, κατώτατον"

Z 296/Z^s μετεσσεύοντο: μετὰ ταύτης ¦ ὥρμων (= B 808𝔇). ZYQX

μετ' αὐτὴν YQX ||

Z 297/Z^s ἵκανον: ἀφίκοντο. Z ≃ A 328𝔇

Z 298/Z^s ὤϊξεν: ἀνέωιξεν. ZYQX = Ω 446𝔇

Z 298/Z^s Θεανώ: Κισσέως μὲν θυγάτηρ, Ἀντήνορος δὲ γυνή, ἱέρεια τῆς ἐν Ἰλίωι Ἀθηνᾶς. Z

Z 299/Y^s+I^s Κισσηΐς: Κισσέως θυγάτηρ ἡ Θεανώ. YQXI | ταύτην γὰρ οἱ Τρῶες εἶχον ἱέρειαν. I

Z 300/Z^s ἔθηκαν: ἐποίησαν. Z ≃ A 2𝔇

↑ Z 300/U^s ⸤Τρῶες ἔθηκαν⸥ ἰστέον ὅτι οὔτε κληρωτοὺς οὔτε ἐκ γένους βούλεται εἶναι τοὺς ἱερεῖς οὔτε ἑνὸς ψήφωι, ἀλλ' ὃν ὁ ψῆφος ἕλοιτο καὶ τὸ πλῆθος. (U ψήφου) I ~ FTG

Z 301/Z^s ὀλολυγῆι: μετὰ ὀλολυγῆς· οἱ δὲ παλαιοὶ ἐπὶ ταῖς εὐχαῖς ὠλόλυσσον. Z cf E 893𝔇 σπουδῆι· μετὰ κακοπαθείας.

↑ Z 301/Y^s ὀλολυγῆι: μετὰ ὀλολυγμοῦ. φωνὴ δὲ αὕτη γυναικῶν εὐχομένων θεοῖς. YQXU^mG

↑ Z 301/Y^s ὀλολυγή: ἡ φωνὴ τῶν γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι. YU^m cf γ 450𝔇 "μετὰ βοῆς ηὔξαντο".

Z 305/Z^s πότνια: σεβασμία (= A 357𝔇), ἧι προσπίπτουσιν οἱ σεβόμενοι, ἢ εὔποτμος καὶ εὔμοιρος, ἢ εὐμοίρους καὶ εὐπότμους ποιοῦσα. Z cf A 357^T

Z 305/Z^s ἐρυσίπτολι: ῥύουσα καὶ φυλάσσουσα τὰς πόλεις. Z

↑ Z 305/Y^s ἐρυσίπτολι: φυλάσσουσα τὴν πόλιν. εἴρυσθαι γάρ ἐστιν τὸ φυλάττειν (~ A 216𝔇). YQXG^i

1 εἴρυσθαι YG : ἐρύειν QX || ἐστιν om QX ||

Z 306/Z^s ἆξον: καταγῆναι ποίησον. Z cf Γ 67𝔇 κάθισον· "καθεσθῆναι ποίησον".

Z 311/Z^s ἀνένευε δὲ: ἠρνεῖτο, οὐ συγκατετίθετο, ἀλλ' ἐναντιοῦτο τῆι γνώμηι αὐτῶν. Z

Z 313/$Z^s$ ἐβεβήκει: ἐπεπόρευτο. Z ≃ A 221𝔇

Z 314/$Z^s$ ἔτευξεν: καταcκευαcθῆναι ἐποίηcεν. Z cf Z 306𝔇

Z 315/$Z^s$ τέκτονεc: δημιουργοί, οἰκοδόμοι. Z

Z 316/$Z^s$ δῶμα: ὧδε ἡ οἰκία (≃ A 570𝔇), ἀπὸ τῆc δομήcεωc. Z

Z 317/$Z^s$ ἐγγύθι: πληcίον. Z ≃ μ 183𝔇

Z 319/$Z^s$ ἐνδεκάπηχυ: ἕνδεκα πηχῶν. Z

Z 319/$Z^s$ λάμπετο: ἔλαμπεν. Z

Z 320/$Z^s$ περὶ δὲ χρύcεοc θέε πόρκηc: περιέτρεχε δὲ καὶ ἐν κύκλωι περιέκειτο. Z Z 118𝔇

1 περιέτρεχε Z 118/Y : περιέθηκε Z ||

↑ Z 320/$Y^s$ περὶ δὲ χρύcεοc θέε πόρκηc: περιεῖχε ⌜φηcὶ QXG⌝ χρυcοῦc πόρκηc τὸ δόρυ (=G). ¦ πόρκηc δέ ἐcτιν ὁ χρυcοῦc δακτύλιοc τοῦ δόρατοc (~I) ὁ cυνέχων τὸν cίδηρον πρὸc τὸ ξύλον (~G). YQX

2 χρυcοῦc om QX ||

↑ Z 320/$Y^s$ θέε πόρκηc: κύκλωι περιέκειτο. $YQT^r$

Z 320/$Z^s$ πόρκηc: ὁ περικείμενοc τῶι δόρατι καὶ τῆι αἰχμῆι κρίκοc. Z

↑ Z 320/$Y^s$ πόρκηc: ὁ κρίκοc ὁ cυνέχων τὸν cίδηρον πρὸc τὸ ξύλον τοῦ δόρατοc. $YQXAU^mGT^r$

Z 321/$Z^s$ ⟨ἕποντα:⟩ ἀμφιέποντα, ἐνεργοῦντα. Z cf B 525𝔇 ἀμφιέποντεc· περὶ αὐτὸν ἐνεργοῦντεc.. $T^r$ διέποντα, ἐπιμελούμενον.

↑ Z 321/$Y^s$ τεύχε' ἕποντα: ἐπιμελούμενον τῶν ὅπλων. YQX

Z 322/$Z^s$ ἀμφαφόωντα (~ δ 277𝔇, ἀφόωντα Hom.): λαμπρύνοντα, καλλωπιζόμενον. Z

↑ Z 322/$Y^s$ ἀφόωντα: ψηλαφῶντα, οἱ δὲ φόωντα, λαμπρύνοντα. YQX~G

ἀμφαφόωντα $QX^λ$ et $Z^λ$ supra ||

Z 323/$Z^s$ μετ' ἄρα δμωιῆιcι: μετὰ τῶν ¦ θεραπαινίδων (≃ ζ 71𝔇). Z

Z 324/$Z^s$ περικλυτά: πολυτελῆ. Z

Z 324/$Z^s$ ἔργα: νῦν τὴν ταλαc⟨ι⟩ουργίαν. Z

Z 326/$Z^s$ οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῶι: οὐ καλῶc οὐδὲ δεόντωc τοῦτον τὸν χόλον ἔνθου τῆι ψυχῆι. ποῖον χόλον; πάντωc τὸν διὰ Ἑλένην. ἀποκεχώρηκε ἐκ τοῦ πολέμου ὀργιcθεὶc τιcι τῶν Τρώων, 'ἶcον γάρ cφιν πᾶcιν ἀπήχθετο κηρὶ μελαίνηι' (Γ 452). ἐμίcουν ἄρα αὐτὸν οἱ Τρῶεc καὶ παραδοῦναι ἤθελον. τοῦτο οὖν λέγει· οὐ κατὰ τρόπον τὴν πρὸc τοὺc Τρῶαc μῆνιν ἐθηcαυρίcω. Z

↑ Z 326/$Q^s$ οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῶι: ἤτοι οὐ καλῶc νῦν τὴν ὀργὴν κατὰ τῶν Τρώων ἔχειc, ὅτι πρὸc cὲ λυπούμενοι παραδοῦναι τῶι Μενελάωι ἐβούλοντο ἅπερ ἔλαβεc, οὐδὲ ἐν καιρῶι ταύτην ποιῆι. ἢ οὐ καλῶc νῦν ὀργίζηι, ἡγούμενοc τοὺc Τρῶαc ἀγανακτεῖν κατὰ cοῦ. $QXUI^m$~G cf T

Z 326/$Y^s$ καλά: καλῶc. YQX = Γ 388𝔇

Z 326/$Z^s$ χόλον τόνδε: ὀργὴν ( = A 81𝔇) τοιαύτην. Z

Z 326/$Z^s$ ἔνθεο: ἐνέθου, ἐγκατέθηκαc, ἔχειc. Z

Z 327/$Z^s$ φθινύθουcι: φθείρονται, ἐλαττοῦνται. Z ≃ α 259𝔇

Z 327/$Z^s$ αἰπύ: ὑψηλόν. Z = B 603𝔇

Z 328/$Z^s$ cέο δ' εἵνεκ': cοῦ ¦ χάριν (= B 161𝔇). Z

Z 328/$Z^s$ ἀϋτή: μάχη. Z = Π 44𝔇

Z 329/$Z^s$ ἄcτυ τόδ' ἀμφιδέδηε: περὶ τὴν πόλιν ἐκκέκαυcται καὶ διεγήγερται. Z (~ B 93𝔇). $T^r$ διακέκαυται.

Z 329/$Z^s$ μαχέcαιο: μαχεcθείηc. Z ≃ Ω 439𝔇

Z 330/$Z^s$ μεθιέντα: ἀμελοῦντα. ZYQX ≃ Δ 240𝔇 | θελοκακοῦντα, παριέντα. Z

Z 330/$Y^s$ cτυγεροῦ: φρικτοῦ. YQX ≃ I 454𝔇

Z 331/$Z^s$ ἀλλ' ἄνα: ἀλλὰ ἀνάcτηθι. ZYQX = I 247𝔇

Z 331/$Y^s$ δηΐοιο: νῦν καυστικοῦ. YQX = B 415𝔇, Π 127𝔇 "πολεμικοῦ".

Z 331/$Z^s$ θέρηται: θερμανθῆι. ὁ τρόπος συνεκδοχή, ἐπεὶ τοῖς πυρουμένοις καὶ τὸ θερμαίνεσθαι σύνεστιν. Z

↑ Z 331/$Y^s$ θέρηται: θερμαίνηται (~ τ 64𝔇)· νῦν δὲ καίηται. YQX~G

Z 333/$Z^s$ κατ' αἶσαν: κατὰ τρόπον. ἡ γὰρ αἶσα τρία σημαίνει· τὴν μερίδα 'λαχὼν ἀπὸ ληΐδος αἶσαν' (ε 40), τὴν Μοῖραν 'αἶσα γὰρ ἦν ἀπολέσθαι' (θ 511), τὸ καθῆκον 'πάντα κατ' αἶσαν ἔειπες' (P 716). Z ~ ApS 15,21

1 κατὰ τρόπον = A 286𝔇 κατὰ μοῖραν || 3 ἔειδες Z ||

Z 333/$Z^s$ ὑπὲρ αἶσαν: ὑπὲρ τὰ καθήκοντα. Z Π 780𝔇

Z 334/$Z^s$ σύνθεο: σύνθου (= A 76𝔇), κατάθου. Z

Z 335/$Z^s$ οὔ τοι ἐγὼ Τρώων τόσσον χόλωι: οὐ τοσοῦτον ἐγὼ χολούμενος πρὸς Τρῶας ἐκαθήμην ἐν τῶι οἴκωι, ἀλλὰ τῆι λύπηι ἐπιτρέψας θυμόν, εἰς λύπην τετραμμένος. Z

Z 335/$Z^s$ τόσσον χόλωι: διὰ τὴν πρὸς τοὺς Τρῶας ὀργήν, ἢ διὰ τὴν ἐκ τῶν Τρώων ὀργήν. Z

↑ Z 335/$Y^s$ χόλωι: ὀργῆι. YQX ≃ A 387𝔇

Z 335/$Z^s$ οὐδὲ νεμέσσι: οὐδὲ διὰ τὴν μέμψιν· ἢ μέμφονταί μοι, ἢ μεμφόμενος αὐτοῖς. Z

↑ Z 335/$Y^s$ νεμέσσει: μέμψει (~ Γ 156𝔇). μεμφόμενός τι, ἢ ἐγκαλῶν. YQX~G*

Z 336/$Z^s$ ἔθελον δ' ἄχεϊ προτραπέσθαι: ἤθελον τῆι λύπηι εἶξαι, ἣν ἔσχον ἐλαττωθείς, καὶ δυσημερήσας ἀποτραπῆναι μικρὸν τῆς μάχης. κεῖται δὲ ἡ προ πρόθεσις ἀντὶ τῆς ἀπο. $A^{ts}$ οἱονεὶ εἶξαι τῆι συμφορᾶι καὶ σχολάσαι τῆι μάχηι ~T.

↑ Z 336/$Y^s$ ἄχεϊ: ἀνίαι, λύπηι (~ A 188𝔇), συμφορᾶι. YQX

H 408/Y$^{s}$ ἀμφὶ δὲ νεκροῖςιν: περὶ δὲ τῶν νεκρῶν. Y(QX νεκροῖςιν$^{\lambda}$ om)

H 408/Y$^{s}$+Q$^{s}$ κατακηέμεν: ἀντὶ τοῦ κατακαῦςαι, YQXG | ὅ ἐςτι κατακαίειν. QXG

κατακαιέμεν / κατακειέμεν / κατακηέμεν vv.ll. Hom. || κατακαῦςαι Y : κατακηέμεναιQ, κατακαήμεναι X ||

H 408/Y$^{s}$ μεγαίρω: φθονῶ. YQX = Δ 54𝔇

H 409/Y$^{s}$ φειδώ: φροντὶς ὥςτε μὴ ἀναλωθῆναι. βέλτιον δὲ ἀκούειν 'φειδὼ' τὸ περὶ τῆς ταφῆς φείςαςθαι. YI$^{i}$(QXG φειδὼ$^{2}$ om) (He φ 272 φειδώ· τὸ φείδεςθαι)

H 410/Y$^{s}$ πυρὸς μειλισσέμεν: διὰ πυρὸς μειλίσσεσθαι. λέγει δὲ κηδεύειν καὶ ταφῆς μεταδιδόναι (=X), ἢ διὰ πυρὸς θάπτεσθαι. YQG ≈ Ak. A$^{ti}$ τιμᾶν, κηδεύειν.

μελησέμεν QX$^{\lambda}$ || 1 μειλίσεσθαι Y : μελήσεσθαι QX || δὲ om Y ||

H 411/Y$^{s}$ ἐρίγδουπος: μεγάλους ψόφους ποιῶν (=X) διὰ τῶν βροντῶν· μεγαλόηχος διὰ τὰς βροντάς. πλεονάζει δὲ τὸ γ̄ στοιχεῖον. YQG (~ He ε 5809, γ 399𝔇)

2 γ̄ G (cf Θ 488$^{t}$ τρίλλιστος· πλεονάζει τὸ λ̄) : τρίτον YQL, τέταρτον Barnes ||

H 412/Y$^{s}$ ἀνέσχεθε: ἀνέσχεν, | ἀνέτεινεν (= E 694𝔇). YQ(X ἀνέσχεθον)

H 414/Y$^{s}$ εἵατο (ἕατο Hom.): ἐκάθητο(!) YQX

ἕατο· ἐκάθηντο L = Γ 149𝔇 εἵατο ||

H 414/Y$^{s}$ Δαρδανίωνες: οἱ ἀπὸ Δαρδάνου πόλεως Τρωϊκῆς. YQX

H 417/Y$^{s}$ ὡπλίζοντο: παρεσκευάζοντο. YQX ≃ Λ 86𝔇, ρ 288𝔇

H 418/Y$^{s}$ μεθ' ὕλην: ἐπὶ ξύλα. ὕλη δὲ ἡ σώρευσις τῶν ξύλων. YQXI$^{m}$G

H 422/Y$^{s}$ ἀκαλαρρείταο: ἡσύχως καὶ πράως ῥέοντος (=I$^{m}$, ~T). ἀκαλὸν γὰρ τὸ ἥσυχον λέγουσι. YQXAG ~ ApS 20,18

H 422/Y$^{s}$ βαθυρρόου: ἐπὶ βάθους τὸν ῥοῦν ἔχοντος. Y(QX βάθος)

H 423/Y$^{s}$ ἤντεον: ἀπήντων, συνήντων. (Y ἤντεον πυρ) QX

H 424/Y$^{s}$ χαλεπῶς: δυσκόλως. YQX

H 425/Y$^{s}$ νίζοντες: νίπτοντες. YQX

H 425/Y$^{s}$ βρότον: τὸ μετὰ ἱδρῶτος καὶ κόνεως αἷμα. ὀξυτόνως δὲ τὸν ἄνθρωπον. YQXG ~ B 248𝔇

H 426/Y$^{s}$ ἁμαξάων ἐπάειραν: ταῖς ἁμάξαις ἐπετίθεσαν. YQX

H 426/Q$^{s}$ ἐπάειραν: ἐπετίθεσαν. QX

H 428/Y$^{s}$ πυρκαϊῆς: πυρᾶς. Y(Q πυρρᾶς) X = Ψ 158𝔇

H 428/Y$^{s}$ ἐπενήνεον: ἐπεσώρευον. (Y ἐσώρευον) QX = H 431$^{t}$, ApS 71,10

H 429/Y$^{s}$ ἐν δὲ πυρὶ πρήσαντες: ἐμπρήσαντες δὲ τῶι πυρί, τουτέστι καύσαντες. YQX

H 433/Y$^{s}$ ἀμφιλύκη νύξ: τὸ καλούμενον λυκόφως, τὸ πρὸς ὄρθρον, τουτέστιν ¦ ὁ βαθὺς ὄρθρος (=A$^{ti}$). παρὰ τὴν λύγην, ὅ ἐστι σκοτίαν (~G)· οἱονεὶ λυγόφως τι ὂν τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες. YQXAUI$^{m}$~T

2 παρὰ τὴν λυγὴν A : πρὸς τὴν ἠλύγην QXU || γυλόφως X ||

H 434/Y$^{s}$ τῆμος: τηνικαῦτα, τότε. YQX

H 434/Y$^{s}$ κριτός: ἔκκριτος, ἐξειλεγμένος εἰς τὸ ἔργον. YQX. A$^{ti}$ ἄριστος ἐπιλεγόμενος.

H 435/Y$^{s}$ ἐξαγαγόντες: ἔξω προελθόντες. YQX

H 437/A$^{i}$+I$^{i}$ ⌊εἶλαρ⌋ φυλακή (= H 338𝔇), ὀχύρωμα. A$^{i}$ | χαράκωμα. I$^{i}$

H 441/Y$^{s}$ σκόλοπας: ὀξέα ξύλα (~ Θ 343𝔇), ἅπερ ἐπήγνυντο περὶ τὸ τεῖχος. YQXG

ἐπήγνυον τῶι τείχει QX ||

H 444/Y$^{s}$ θηεῦντο: ἐθεῶντο, ¦ ἐθαύμαζον (=A$^{ti}$). (Y θειεῦντο$^{\lambda}$)QX

H 447/Y$^{s}$ ἐνίψει: κυρίως μὲν ἐπιπλήξει διὰ λόγων, νῦν δὲ ἀντὶ τοῦ ἐρεῖ, λέξει. (Y ἐρρεῖ) QXT$^{r}$(T)G cf Γ 438𝔇 "ἐπίπλησσε, ὀνείδιζε".

H 450/Y$^{s}$ ἤλασαν: ἔσκαψαν, ὤρυξαν. YQX

H 451/U$^{s}$ ⌊κλέος ἔσται⌋ οὐ γὰρ λέγει τοῦτο διότι ἔμελλε συνίστασθαι τὸ τεῖχος, ἀλλὰ διὰ τὴν ποίησιν τοῦ Ὁμήρου ὡς μελλουσαν ἀναγινώσκεσθαι μέχρι τέλους.

H 453/Y$^{s}$ πολίσσαμεν: τὴν πόλιν ἐτειχίσαμεν. YG$^{i}$(QX πολίσαμεν$^{\lambda}$). T$^{s}$ περὶ πόλιν ᾠκοδομήσαμεν.

H 453/Y$^{s}$ ἀθλήσαντε: κακοπαθήσαντες δυϊκῶς (=G$^{i}$), κοπιάσαντες. YQ

κοπιάσαντες δυϊκῶς Q ||

H 455/Y$^{s}$ ἐννοσίγαιε: σείων καὶ κινῶν τὴν γῆν. YQX

H 455/Y$^{s}$ εὐρυcθενέc: μεγαλοδύναμε. YQX

μεγαλοcθενέc QX = Hom. Epigr. 6, He ε 7154 ||

H 456/Y$^{s}$ δείcειε: φοβηθείη. YQX

H 459/Y$^{s}$ ἄγρει: ἄγε δή. YQ

H 463/Y$^{s}$ ἀμαλδύνηται: ἀφανίζηται. YQXT$^{r}$

H 466/Y$^{s}$ βουφόνεον: βοῦc ἔθυον. YQX

H 467/Y$^{s}$ νῆεc δ' ἐκ Λήμνοιο παρέcταcαν: Λήμνιοι, τὰc ἐξ ἔθουc τῆι 'Αφροδίτηι θυcίαc μὴ ἀποδιδόντεc, καθ' αὐτῶν θάνατον ἐνομοθέτηcαν. τὴν γὰρ θεὸν ὀργιcθεῖcαν λέγεται τοῖc μὲν ἀνδράcιν ἵμερόν τινα τῶν Θραικίων ἐμβαλεῖν γυναικῶν, τῶν δὲ ἰδίων ἀμελῆcαι, καὶ καθέζεcθαι ἐφ' ἡcυχίαc. διέβαινον οὖν εἰc τὴν Θράικην, περιέποντεc καὶ †cϊμώμενοι τὰ ἐνταῦθα, YQXAUIG | ταῖc δὲ γυναιξὶ τῶν Λημνίων ἔκτοπον λύccαν ἐμπεcεῖν, ὥcτε ψηφίcαcθαι πάcαc ἀνδροκτονεῖν καὶ μὴ τῆc ἐπιβουλῆc ταύτηc ἀποτυχεῖν. γενομένου δὲ τούτου τοῦ ἀτυχήματοc περὶ τοὺc ἄνδραc, λέγεται τὸν 'Ιάcονα μετὰ τῆc 'Αργοῦc ἐξοκείλαντα τῆι κρατίcτηι παcῶν 'Υψιπύληι μιγῆναι. ἐξ ἧc φαcὶν γενέcθαι τὸν Εὔνηον. ἡ ἱcτορία παρὰ 'Αcκληπιάδηι ἐν Τραγωιδουμένοιc (FGrHist 12F14). YQAUIG

1s θυcίαc τῆι ἀφροδίτηι QXU || 2 ἑαυτῶν QXU || 3 τοῖc {μὲν} QX || 5 cϊμώμενοι τὰ Y : cημειούμενοι τὰc QXU(G τὰ), cημώμενοι τὰ A, cημάμενοι τά I, cεβόμενοι τὰ Dindorf, cυμμιγνύμενοι ταῖc L || 6 ἀνδροκτείνειν A, ἀνδροκτανεῖν U || 7 ἐπιτυχεῖν Q || 8 ἐξοκείλανταc Q, ἐχωκείλαντα A || 9 ἡ ⟨δὲ⟩ ἱcτορία AU || ἱcτορεῖ 'Αcκληπιάδηc Y ||

H 471/Y$^{s}$ χίλια μέτρα: ἤτοι οἴνου χίλια κεράμια, ἢ χιλίουc χοέαc. YQXG

H 472/Y$^{s}$ οἰνίζοντο: οἶνον ὠνοῦντο. YQX

H 474/U$^{s}$ ⌞ῥινοῖc. ἄλλοι δ' αὐτῆιcι βόεccιν⌟ οὐ νομίcματι, ῥινοῖc δὲ αὐταῖc ταῖc βύρcαιc καὶ ταῖc βουcὶ ζώcαιc καὶ τοῖc αἰχμαλώτοιc. U~ Ak

H 474/Y$^{s}$ αὐτῆιcι βόεccι: αὐταῖc ταῖc βουcίν (= Ak). ὁπόταν δὲ περὶ πλήθουc θρεμμάτων διαλέγωνται οἱ ποιηταί, κατὰ τὸ θηλυκὸν προφέρονται (= U). YQXAG

1 ⟨ἱcτέον δὲ ὅτι⟩ ὁπόταν {δὲ} περὶ A ||

H 475/Y$^{s}$ ἀνδραπόδεccι: δούλοιc. YQX

H 475/Y$^{s}$ τίθεντο: παρεcκευάζοντο. YQX

H 475/Y$^{s}$ θάλειαν: θάλλουcαν τοῖc ἀγαθοῖc. YQX

H 479/Y$^{s}$ κτυπέων: βροντῶν. YQX

H 479/Y$^{s}$ χλωρόν: ἀντὶ τοῦ χλωροποιόν (= P 67𝔇). cημαίνει δὲ καὶ τὸ νέον. Y(QXG τὸν)

H 479/Y$^{s}$ ἥιρει: κατελάμβανεν. YQX = Δ 23𝔇

H 481/Y$^{s}$ λεῖψεν (λεῖψαι Hom. = L): ἔcπειcεν. YQX ≃ ο 149𝔓

H 482/Y$^{s}$ ὕπνου δῶρον: περιφραcτικῶc τὸν ὕπνον. YQXG = I 713𝔇

ΥΠΟΘΕCΙC ΤΗC Θ.

Θ 0/$Z^s$ Ζεὺc ἀπαγορεύcαc τοῖc θεοῖc μὴ δ' ἑτέρωι βοηθεῖν τῶν cτρατῶν ἐπὶ τὴν Ἴδην κατέρχεται. καὶ πρότερον ἶcον μαχομένουc τοὺc Ἕλληναc ἐλάττοναc τῶν Τρώων καθίcτηcιν· Ἥραν τε καὶ Ἀθηνᾶν ἐπὶ βοήθειαν τοῖc Ἕλληcιν ἐξιούcαc ἐπέcχεν Ἶριc Διὸc κελεύcαντοc. ἑcπέραc δὲ γενομένηc Ἕκτωρ ἐδημηγόρηcεν ἐν τῶι πεδίωι ὥcτε cτρατοπεδεύεcθαι καὶ πῦρ δι' ὅληc νυκτὸc καίειν. ZYQXUI

Θ 0/$Z^s$ Ζεὺc καλέcαc εἰc ἐκκληcίαν τοὺc θεοὺc ἀπαγορεύει μετὰ ἀπειλῆc μηδετέροιc τῶν μαχομένων βοηθεῖν. Ἀθηνᾶ δὲ αἰτεῖται παρ' αὐτοῦ, εἰ καὶ μὴ φανερῶc cυγχωροίη τὴν τοῖc Ἕλληcι βοήθειαν, γνώμην τινὰ αὐτοῖc ὑποθέcθαι, ὡc μὴ παντάπαcιν ἀπολέcθαι. cυμπεcόντων δὲ εἰc τὴν μάχην τῶν cτρατευμάτων, τὰ μὲν πρῶτα ἰcοπαλὴc πόλεμοc γίνεται, μετὰ δὲ τοῦτο οἱ Τρῶεc ἐν βελτίονι γίγνονται ῥοπῆι κατὰ τὴν Διὸc γνώμην, κεραυνοῦ πρὸ τῶν ἵππων τῶν Διομήδουc ἐνεχθέντοc, καὶ τῶν ἀριcτέων φοβηθέντων καὶ εἰc φυγὴν τραπέντων. καὶ Ποcειδῶν μὲν προτρεπούcηc αὐτὸν Ἥραc βοηθεῖν τοῖc Ἕλληcιν ἀρνεῖται· ἀναθαρρηcάντων δὲ τῶν Ἑλλήνων, Τεύκρου πολλοὺc τοξεύcαντοc, Ζεὺc πάλιν τὴν νίκην ἐπὶ τοὺc Τρῶαc μεταφέρει· Ἀθηνᾶ δὲ καὶ Ἥρα ὀλίγον τῶν Διὸc ἀπειλῶν φροντίcαcαι κατίαcιν εἰc τὸν πόλεμον, βοηθήcουcαι τοῖc Ἕλληcιν. ἀλλὰ Διὸc ἐπ' αὐτὰc Ἶριν πέμψαντοc μετὰ ἀπειλῆc ὑποcτρέφουcιν. καὶ τότε Ἕκτωρ πληcίον τῶν νεῶν ἐπαγαγὼν τοὺc Τρῶαc καὶ παρρηcιαcάμενοc ἐπὶ τῆι νίκηι κελεύει αὐτοὺc πῦρ καίειν πρὸ τῶν νηῶν καὶ φυλάccειν, ὡc ἂν μὴ λάθοιεν Ἕλληνεc διὰ τὸ ἡττῆcθαι φεύγοντεc εἰc τὰc πατρίδαc. ZYQXU (aliter 𝔓Mich. 920a,b + 921)

3 cυγχωροίη YU : cυγχωροίημι Z, cυγχωρεῖν αὐτῆι QX || γνώμην ZYU : καὶ γνώμην QX, κἂν γνώμην L, ἐὰν γνώμην Schimberg || 4 ἀπόλλωνται L || 6 τοῦ διομήδουc YQXU || 11 βοηθοῦcαι $YU^1$, βοηθῆcαι QX || ἀπ' Z || 14 φεύγοντεc διὰ τὸ ἡττῆcθαι YQXU ||

Θ 1/$Z^s$ ἠώc: ἡ ἡμέρα. cημαίνει δὲ πολλά· ὁτὲ μὲν τὸ κατάcτημα τῆc ἡμέραc, ὡc ἔχει ἐνταῦθα, ὁτὲ δὲ "ἡ cωματικὴ θεόc", ὡc ἔχει ἐπὶ τοῦ 'Ἠὼc δ' ἐκ λεχέων ⌊παρ' ἀγαυοῦ Τιθωνοῖο'⌋ (Λ 1), ὁτὲ δὲ τὸ ἀπὸ ἀνατολῆc ἕωc μεcημβρίαc τοῦ ἡλίου διάcτημα, ὡc ἐν τῶι 'ὄφρα μὲν ἠὼc ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ' (Θ 66), ὁτὲ δὲ τὸ νυκτὸc καὶ ἡμέραc διάcτημα, ὡc ἐν τῶι 'ἠὼc δέ μοι ἐcτὶν ἥδε δυωδεκάτη, ὅτ' ἐc Ἴλιον εἰλήλουθα' (Φ 81). ZYQXAUIG cf Θ $66^{T}$** saepius, ApS(85,21), Apio

1 δὲ πολλά : τέccαρα U || 4 ὄφρα ... ἦν : ὄφρα μὲν τὸ ὥc ῥα μὲν ἠὼc ἦν Z || 5 ἐc : εἰc Z ||

Θ 1/$Z^s$ κροκόπεπλοc: κροκωτὸν ἱμάτιον ἔχουcα, κροκοείμων καὶ διαυγήc. ἀπὸ τῆc κατὰ τὴν ἀνατολὴν χροιᾶc τοῦ ἡλίου γιγνομένηc ἐρυθρᾶc. τοῦτο δὲ εἶπεν ὡc ἐπὶ cωματοειδοῦc θεᾶc ποιούμενοc τὸν λόγον. ZYQXUIG

2 χρώαc Z || 3 ποιούμενοc YQXU : πεποίηται Z ||

Θ 1/$Z^s$ ἐκίδνατο: ἐcκεδάννυτο, ἐcκορπίζετο. ZYQX

Θ 1/$Z^s$ πᾶcαν ἐπ' αἶαν: ἐπὶ πᾶcαν τὴν γῆν. ZYQX

Θ 2/$Z^s$ τερπικέραυνοc: ὁ τερπόμενοc τοῖc κεραυνοῖc, ἢ ¦ ὁ τρέπων τοὺc ἐναντίουc κεραυνοῖc (= $T^i$), τουτέcτιν καταγωνιζόμενοc. ZYQXIG*~$I^i$

1 τρέπων YQX : τέρπων Z || τοῖc κεραυνοῖc τοὺc ἐναντίουc YQX ||

Θ 3/$Z^s$ ἀκροτάτηι κορυφῆι: τῆι ἀκρωρείαι. 'πολυδειράδοc' δὲ πολλὰc ἀνατάcειc ἔχοντοc, καὶ ἐξοχάc. ZYQX

1 lemma 'πολυδειράδοc' pro δὲ YQX ||

Θ 4/$Z^s$ αὐτὸc δέ cφιν: αὐτὸc δὲ αὐτοῖc. ZYQX

⟨ἐν⟩ αὐτοῖc Y = Α 73𝔇 ||

Θ 8/$Z^s$ διακέρcαι: διακόψαι (= $A^{ts}T^s$, ApS 58,16), ἀνατρέψαι. ZYQX

Θ 9/$Z^s$ αἰνεῖτε: cυγκατατίθεcθε. ZYQX ~ ApS 14,20

Θ 9/$Z^s$ τελευτήcω: εἰc τέλοc ἄξω, πληρώcω. ZYQX

Θ 12/$Z^s$ οὐ κατὰ κόcμον: οὐ κατὰ τρόπον, οὐκ ἐν τάξει. ZYQX

τρόπον Z : τὸ πρέπον YQ, τὸ προcῆκον X, variae lectiones ut Α 286𝔇 ||

Θ 13/$Z^s$ ἤ μιν: ἢ αὐτόν. ZYQ

Θ 13/Z^s ἑλών: λαβών. ZYQX

Θ 13/Z^s Τάρταρον: τὸ ὑπὸ τὴν γῆν ἐcκοτιcμένον μέροc κατώτατον τοῦ Ἅιδου (=X), καὶ ἐν βαθυτάτωι κείμενοc τόποc, ἢ τὸν χαλεπὸν καὶ δυcχερῆ λέγει. ὠνόμαcται δὲ ¦ διὰ τὸ τεταράχθαι καὶ cυγκεχύcθαι τὰ ἐν αὐτῶι πάντα (=G) . οἱ δὲ τὸ ἀφώτιcτον τῆc οἰκουμένηc μέροc ἀπεδέξαντο. ZYQAUIG

τάρθαρον Z^λ || 2 κείμενον τόπωι YQAU || 3 τεταράχθαι U : τετάρακται T, ἐκτετάχθαι ZYQA, Barnes ||

Θ 13/Z^s+Q^s ἠερόεντα: τὸν ὁμιχλώδη ZYQX | καὶ cκοτεινόν (= O 191𝔇). QX

Θ 14/Z^s τῆλε: πόρρω. ZYQX

Θ 14/Z^s βάθιcτον: βαθύτατον. ZYQX

Θ 14/Z^s βέρεθρον: βάθοc. ZYQX

Θ 15/Z^s cιδήρειαι: cιδηραῖ. (Z cιδηρά) YQX

Θ 15/Z^s χάλκεοc οὐδόc: χαλκῆ εἴcοδοc, ἡ cκληρὰ καὶ ἰcχυρά. ZYQXG

ἢ ἡ QX, ἢ Y ||

Θ 16/Z^s τόccον ἔνερθ' Ἀΐδαο καὶ τὰ ἑξῆc (ἀΐδαο = Ψ 76, ἀΐδεω Hom.): κατωτάτω τοῦ Ἅιδου. τοcοῦτόν φηcιν τὸν Τάρταρον ἀφεcτάναι τοῦ Ἅιδου, ὅcον οὐρανὸc τῆc γῆc ZYQXU^m. | διὰ δὲ τούτου cφαιροειδῆ τὸν κόcμον cυνίcτηcιν, κέντρου λόγον ἐπέχουcαν εἰcάγων τὴν γῆν, καὶ τὰc ἀπ' αὐτῆc ἐκβαλλομέναc εὐθείαc εἰc ἑκάτερα τὰ πέρατα ἴcαc λέγων εἶναι. ZYQAUIG

1 καὶ τὰ ἑξῆc om YQX || 2-3 ἀπὸ τῆc γῆc QXU^m || 4 ἐμβαλλομέναc ZYQ ||

↑ Θ 16/Q^s τόccον ἔνερθ' Ἀΐδεω: ὡc τὰ οὐράνια τρία διαcτήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων· οὕτω καὶ ἀπὸ γῆc εἰc Ἅιδου, ⟨ἀπὸ Ἅιδου⟩ εἰc Τάρταρον. δῆλον δὲ ὡc οὐ cφαιροειδὴc ἡ γῆ. QUG~T^s

1 ⟨cημείωcαι⟩ ὡc U || 2 μέχρι cτερεώματοc τοῦ φαινομένου U || ⟨ἀπὸ Ἅιδου⟩ U ~T ||

Θ 17/Z^s κάρτιcτοc: γενναιότατοc, ἰcχυρόc. Z(Y ἰcχυρότατοc) QX

Θ 18/Z^s πειρήcαcθε: πεῖραν λάβετε. ZYQXA

Θ 18/Z^s ⟨ἵνα εἴδετε:⟩ ἵνα ἴδητε (~ Σ 53𝔇), ὅπωc (= A 363𝔇) ἂν γνῶτε. Z (ἴδηται)

Θ 19/Z^s cειρὴν χρυcείην: ἅλυcιν. "χρυcῆν" δὲ προcέθηκεν βουλόμενοc τὸ πρᾶγμα ποιητικὸν δεῖξαι. καὶ οἱ μὲν κυρίωc οὕτωc. οἱ δὲ ἀλληγορικῶc τὸν ἥλιον. ZYQXAUG

2 ποιητικῶc QXU ||

Θ 19/Z^s cειρὴν ἐξ οὐρανόθεν κρεμάcαντεc καὶ τὰ ἑξῆc: κατὰ τὸν μῦθον ὁ Ζεὺc ἑαυτὸν τάccει ἐπὶ τοῦ οὐρανοῦ, ὃ κλήρωι λαχὼν cτοιχεῖον εἶχεν, τοὺc δὲ λοιποὺc θεοὺc ἐπὶ τῆc γῆc, ὡc αὐτῆc κοινῆc ὑπαρχούcηc. ὥcτε ἢ αὐτὸν καθελκυcθῆναι ὑπ' αὐτῶν ⟨ἢ αὐτοὺc ἀνελκύcαι⟩. ZYQXAUIG

2 ὃ : ὧ U, ὃν L || 3 ἢ om YQXU || 4 αὐτῶν YQXU : αὐτοῦ ZAIG || supplevi sec. de Marco ||

Θ 19/Z^s ἐξ οὐρανόθεν: περιccὸν τὸ ἐξ. ZYQXG^i ~ Ak ὅτι ...

Θ 20/Z^s ἐξάπτεcθε: ἐξαρτᾶcθε καὶ ἐπιλαμβάνεcθε Z(Y καὶ om) QX | ἀλλήλων. ZY

Θ 21/Z^s οὐκ ἂν ἐρύcαιτε: οὐκ ἂν ἑλκύcητε. ZYQ(U)

ἐρύcεται Z^λ : ἐρύcητε Q^λ, εὐρύcαιτε Y^λ ||

Θ 22/Z^s ὕπατον: μέγιcτον βαcιλέα. ZYQX

Θ 22/Z^s μήcτωρα: ἱκανὸν ἐργάcαcθαι, μέγιcτον. ZYQX

μέγιcτον : βουλευτικόν L ||

Θ 22/A^{ti} ⌊μήcτωρα⌋ ἐργάτηc, τῶν κατὰ τὴν μάχην ἔργων ἔμπειροc. cf Z 97𝔇

Θ 23/Z^s πρόφρων: μετὰ προθυμίαc. ZYQXT^r

Θ 24/Z^s αὐτῆι κεν γαίηι: cὺν αὐτῆι τῆι γῆι, cὺν τοῖc ἀνθρώποιc. ZYQX

Θ 24/Z^s ἐρύcαιμι: ἑλκύcαιμι. ZYQ

Θ 25/Z^s cειρὴν μέν κεν ἔπειτα: ἐνταῦθα οἱ μὲν φαcὶν τὸν Ὅμηρον αἰνίττεcθαι μοναρχίαν, καὶ δηλοῦν ὡc ἑνὸc ἐξῆπται τὰ πάντα. οἱ δὲ ζητοῦcιν, πῶc πάντων περιγίγνεται ὁ Ζεὺc ὁ ὑπὸ τριῶν μόνων δεθείc, καθά φηcιν ἐν τῆι Ἄλφα (A 399s). ῥητέον οὖν, ὅτι ἐκεῖ μὲν ἐξ ἐπιβουλῆc ἡ ἰcχύc, ἐνταῦθα δὲ ἐκ τοῦ φανεροῦ τὸ κρατεῖν. ZYQXAUIG

Θ 25/Z^s^ περὶ ῥίον: περὶ τὸ ἄκρον. ἢ 'ῥίον' ἀπὸ τοῦ περιρρεῖcθαι τοῖc ὄμβροιc. ZYQXUG. A^ti^ τὸ ἀκρωτήριον τοῦ ὄρουc = Ξ 225𝔇.

ῥίον2 YQXU : πρίον Z || τοὺc ὄμβρουc U ||

Θ 26/Z^s^ δηcαίμην: δήcαιμι. ZYQX

Θ 26/Z^s^ μετήορα: μετέωρα, ἐφ' ὕψουc. ZYQA^ti^

Θ 27/Z^s^ περί τ' εἰμί: διαφέρω τῆι δυνάμει. ZYQXA^ti^

Θ 29/Z^s^ ἀγαccάμενοι: θαυμάcαντεc. ZQX

Θ 29/Z^s^ κρατερῶc: ἀποτόμωc, ἰcχυρῶc. ZQX

Θ 31/Z^s^ ὦ πάτερ ἡμέτερε: αἱ τοιαῦται προcφωνήcειc cημαίνουcιν τὴν 'Αθηνᾶν ἐκ μόνου Διὸc γεγεννῆcθαι. καὶ γὰρ οὔτε Ὅμηροc οὔτε Ἡcίοδοc μητέρα αὐτῆc παραδίδωcιν. (ZA γεγενῆcθαι) YQXUI

Θ 31/Z^s^ ὕπατε κρειόντων: βαcιλεῦ βαcιλευόντων. ZYQX

βαcιλευόντων Z ≃ A 102𝔇 : βαcιλέων YQX ||

Θ 32/Z^s^ εὖ νυ καὶ ἡμεῖc: caφῶc δὴ καὶ ἡμεῖc. ZYA^ti^(QX ἤδη)

Θ 32/Z^s^ ἴδμεν: οἴδαμεν. ZY

Θ 32/Z^s^ ὅ τοι: ὅτι coι. ZYQ

Θ 32/Q^s^ cθένοc: δύναμιc. Q ≃ B 451𝔇

Θ 32/Z^s^ οὐκ ἐπιεικτόν: οὐκ εὐcυγχώρητον, ἀνύπεικτον. ZYQX

Θ 33/Z^s^ ὀλοφυρόμεθα: λυπούμεθα, θρηνοῦμεν. ZYQX

Θ 34/Z^s^ οἶτον: μόρον, θάνατον. ZYQXA^ti^

Θ 34/Z^s^+Q^s^ ἀναπλήcαντεc: ἐκπλήcαντεc, πληρώcαντεc. ZY | ἀναπληρώcαντεc. QX

Θ 35/Z^s^ ἀφεξόμεθα: παυcόμεθα. ZYQX

ἀφεξώμεθα· παυcώμεθα Z ||

Θ 36/Z^s^ ὑποθηcόμεθα: ὑποδείξωμεν, cυμβουλεύcωμεν. ZYQX

ὑποδείξομεν, cυμβουλεύcομεν Y ||

Θ 36/Z^s^ ὀνήcει: ὠφελήcει. ZYQX

Θ 37/Z^s^ ὀδυccαμένοιο τεοῖο: ὀργιcθέντοc coῦ. ZYQX

ὀργιcθέντόc cou Z ||

Θ 39/Z^s^ Τριτογένεια: Ὅμηροc μὲν τὴν τὸ τρεῖν καὶ εὐλαβεῖcθαι γεννῶcαν τοῖc ἀνθρώποιc· πολεμικὴ γὰρ ἡ θεόc. οἱ δὲ νεώτεροι φαcὶν τὴν παρὰ τῶι Τρίτωνι ποταμῶι γεννηθεῖcαν, ὅc ἐcτιν τῆc Λιβύηc. ZYQXAUI

Θ 39/A^td^ ⌞θυμῶι⌟ ὀργῆι. ≃ B 196𝔇

Θ 40/Z^s^ πρόφρονι: τῶι ἐκ φρονήcεωc καὶ διαθέcεωc. ZYQXA^ti^G^i^

τῶι ἐκ προθυμίαc καὶ φρονήcεωc X, ≃ Θ 23𝔇 "μετὰ προθυμίαc" ||

Θ 40/Z^s^ μυθέομαι: λέγω. ZYQX

Θ 40/Z^s^ ἤπιοc: πρᾶοc, προcηνήc. ZYQX

Θ 41/Z^s^ τιτύcκετο: ὑπεζεύγνυεν τῶι ἅρματι, ἡτοίμαζεν. ZYQXA^ti^

Θ 41/Z^s^ χαλκόποδε: cτερεόποδαc. ZYQX

Θ 42/Z^s^ ὠκυπέτα: ὠκυπέταc, ¦ ταχεῖc (=A^ti^), ὅ ἐcτιν "τρέχονταc ὑπερβολικῶc". ZY(QX τουτέcτι)

Θ 42/Z^s^ ἐθείρηιcιν: κόμαιc, ταῖc ἐξ ἔθουc ἐπιμελείαc ἀξιουμέναιc ¦ θριξίν (=A^ti^). ZYQXG* ~ ApS 63,9

Θ 43/Z^s^ χρυcὸν δ' αὐτὸc ἔδυνε: ἀντὶ τοῦ "χρυcῆν πανοπλίαν ἐνεδύcατο". ZYQX ~ Ak ὅτι ...

Θ 43/Z^s^ γέντο: ἔλαβεν. ZYQX

Θ 43/Z^s^ ἱμάcθλην: μάcτιγα. ZYQX

Θ 45/A^ts^ ⌞οὐκ ἄκοντε⌟ οὐκ ἀπρόθυμοι. ≃ E 366𝔇

Θ 46/Z^s^ μεccηγύc: μεταξὺ οὐρανοῦ καὶ γῆc, ὅ ἐcτιν δι' ἀέροc. ZYQX

Θ 47/Z^s^ πολυπίδακα: πολλὰc πηγὰc ἔχουcαν, κάθυδρον. Z(YQX κάθυγρον)

Θ 47/$Z^{s}$ μητέρα θηρῶν: πολλὰ θηρία ἔχουϲαν, θηροτρόφον. ZYQX

Θ 48/$Z^{s}$ Γάργαρον: τὸ ἀκρωτήριον τῆϲ Ἴδηϲ, ἤτοι ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ ὕδατα ἢ ἀπὸ μεταφορᾶϲ τοῦ ἐν τοῖϲ ϲώμαϲιν ἡμῶν γαργαρεῶνοϲ, τῆϲ λεγομένηϲ ϲταφυλῆϲ. καὶ γὰρ τὸ ϲῶμα τοῦτο ἀπὸ παχέοϲ εἰϲ λεπτὸν καὶ ὀξὺ λήγει. τρία δέ εἰϲιν ἀκρωτήρια τῆϲ Ἴδηϲ· Λεκτόν, Γάργαρον, Φαλάκρη (~ Ξ 284𝔇). ZYQXAUIG$T^{r}$ | τούτου μνημονεύει Καλλίμαχοϲ ἐν Α τῶν Αἰτίων (fr. 34). ZYAUI

Θ 48/$Z^{s}$ τέμενοϲ: τόποϲ ἱερὸϲ εἰϲ τιμὴν ἀποτετμημένοϲ. ZYQXG~$I^{m}$

Θ 48/$Z^{s}$ θυήειϲ: ἐφ' οὗ θύουϲιν, ἢ τεθυμιαμένοϲ. ZYQX

Θ 50/$Z^{s}$ ἠέρα: ἀοραϲίαν, ϲκότοϲ. ZYQX

Θ 50/$Z^{s}$ ἔχευεν: περιέχεεν, ἐπέβαλεν. ZY(Q ἔβαλεν) X

Θ 53/$A^{td}$ ⌞δεῖπνον ἕλοντο⌟ ἠρίϲτηϲαν. cf ζ 97𝔇 δεῖπνον· ἄριϲτον, Ω 124𝔇 "τὸ παρ' ἡμῖν ἄριϲτον"

Θ 54/$Z^{s}$ ῥίμφα: ταχέωϲ. ZYQX$T^{i}$

Θ 54/$Z^{s}$ ἀπὸ δ' αὐτοῦ: μετὰ δὲ τοῦτο. ZYQX

Θ 56/$Z^{s}$ παυρότεροι: ὀλίγοι. ZYQX

Θ 56/$Z^{s}$ καὶ ὧϲ: καὶ ὅμωϲ. ZYQX

Θ 57/$Z^{s}$ χρειοῖ ἀναγκαίηι: διὰ χρείαν ἀνάγκην ἐπιφέρουϲαν καὶ ἐπείγουϲαν. (Z χρειῶν$^{\lambda}$)YQ

Θ 57/$Z^{s}$ πρό τε παίδων: ἀντὶ τοῦ ¦ ὑπὲρ (=$A^{ti}$) τέκνων. ZYQX~$T^{i}$

Θ 58/$Z^{s}$ ὠΐγνυντο: ἀνεῳίγνυντο. ZYQX

Θ 58/$U^{m}$ ⌞πύλαι⌟ ἰϲτέον ὅτι μία πύλη ἐϲτίν, πληθυντικῶϲ δὲ τοῦτο εἴρηκε κατὰ τρόπον ποιητικόν. $U^{m}$ cf Ak

Θ 58/$Z^{s}$ ἐκ δ' ἔϲϲυτο: ἐξῄει δέ. ZYQX

Θ 60/$Z^{s}$ ἕνα: τὸν αὐτόν. ZYQX

Θ 60/$Z^{s}$ ξυνιόντεϲ: ϲυνερχόμενοι ὁμοῦ. ZYQX

Θ 63/$Z^{s}$ ἔπληντο: ἐπληϲίαζον, ZYQX | ἤγγιζον. ZQX

H 64/$U^{m}$ ⌞οἰμωγή τε καὶ εὐχωλή⌟ ἡ ϲύνταξίϲ ἐϲτὶν οὕτωϲ· ¦ οἰμωγὴ τῶν ὀλλυμένων καὶ καύχηϲιϲ τῶν ὀλλύντων (~$I^{m}$).

Θ 66/$Z^{s}$ ὄφρα μὲν ἠὼϲ ἦν: νῦν τὸ ἑωθινὸν κατάϲτημα ἕωϲ μεϲημβρίαϲ. ZYQXG ~ Ak ὅτι ..., cf Θ 1𝔇. $T^{r}$ πρωΐα.

Θ 66/$Z^{s}$ ἀέξετο ἱερὸν ἦμαρ: αὔξηϲιν ἐλάμβανεν ἡ ἡμέρα, ὅ ἐϲτιν "ἕωϲ οὗ ὑφοῦτο ὁ ἥλιοϲ ὁ τὴν ἡμέραν ποιῶν". ZYQXA~G*

H 66/$U^{m}$ ⌞ἀέξετο ἱερὸν ἦμαρ⌟ ὅτι οὕτωϲ εἴρηται πρὸ τῆϲ μεϲημβρίαϲ ἔτι· τούτωι γὰρ τῶι καιρῶι ἔθυον τοῖϲ Ὀλυμπίοιϲ θεοῖϲ – διὰ τοῦτο εἴρηκε καὶ ἱερόν –, ἀπὸ δὲ μεϲημβρίαϲ τοῖϲ χθονίοιϲ. $U^{m}$ ~$T^{s}$G

Θ 67/$Z^{s}$ τόφρα: ἕωϲ τότε. ZYQX

Θ 67/$Z^{s}$ βέλεα: πᾶν τὸ ἀπὸ διαϲτήματοϲ πεμπόμενον βέλοϲ καλεῖται. ZYQXG

Θ 67/$Z^{s}$ ἥπτετο: καθήπτετο. ZYQ

Θ 68/$Z^{s}$ ἦμοϲ: ἡνίκα, ὅτε. ZYQ

Θ 68/$Z^{s}$ μέϲον οὐρανὸν ἀμφιβεβήκει: περὶ τὸν οὐρανόν μέϲον, ὅ ἐϲτιν "ἐμεϲουράνει". (ZQ μέϲον$^{2}$ om) YX

Θ 69/$Z^{s}$ ἐτίταινεν: ἔτεινεν, εἷλκε. ZYQX

Θ 69/$Z^{s}$ τάλαντα: 'τάλαντα' λέγει δὲ τὴν τοῦ Διὸϲ διάνοιαν. ZYQXAG

τάλαντα$^{2}$ om YQX, τάλαντα λέγει δὲ om A ||

Θ 69/$U^{m}$ 'τάλαντα' ϲταθμή. ἐνέθηκε δὲ ἑνὸϲ ἑκάϲτου ϲτρατοπέδου μοῖραν.

Θ 70/$Z^{s}$ τανηλεγέοϲ: μακροκοιμήτου (=$T^{r}$) ἢ μακρὰν ἀφροντιϲτίαν παρέχοντοϲ. ZYQX

Θ 72/$Z^{s}$ ῥέπε: κατέρρεπε, κατεβάρει, καθείλκετο. ZYQX

Θ 72/$Z^{s}$ αἴϲιμον ἦμαρ: ἡ μεμοιραμένη ἡμέρα, καὶ πεπρωμένη. ZY(QX εἱμαρμένη)

Θ 73/Z$^{s}$ κῆρες: νῦν μοῖραι. ZYQX ~ 70/Ak ὅτι ...

Θ 74/Z$^{s}$ ἑζέσθην: κατεσπάσθησαν, ἱδρύνθησαν. ZY(QX κατεπαύθησαν)

Θ 74/Z$^{s}$ ἄερθεν: ἤρθησαν, ἠνέχθησαν. ZYQX

⟨ἀν⟩ηνέχθησαν de Marco ||

Θ 75/Z$^{s}$ ἔκτυπεν: ἐκτύπησεν, ἐβρόντησεν. ZYQX

Θ 75/Z$^{s}$ δαιόμενον σέλας: τὸ καιόμενον καὶ κεραύνιον πῦρ. οἱ δὲ τὴν ἀστραπήν. ZYQX

Θ 77/Z$^{s}$ θάμβησαν: ἐξεπλάγησαν, ἐφοβήθησαν. 'χλωρὸν' δὲ 'δέος' ὁ χλωροποιὸς φόβος. ZYQX

lemma 'χλωρὸν δέος' pro δὲ YQX ||

Θ 77/Z$^{s}$ εἷλεν: ἔλαβεν. Z = Γ 35𝔇

Θ 78/Z$^{s}$ οὐκ ἔτλη (οὔτ' Ἰδομενεὺς τλῆ Hom.): οὐκ ἐκαρτέρησεν (= E 21𝔇), οὐχ ὑπέμεινεν. ZYQX

Θ 79/Z$^{s}$ μενέτην: ἔμειναν δυϊκῶς. ZYQX

Θ 80/Z$^{s}$ οἶος: μόνος. ZYQX

Θ 80/Z$^{s}$ οὖρος: ὁ φύλαξ. ZYQXT$^{r}$ = ApS 125,2

Θ 81/Z$^{s}$ οὔ τι ἑκών: οὐχ ἑκουσίαι γνώμηι, οὐ βουλόμενος. ZYQX

οὔτ'ἑκὼν Z$^{λ}$ || βουλόμενος Z : βουλῆι QX ||

Θ 81/Z$^{s}$ ἐτείρετο: κατεπονεῖτο. ZYQX

Θ 83/Z$^{s}$ ἄκρην κὰκ κορυφήν: κατὰ τῆς κεφαλῆς. ¦ πρώτας δὲ {τὰς} τρίχας λέγει τὸ καλούμενον προκόμιον (=G τὰς om). ZYQX

Θ 84/Z$^{s}$ ἐμπεφύασιν: πεφύκασιν. ZYQX

Θ 84/Z$^{s}$ μάλιστα δὲ καίριόν ἐστιν: εὔκαιρον δὲ πρὸς θάνατον ἐστὶν τοῖς ἵπποις τὸ μέρος τοῦτο, ὅ ἐστιν ¦ ἐπικίνδυνον (= T$^{i}$). ZYQXA~I$^{i}$

Θ 85/Z$^{s}$ ἀνέπαλτο: ἀνεχαιτίσθη, ἀνήλατο. ZYQX

Θ 85/Z$^{s}$ βέλος δέ: ἀντὶ τοῦ "βέλος γάρ". Z(YQX ⟨τὸ⟩ βέλος) ~G$^{i}$, A$^{ts}$ ὅτι ..., T$^{i}$

Θ 85/Z$^{s}$ δῦ: ἔδυ, κατῆλθεν. ZYQX

Θ 86/Z$^{s}$ κυλινδόμενος περὶ χαλκῶι: περὶ τῶι σιδήρωι τῶν ἐπισώτρων, ὅ ἐστιν τῶν κανθῶν. ZYQX

Θ 87/Z$^{s}$ παρηορίας: τὰς τοῦ παρηόρου ἵππου ἡνίας, τὰς παραζεύξεις, ὅ ἐστιν τοὺς ἔξωθεν παρατεταμένους ἱμάντας. (ZXA παρήορος) YQG

Θ 87/Z$^{s}$+Y$^{s}$ ἀπέταμνεν: ἀπέκοπτεν. YQXIG | δεινὸς ἐστὶν Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν ἄνδρα σημαίνων· διὰ γὰρ τοῦ 'ἀπέτεμνεν' τὴν ἀσθένειαν τοῦ γέροντος δηλοῖ, καὶ ἐντεῦθεν τὸ βραδὺ τῆς ἐνεργείας. προσηκόντως οὖν ἐπὶ τοῦ πρεσβύτου ἐχρήσατο τῶι παρατατικῶι χρόνωι εἰπὼν τὸ 'ἀΐσσων' (Θ 88), ἐπὶ δὲ τοῦ νέου Αὐτομέδοντος (Π 474) τῶι συντελικῶι εἰπὼν 'ἄϊξε' καὶ 'ἀπέκοψε' συντόμως τὸ πρᾶγμα δηλῶν. ZYQXAUIG ~T

ἀπέταμνε / ἀπέτεμνε vv.ll. Hom. || 1 ἀπέκοψε Y || 2 σημαίνειν U$^{1}$L || ἀπέτεμνεν ZU : ἀπέταμνεν YQXA || 5 ἄϊξε ZYXAU : ἀΐξας Q = Π 474 || 6 ἐδήλωσεν QX ||

Θ 88/Z$^{s}$ ἀΐσσων: ὁρμῶν, τέμνων. ZYQX

Θ 89/Z$^{s}$ ἀν' ἰωχμόν: ἀνὰ ¦ τὸν θόρυβον, ὅ ἐστιν τὴν δίωξιν (=G$^{i}$). ZYQX

Θ 89/Z$^{s}$ ἡνίοχον: τὸν ἐπιβάτην, τὸν δεσπότην. ZYQX~G (~ A$^{ts}$ ὅτι ...)

Θ 91/Z$^{s}$ ὀξύ: ὀξέως. ὄνομα ἔλαβεν ἀντ' ἐπιρρήματος. ZYQX (cf Y 30$^{T}$)

Θ 94/Z$^{s}$ πῆ: ποῦ. ZYQX

Θ 94/Z$^{s}$+U$^{s}$ μετὰ νῶτα βαλών: μεταβαλὼν τὰ νῶτα καὶ τρέψας πρὸς τοὺς πολεμίους. ZYQX(U στρέψας) | ὁ νοῦς "ὡς δειλὸς ἐν πλήθει φεύγεις μετὰ ταραχῆς, ἢ ὡς ἐν ὄχλωι ἀπαρακαλύπτως, ἐπεὶ καὶ οἱ ἄλλοι." ἢ τὸ ἑξῆς ἐστι ¦ "ποῖ φεύγεις ἐν ὁμίλωι, οἷον σὺ μετὰ τοῦ πλήθους" (~G). UP ~ Ni

Θ 96/Z$^{s}$ ἀπώσομεν: ἀποδιώξωμεν. ZYQX

Θ 96/Z$^{s}$ ἄγριον: φρικτὸν, φοβερόν. ZYQX

Θ 97/$Z^s$ οὐδ᾽ ἐςάκουςεν: οὐδὲ ἤκουςεν. ἐζήτηται δέ, πότερον ἄρα οὔδ᾽ ὅλως ἤκουςεν Ὀδυςςεὺς ἢ οὐκ ἐπείςθη (~ Ak πρὸς ..., $T^s$). ῥητέον ὅτι οἱ λέγοντες, ὅτι ἀκούςας οὐκ ἐπείςθη, δειλίαν τοῦ ἥρωος κατηγοροῦςιν ἀγνοοῦντες τὸ 'οὐδ᾽ ἐςάκουςεν' (Θ 97)· οὐ γὰρ τὸ παρακοῦςαι, ἀλλὰ τὸ μὴ αἰςθέςθαι τελείως δηλοῖ. καὶ γὰρ οὐκ ἦν δειλὸς τῶν ἄλλων ἔςχατος φεύγων καὶ τῆι βραδυτῆτι τὸ φιλοκίνδυνον ἐπιδεικνύμενος. ZYQXAUIG, cf T

2 ⟨ὁ⟩ ὀδυςςεὺς Y || 2-3 ῥητέον ... ἐπείςθη om ZA || .. ῥητέον ὅτι οἱ : καὶ οἱ μὲν U ||

Θ 97/$U^m$ ⸤οὐδ᾽ ἐςάκουςε⸥ ἐκ τοῦ ὄχλου οὐδόλως ἤκουςεν· οὐδέποτε γὰρ τὸν ἥρωα δειλιάςαντα εὕρομεν.

Θ 98/$Z^s$ παρήϊξεν: παρέδραμεν. ZYQX

Θ 99/$Z^s$ αὐτός περ ἐών: καίπερ μόνος ὤν. ZYQX (~ $A^{ts}$ ὅτι ...)

Θ 102/$Z^s$ ἦ μάλα δή cε: ὄντως δή cε. ZY(Q δή cε om) X

Θ 102/$Q^s$ νέοι τείρουςι μαχηταί: νέοι καταπονοῦςι πολεμιςταί. QX (~ Z 255𝔇)

Θ 103/$Z^s$ cή τε βίη λέλυται: ἐξηςθένηςέν cου ἡ δύναμις καὶ παρείθη. ZYQX

cὴ δὲ / cή τε $ZYQX^\lambda$ = vv.ll. Hom. ||

Θ 103/$Z^s$ χαλεπόν: κακόν, δεινόν. ZYQX

Θ 103/$Z^s$ ὀπάζει: κατόπιν διώκει, cυνελαύνει. ZYQX. $A^{ti}$ διώκει, καταλαμβάνει, cf θ 329𝔇 κιχάνει· καταλαμβάνει.

Θ 104/$Z^s$ ἠπεδανός: ἀςθενὴς ἢ ἄτεχνος, οἱονεὶ "ἀπεδανός", ὁ μὴ δυνάμενος δι᾽ ὑπερβολὴν ἀςθενείας ἐν τῶι πέδωι, ὅ ἐςτιν ἐδάφει, cτῆναι. ἔμπεδος γὰρ λέγεται ὁ ἐν τῶι πέδωι δι᾽ ἰςχὺν ἑςτὼς βεβαίως. $ZYQXAIT^r(T)G$

2 et 3 πέδωι : πεδίωι QX || 2 ἐδάφει ZA : ἐν τῶι ἐδάφει QX, τῶι ἐδάφει $YT^r$ ||

Θ 105/$Z^s$ ἐπιβήςεο: ἐπίβηθι. ZYQX

Θ 107/$Z^s$ κραιπνά: κραιπνῶς, ταχέως. ZYQX

Θ 107/$Z^s$ φέβεςθαι: φεύγειν. ZYQX (~ Ak ὅτι ...)

Θ 108/$Z^s$ ἑλόμην: ἀφειλόμην, ἔλαβον. (ZY ἀφελόμην) QX

Θ 109/$Z^s$ κομείτην (= 113, κομείτων Hom.): κομείτωςαν, ¦ θεραπευέτωςαν (=$T^r$). ZYQX

Θ 109/$Z^s$ τώδε δέ: οὗτοι δὲ οἱ Διομήδους. $ZYQXG^i$. $T^r$ τοὺς ἐμούς. ἡμεῖς)

Θ 110/$Z^s$ ἰθύνομεν: ἐπ᾽ εὐθείας ἐλαύνομεν. ZYQX

ἐλαύνωμεν de Marco = Λ 528𝔇 ||

Θ 110/$Z^s$ ὄφρα καὶ Ἕκτωρ εἴςεται: ὅπως καὶ ὁ Ἕκτωρ μάθηι. ZYQX

Θ 111/$Z^s$ εἰ καὶ ἐμὸν δόρυ μαίνεται: ἀντὶ τοῦ "εἰ καὶ τὸ ἐμὸν δόρυ ἐνθουςιᾶι". Z(YQX ἀντὶ τοῦ om)

Θ 113/$Z^s$ Νεςτορέας: τὰς τοῦ Νέςτορος. ZYQX

Θ 114/$A^{ti}$ ⸤Εὐρυμέδων⸥ ὄνομα. ~ Δ 458𝔇 Ἐχέπωλον· ὄνομα κύριον

Θ 114/$Z^s$ ἀγαπήνωρ: ὁ ἀγαπῶν τὴν ἠνορέην, ὅ ἐςτιν τὴν ἀνδρείαν. $ZYQXG\text{-}{\sim}I^i$

ὅ ἐςτιν Z : τουτέςτιν Y, ἤγουν Q ||

Θ 118/$A^{ts}$ ⸤ἰθὺς μεμαῶτος⸥ ἄντικρυς (= Ε 849𝔇) βουλευομένου ὁρμᾶν (~ Ξ298𝔇).

Θ 119/$Z^s$ ἀφάμαρτεν: ἀπέτυχεν. ZYQX

Θ 122/$Z^s$ ὑπερώηςαν: ὑπεχώρηςαν, παρώρμηςαν. ZYQX

παρώρμηςαν Y : ὑπερώρμηςαν Z, παρωρμήθηςαν QX ||

Θ 124/$Z^s$ πύκαςεν: περιεκάλυφεν, ἐςκέπαςεν. ZYQXE

Θ 126/$Z^s$ μέθεπε: μετήιει, ἐδίωκεν. ZY(QX ἐπήιει)

Θ 127/$Z^s$ δευέςθην: ἐνδεεῖς ἦςαν. ZYQX

Θ 127/$Z^s$ cημάντορος: τοῦ ἡνιοχήςαντος. ZYQX

Θ 129/$Z^s$ ἐπέβηςε: ἐπιβῆναι ἐποίηςεν. ZYQX

Θ 130/$Z^s$ λοιγός: ὄλεθρος. ZYQX

Θ 130/$Z^s$ ἀμήχανα: πρὸς ἃ οὐκ ἄν τις cχοίη μηχανὴν εὑρεῖν, ἐξ οὗ δεινὰ καὶ χαλεπά. ZYQXG

Θ 131/Z^s σήκασθεν: ὡς εἰς σηκὸν κατεκλείσθησαν (=X; cf Ak "ἐπεξηγεῖται εἰπὼν ἠΰτε ἄρνες"). σηκὸς δὲ εἴρηται οἱονεὶ στηκός τις ὤν (~Orio 150,27, ἀπὸ τοῦ ἵστασθαι αὐτοῦ τὰ θρέμματα· ἔνθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναόν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῶι τὸ ἄγαλμα (e.g. Eur. Rh. 501-2). ZYQAUIG

σήκαθεν Z^λ || 2 σηκὸς U : στηκὸς ZYA, ἱστηκός Q || αὐτοῦ ZQU : ἐν αὐτῶι YA || 4 τὸ ἄγαλμα ZYU : τὰ ἀγάλματα QA ||

Θ 133/Z^s ἀργῆτα: λαμπρόν. ZYQX

Θ 135/Z^s θεείου: θείου. προσληπτέον δὲ "κεραυνοῦ"· ὅπου γὰρ ἂν κεραυνὸς πέσηι, ὡς θεῖον ὄζει ἐν ἐκείνωι τῶι τόπωι. ZYQXAU^m*I^mTG. A^td τοῦ κεραυνίου πυρός.

Θ 136/Z^s καταπτήτην: κατέπτηξαν, ἐφοβήθησαν. ZYQX

Θ 137/Z^s σιγαλόεντα: ἀνθηρά, λαμπρά· Z(Y τὰ ἀνθηρά) QX | σιγαλὰ γὰρ τὰ ἄνθη. ZY

Θ 139/Z^s φόβονδ' ἔχε: εἰς ¦ φυγὴν (=T^r) ἔλαυνε. ZYQX (~ Ak ὅτι ...)

Θ 140/Z^s ἀλκή: νῦν ἀλέξησις, ¦ βοήθεια (=T^r). ZY(Q καὶ βοήθεια) X, = Φ 528𝔇, cf Γ 45𝔇 "δύναμις".

Θ 141/Z^s ὀπάζει: περιποιεῖ, παρέχει. ZYQX

Θ 143/Z^s+U^m εἰρύσσαιτο: κατάσχοι, κρατήσειε. ZYQX | ὁ νοῦς οὕτως· οὐδεὶς τὸν τοῦ Διὸς νόον ἐπισπάσαιτο ἢ φυλάξαιτο ὥστε τὰ συμφέροντα αὐτῶι γενέσθαι. U^m=A^s

1 κατάσχηι Q || νοῦς οὕτως U : λόγος A || 2 ἐπισπάσαιτο A : ἐπιστήσαιτο U ||

Θ 149/Z^s φοβεύμενος: διωκόμενος, ¦ φεύγων (= Ak ὅτι ...). ZYQX

Θ 150/Z^s ἀπειλήσει: καυχήσεται, κομπάσει (=X). σημαίνει δὲ ἡ λέξις πλείονα· ἐπὶ καυχήσεως μὲν ὡς νῦν, ἐπὶ δὲ εὐχῆς ὡς ἐν ἐκείνοις 'οὐδ' ἠπείλησεν ἄνακτι' (Ψ 863), ἐπὶ δὲ ὀργῆς ὡς ἐν τῶι 'ἠπείλει κἀκεῖνος ἐναντίον πολεμίζων / ἐνθάδ' ἐλεύσεσθαι' (O 178s). ZYQAIG cf ApS 38,2

3 ἐναντίον ZYA : ἐναντίβιον Q Hom. || 3s ἐνθάδ' ἐλεύσεσθαι om Y ||

Θ 150/U^m ⌊τότε μοι χάνοι εὐρεῖα χθών⌋ ὅτι οὐ καθόλου τὴν εὐρεῖαν λέγει, ἀλλ' ἐμοὶ εὐρεῖα γένοιτο καὶ χάσμα ποιήσειεν πλατύ. U^mI^m ~ Ak

Θ 150/Z^s τότε μοι χάνοι εὐρεῖα χθών: ἀντὶ τοῦ "πρότερον θάνοιμι", ὅ ἐστιν "χάσματι γῆς δεχθείην". ZYQXU^m

πότε Z^λ || 1 ἀντὶ τοῦ om QX || 2 γῆς χάσμά τι δεχθείη με Q(X) ||

Θ 156/Z^s τάων: ὥντινων. ZQX

Θ 156/Z^s βάλες: κατέβαλες. ZYQX

Θ 157/Z^s φύγαδ' ἔτρεπεν (ἔτραπεν Hom. = YQ^λ): εἰς φύγην ἔτρεψεν. ZYQX

Θ 158/Z^s ἀν' ἰωχμόν: κατὰ τὴν μάχην. ZYQX

τὴν μάχην ZY : τὸ πλῆθος QX ||

Θ 159/Z^s στονόεντα: πολλῶν στεναγμῶν αἴτια. ZYQX = A 445 πολύστονα

↑ Θ 159/Z^s στονόεντα· στεναγμῶν ἄξια. (post 179) Z

Θ 159/Z^s χέοντο: ἐπέχεον, ὅ ἐστι πυκνῶς καὶ ἀθρόως ἐπηκόντιζον. ZYQX

Θ 161/Z^s ἔτιον (~ χ 370, τίον Hom.): ἐτίμων. ZYQX

Θ 162/Z^s+Q^s ἕδρηι: προεδρίαι, ZYQX | καθέδραι (≃ T 77𝔇) QX

Θ 162/Z^s πλείοις: πεπληρωμένοις, γέμουσιν. ZYQX

Θ 163/Z^s γυναικὸς ἄρ' ἀντιτέτυξο: ἀντὶ γυναικὸς ἐγένου (=X). ¦ ἐφ' ἴσης γυναικὸς τετίμησο (=I^m, ~ I 116/Ak ὅτι ...). ZYQ

1 ἐγένου Z : γενοῦ YQX || ἐφ' ἴσης Z : ἐπ' ἴσης YQ, vv.ll. = E 71𝔇 ||

↑ Θ 163/U^m ⌊γυναικὸς ἄρ ἀντὶ τέτυξο⌋ τὸ ἀντι̅ ἐπὶ τοῦ ἴσου λαμβάνεται, ἵν' ἦι ἶσος γυναικὸς ἐγένου καὶ κατεσκευάσθης. U^mI^m

Θ 164/Z^s ἔρρε κακὴ γλήνη: φθείρου, ἀσθενὴς κόρη· ἢ κακὸν θέαμα. 'γλήνη' γὰρ καλεῖται ἡ τοῦ ὀφθαλμοῦ κόρη. ZYQI^m. A^ti φθείρου ὡς κόρη ἄνανδρος.

Θ 164/Z^s εἴξαντος: ὑποχωρήσαντος, ¦ φυγόντος (=T^r). ZYQX

Θ 165/$Z^s$ οὐδὲ γυναῖκας ἄξεις ἐν νήεσσι: οὐδὲ τὰς ἡμετέρας (=$T^r$) γαμετὰς αἰχμαλώτους λάβηις. ZYQX

1 γαμετὰς : γυναῖκας Y || 2 λάβηις ZY : λαβὼν ἄξεις (ἐν) ταῖς ναυσίν Q(X) ||

Θ 166/$U^s$+$Z^s$ πάρος τοι δαίμονα δώσω: τὸν θάνατον. κακῶς δὲ τούτωι ἐχρήσατο· διὸ ἀθετεῖται. U = $I^i$, cf $A^t$ | προσληπτέον τὸ κακόν, ἵν' ἦι "πρότερον γάρ σοι κακὸν θάνατον καὶ κακὴν εἱμαρμένην δώσω". ZYQXU$I^m$. $A^{ti}$ μόρον.

Θ 170/$Z^s$ ἀπ' Ἰδαίων ὀρέων: ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν. ZYQX

Θ 170/$Z^s$ κτύπε: ἤχησεν, ἐβρόντησεν. Z(YQX ἔκτυπε$^λ$ = Θ 79𝔇)

Θ 171/$Z^s$ τιθείς: παρέχων. ZYQX

Θ 171/$Z^s$ ἑτεραλκέα: ἑτεροκλινῆ. τὴν τοῖς ἐναντίοις ἀλκὴν καὶ δύναμιν περιποιοῦσαν. ZYQX

Θ 173/$Z^s$ ἀγχιμαχηταί: συστάδην καὶ ἐκ τοῦ ἐγγὺς μαχόμενοι. Z(YQX σύνεγγυς = Π 335𝔇)

Θ 177/$Z^s$ μηχανόωντο: ἐμηχανήσαντο, κατεσκεύασαν. ZYQX

Θ 178/$Z^s$ ἀβληχρά: ἀσθενῆ. ZYQXI | κατὰ στέρησιν τοῦ βληχροῦ τοῦ σημαίνοντος τὸ ἀσθενές. ZYI

Θ 178/$Z^s$ οὐδενόσωρα: οὐδεμιᾶς φροντίδος ἄξια (= ApS 123,32). ἀπὸ τῶν ὠρῶν· ¦ ὤρα γὰρ ἡ φροντίς (Harp. p. 221,13 Dindorf = Suda o 165). ZYQXA$I^m$

οὐδενὸς ὥρα $Z^λ$ || 1 ὠρῶν ὤρα de Marco : ὡρῶν ὥρα codd. ||

Θ 178/$Z^s$ μένος ἀμόν: τὴν ἐμὴν δύναμιν Δωρικῶς. ZYQX

Θ 178/$Z^s$ ἐρύξει: καθέξει, ἐπίσχηι. ZYQX. $T^r$ ἐπισχήσει.

Θ 179/$Z^s$ ῥέα: ῥαιδίως, εὐκόλως. ZYQX

Θ 179/$Z^s$ ὑπερθορέονται: ὑπερπηδήσουσιν, ὑπεραλοῦνται. (Z ὑπερπηδήσωσιν) YQX

Θ 181/$Z^s$ μνημοσύνη: ὑπόμνησις. ZYQX

Θ 182/$Z^s$ ἐνιπρήσω: ἐμπρήσω, καύσω. ZYQX

Θ 184/$Z^s$ ἐκέκλετο: ἐκέλευεν. ZYQX

Θ 185/$Z^s$ Ξάνθε τε καὶ σύ, Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε: τὰ δύο μέρη τοῦ λόγου {τούτοις} ἐπίθετα τῶν ἵππων. ¦ νοητέον δὲ ὀνόματα κύρια Ξάνθον καὶ Λάμπον, ὡς καὶ τὸ δυϊκὸν οὕτως ἐπιφέρεσθαι ὀρθῶς (= $U^m$) 'ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον' (Θ 191) . ZYQX (contra $T^s$ et Ni)

2 τούτοις Z, om. Y : ταῦτα QX || 3 ὡς καὶ Z : ὡς YQX || 3-4 καὶ σπεύδετον om ZX ||

Θ 186/$Z^s$ κομιδήν: ἐπιμέλειαν, θεραπείαν. ZYQX

Θ 186/$Z^s$ ἀποτίνετον: ἐκτίνετε, ἀπόδοτε. ZYQX

Θ 186/$U^s$ ⌞ἀποτίνετον⌟ ἐκ τῶν δυϊκῶν δείκνυται φανερῶς ὅτι δύο ἵπποις ἐχρῆτο, ἐκ τοῦ 'ἀποτίνετον' καὶ ἐκ τοῦ 'ἐφομαρτεῖτον' (191) καὶ 'σπεύδετον' (191). καὶ τέσσαρας ἂν ὑπολάβωμεν ἔχειν ἵππους τὸν Ἕκτορα οὐκ ἐμποδών ἐστιν ἡμῖν τὸ 'ἀποτίνετον' δυϊκὸν ὄν. οἱ γὰρ Ἀττικοὶ ἐν τοῖς πληθυντικοῖς ὀνόμασι δυϊκὰ συντάσσονται ῥήματα, ὡς καὶ ἐν τῆι Α· 'μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ / ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω' (Α 566-7). U cf $A^{ts}$ ὅτι ..., $185^T$ 191/Ak

Θ 188/$Z^s$ μελίφρονα: ἡδύν. ZYQX

Θ 188/$Z^s$ πυρόν: καταχρηστικῶς τὰς κριθὰς νῦν. 'ἔθηκεν' δὲ παρέθηκεν, παρέβαλεν. ZYQX

lemma 'ἔθηκεν' pro δὲ YQX ||

Θ 188/$Z^s$ ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν: τὸ ἑξῆς τοῦτο ἐστὶν 'ἢ ἐμοὶ ὅς περ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι, οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι' (190s). (Z θαλερῶς .. ὅτε ⟨μοι⟩) YQ$U^m$

Θ 189/$Z^s$ ἐγκεράσασα: ἐγχέασα εἰς κέρας. πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρῆσιν κέρασιν ἔπινον. ZYQX(A)

1 πρὸ τοῦ γὰρ Q || 2 κέρασιν Z : εἰς κέρας YQ ||

Θ 190/A^ti ⌊ἢ ἐμοὶ⌋ ἤπερ (= Β 453𝔇) ἐμοί.

Θ 191/Z^s ἐφομαρτεῖτον: ἐπακολουθεῖτε, ὁμοῦ σπεύδετε. ZYQX

ἐπακολουθεῖτον ὁμοῦ σπεύδετον Q ||

Θ 191/Z^s αἴ κε (ὄφρα v.l. Hom.): ἐάν. ZYQX = Α 207𝔇

Θ 192/Z^s ἀσπίδα Νεστορέην: αὐτὸν τὸν Νέστορα περιφραστικῶς (=X). ἔνιοι δὲ τὸ ὅπλον· ZYQA | ἡφαιστότευκτον γὰρ ἦν. ZQA

Θ 193/Z^s κανόνας: ῥάβδους (=X), αἷς ἐκράτουν τὰς ἀσπίδας. οὔπω γὰρ ἐχρῶντο τοῖς πόρπαξιν, οὓς ὄχανα ἐκάλουν. ὕστερον γὰρ οὗτοι ἐπενοήθησαν ὑπὸ Καρῶν, ὡς καὶ Ἀνακρέων φησίν 'καριοεργέος ὀχάνοιο' (PMG 401). ZYQAUI^i

2 σόχανα ZY || 3 καριοεργέος et Eust. 707,61 : καρικοεργέος Eust. 367,25, καριέργεος U ||

Θ 196/Z^s ἐελποίμην: ἐλπίσαιμι ἄν. (Z ἐέλποιμι^λ) YQX

Θ 197/Z^s αὐτονυχεί: ἐν αὐτῆι τῆι νυκτί. ZY(Q ἐν om) X ~ ApS 48,10

Θ 197/Z^s ἐπιβησέμεν: ἐπιβῆναι. ZYQ

Θ 198/Z^s νεμέσησε: ἐβάσκαινεν, ὠργίσθη (=X) ἐφ' οἷς ἀναξίοις εἶπεν. ZYQT

ἐβάσκενεν Z : ἐβάσκανεν Y, ἐβάσκηνεν QXT || ἀναξίως YQT ||

Θ 199/Z^s σείσατο: διεκινήθη, ἐτινάχθη. ZYQX

Θ 199/Z^s ἐλέλιξεν: ἐκίνησεν. ZYQX

Θ 201/Z^s εὐρυσθενές: μεγάλην δύναμιν ἔχων. ZYQX

Θ 202/Z^s ὀλοφύρεται: ἐλεεῖ, οἰκτείρει. ZYQX

Θ 203/Z^s Ἑλίκην τε καὶ Αἰγάς: πόλεις ἱερὰς Ποσειδῶνος. Αἰγὰς δὲ καλοῦσιν τὰς ἐν Πελοποννήσωι. ZYQXI^m

1 ἱερὰς L ~ ε 381𝔇, Β 506𝔇 : πέρα ZQXI || πέρα ποσειδῶνος αἰγὰς δὲ καλοῦσιν τὰς om Y ||

Θ 204/Z^s χαρίεντα: ἐπιτερπῆ, ἡδέα. ZYQX

Θ 204/Z^s σὺ δέ σφισι βούλεο νίκην: σὺ δὲ αὐτοῖς βοηθὸς γενοῦ καὶ περιποίησαι τὴν νίκην. ZYQX

Θ 206/Z^s ἐρυκέμεν: κατέχειν, κωλύειν. ZYQX

Θ 206/Z^s Ζῆν': Ζῆνα, τὸν Δία. ZYQX

Θ 207/Z^s ἀκάχοιτο: λυποῖτο. ZYQX

Θ 209/Z^s ἀπτοεπές: ἀπτόητε, ἐν τῶι λέγειν θρασεῖα. ἔνιοι δὲ ¦ δασέως ἀναγινώσκουσιν, ἵν' ἦι καθαπτομένη λόγοις (~Ak). ZYQXI^i ~ ApS 40,16

Θ 213/Z^s τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε: ὅσον ἀπὸ τῶν νεῶν ἦν διάστημα ἐπὶ τὸ τεῖχος καὶ ἀπὸ τοῦ τείχους ἐπὶ τὴν τάφρον, ἐπληροῦτο ἐκ τοῦ ὄχλου. (Z τὸν^λ) YQXUI ~ ex

↑ Θ 213/Q^s τῶν δ' ὅσον ἐκ νηῶν: ὅσον ἡ τάφρος ἀπέχει τοῦ τείχους καὶ τῶν νεῶν, τοῦτο πλῆρες ἦν πεζῶν καὶ ἵππων. ἀμφότερα οὖν τὰ διαστήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς, ἐπεπλήρωτο. QXUI ~T

1 ἄλλως pro lemmate U, post τάφρος ins. Q ||

Θ 213/Z^s ἀπόεργε (~ Θ 325𝔇, ἀπὸ ... ἔεργε Hom.) : ἀπεχώριζε. ZYQX

ἀπόεργε Z^λ : ἀποέεργεν YQX^λ (Ω 238 ἀπέεργεν) ||

Θ 214/Z^s πλῆθεν: ἐπληρώθησαν. Z(YQX πλῆσθεν YQX^λ = Ρ 211𝔇)

Θ 215/Z^s εἰλομένων: συναθροιζομένων. ZYQXT^r

Θ 215/Z^s εἶλει: συνήθροιζε (=T^r), συνέκλειε. ZYQX

Θ 217/Z^s κηλέωι: καυστικῶι, διαπύρωι. ZYQX

Θ 219/Z^s ποιπνύσαντι: ἐνεργήσαντι. ZYQX

Θ 221/Z^s πορφύρεον μέγα φᾶρος ἔχων ⌊ἐν YQX⌋ χειρὶ παχείηι: πορφυροῦν ἱμάτιον (=T^r) μεταχειρίζεται ὁ βασιλεὺς ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημᾶναι τοῖς Ἕλλησιν, ἐπεὶ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς καταστεῖλαι. ZYQXAUI~G

Θ 222/Z^s+Q^s μεγακήτεϊ: μεγάληι, παρὰ τὸ κῆτος, ZYQX | ἢ ¦ μέγα κύτος ἐχούσηι, πλατείαι (=G). ZY ~ Φ 22^T | ἢ πλατεῖα καὶ εὐρύχωρος. QX

Θ 223/$Z^{s}$ ἐν μεccάτωι: ἐν τῶι μεcωτάτωι τόπωι. ZYQX$I^{m}$

Θ 223/$Z^{s}$ ἔcκε: ἦν, ¦ ὑπῆρχεν (= $I^{m}$). ZYQX

Θ 223/$Z^{s}$+$U^{m}$ γεγωνέμεν: βοᾶν. ZYQX | εἰc τὸ ἀκόπωc βοᾶν ἀμφοτέροιc. $U^{m}I^{m}$

Θ 227/$Z^{s}$ διαπρύcιον: διάδηλον, μέγα, ἐξάκουcτον. ZYQX. $T^{i}$ διαπορεύcιμον.

Θ 227/$Z^{s}$ γεγωνώc: ἐκβοῶν, κράζων. ZYQX

Θ 228/$Z^{s}$ αἰδὼc Ἀργεῖοι: αἰδεῖcθε, ὦ Ἕλληνεc. ZYQX

Θ 228/$Z^{s}$ εἶδοc ἀγητοί: τῶι ὁραθῆναι μόνον θαυμαcτοὶ καὶ οὐκ ἐπὶ τῶι ἔργωι. ZQXG

τῶι[1]: τὸ Z || τῶι[2] om Q ||

Θ 230/$Q^{s}$ ὡc ὁπότ' ἐν Λήμνωι κενεαυχέεc (ἃc Hom.): τὸ ὁπότε ἐcτὶν ἀντὶ τοῦ "ὅτε" (= $A^{ts}$, ~$T^{s}$ ποτέ), καὶ ἀποτελεῖ ἀνταποδοτικὴν περίοδον. οὐκ ἔcτιν ἀνταπόδοcιc (~ $U^{m}$)· ὁ γὰρ λόγοc "ὅτε ἐν Λήμνωι ἐκαυχᾶcθε". QX$I^{m}$G (cf Γ 130/Ni "ἀνταποδοτικῆc οὔcηc τῆc περιόδου")

ὡc QX$^{\lambda}$, Porph. 67,28 : ἃc Hom. || 2 οὐκ ἔcτι ⟨δὲ⟩ G ||

Θ 230/$Z^{s}$ κενεαυχέεc: κενὰ καὶ μάταια καυχώμενοι. ZYQX

Θ 230/$Z^{s}$ ἠγοράαcθε: ἐλέγετε· ἅc τιναc ποτὲ ἐν τῆι Λήμνωι ἐλέγετε καυχώμενοι, πίνοντεc οἶνον πλεῖcτον καὶ κάλλιcτον. ZYQX(G τῆι om)

Θ 231/$Z^{s}$ ἔcθοντεc: ἐcθίοντεc. ZYQX

Θ 231/$Z^{s}$ ὀρθοκραιράων: ὀρθὰ κέρατα ἐχόντων. ZYQX

Θ 232/$U^{m}$ ⌊πίνοντεc⌋ περιττὸc ὁ cτίχοc· ἐκ γὰρ τοῦ πίνειν, οὐκ ἐκ τοῦ ἐcθίειν τὸ καυχᾶcθαι cημαίνει. $U^{m}$ cf Athen. 1,39d-e/Ar, Y 84/Ak

Θ 232/$Z^{s}$ ἐπιcτεφέαc: πλήρειc. ὁ τρόποc μεταφορά. ZYQXG

Θ 233/$Z^{s}$ ἀνθ' ἑκατόν: ἀντὶ τοῦ κατέναντι ἑκατόν. ZYQX

Θ 234/$Z^{s}$ cτήcεcθαι: μάχεcθαι. Z(YQX μαχήcεcθαι)

Θ 234/$Z^{s}$ εἰμέν: ἐcμέν. ZYQX

Θ 235/$Z^{s}$ ἐνιπρήcει: καύcει. ZYQX

Θ 236/$Z^{s}$ ὑπερμενέων: ὑπὲρ τὸ δέον βιαίων. ὑπερεχόντων τῆι δυνάμει, ⌜ἀνδρείων XG⌝. ZYQXG

Θ 237/$Z^{s}$ ἄαcαc: ἔβλαψαc. ZQX

Θ 237/$T^{i}$ ⌊ἀπηύραc⌋ → αὐτόν (= A 290𝔇).

Θ 238/$Z^{s}$ τεόν: τὸν cόν. ZYQX

Θ 239/$Z^{s}$ ἔρρων: ἐπὶ φθορὰν παραγενάμενοc. Z(YQX παραγενόμενοc) $T^{r}$ ~ Ak ὅτι ...

Θ 241/$Z^{s}$ ἱέμενοc: ἐπιθυμῶν, προθυμούμενοc. ZYQX

Θ 243/$Z^{s}$ αὐτοὺc δὴ περ: ἡμᾶc (=$T^{r}$) αὐτούc. ZYQX

Θ 243/$Z^{s}$ ἀλύξαι: ἐκκλῖναι. ZYQX

Θ 245/$Z^{s}$ ὀλοφύρατο: κατοικτείρηcεν, ἠλέηcεν. ZYQX

ὠλοφύρατο YQX$^{\lambda}$ || κατοίκτιcεν Y, κατῴκτιcεν QX ||

Θ 246/$Z^{s}$ νεῦcεν: ὑπέcχετο, ἐcήμανεν. ZYQX

Θ 247/$Z^{s}$ τελειότατον: ἤτοι μέγιcτον, ἢ ἐντελῆ cημεῖα φαίνοντα, ἐπιτελεcτικώτατον. λέγεται δὲ κατὰ τὴν τοῦ Διὸc γένεcιν τὸν ἀετὸν γεννηθῆναι, ἔν τε τῆι πρὸc τοὺc Γίγανταc μάχηι παραπτῆναι. διόπερ ἐν τῆι διανεμήcει τῶν πτηνῶν Ζεὺc τὸν ἀετὸν εἵλετο, ὧι καὶ προcτάccει καὶ ἀγγέλωι χρᾶται πρὸc ἐκείνουc, οὓc ἐπιφανείαc ἀξιοῖ. ὅθεν καὶ ἀετὸc ἐκλήθη, οὐχ, ὥc τινεc, παρὰ τὸ ἀΐccειν, ἀλλὰ παρὰ τὸ ἐτεὸν δηλοῦν, ὅ ἐcτιν ἀληθέc. ZYQXAUIG ~ Epim. α 212, cf $T^{s}$, Pfeiffer ad Call. fr. 119,3 (c).

2 γέννηcιν Y || 3 παραcτῆναι G || τὸν om YQXU || 4 ἀνείλετο Y || ἀγγέλωι ⟨αὐτῶι⟩ YQXAU || 5 ἀΐccειν : ἰάccεν Z ||

Θ 248/$Z^{s}$ νεβρόν : ἐλάφου γέννημα. ZYQX

Θ 250/$Z^{s}$ πανομφαίωι: πάcηc φήμηc καὶ κληδόνοc ἀκούοντι. ὀμφὴ γὰρ ἡ θεία κληδών. ZYG(QX ἀκούοντι et θεία om) ~$I^{m}$

Θ 252/$Z^{s}$ θόρον: ἐφώρμησαν. ZX(YQ ἀφώρμησαν)

Θ 254/$Z^{s}$ εὔξατο: ἐκαυχήσατο, ἠδυνήθη. ZX(YQ ἐδεήθη)

Θ 254/$Z^{s}$ πάρος σχέμεν: ἔμπροσθεν σχεῖν. Y(ZQX ἔσχεν)

Θ 257/$Z^{s}$ Φραδμονίδην: Φράδμονος παῖδα (=$T^{r}$) Ἀγέλαον. ZYQX

Θ 259/$Z^{s}$ ἔλασσε: διήλασεν. ZYQ

Θ 260/$Z^{s}$ ἀράβησεν: ἐψόφησεν, ἤχησεν. ὀνοματοποιία ὁ τρόπος. ZYQXG*

Θ 261/$Z^{s}$ τὸν δὲ μέτα: μετὰ δὲ τοῦτον. ZYQX

Θ 263/$Z^{s}$ ὀπάων: ἀκόλουθος. ZYQX

Θ 264/$Z^{s}$ ἀτάλαντος Ἐνυαλίωι: πολεμικός, ἴσος τῶι Ἄρει. ZYQX

Θ 266/$Z^{s}$ παλίντονα: εἰς τοὐπίσω τεινόμενα. ZYQX$A^{td}$ cf A 59𝔇 | εἶδος δὲ τοξείας $A^{td}$, cf Θ 325/Ak.

Θ 266/$Z^{s}$ τιταίνων: ἐντείνων, ἕλκων. ZYQ

Θ 268/$Z^{s}$ ὑπεξέφερεν: ἔξω αὐτὸ τοῦ Τεύκρου ἐποίει. ZYQG

Θ 269/$Z^{s}$ παπτήνας: περιβλεψάμενος. ZYQ

Θ 269/$Z^{s}$ ἐπειάρτιν: ἤτοι ὄνομα κύριον τὸ "Ἐπιάρτης" (~ $U^{m}I^{m}$), ἢ ἀντὶ τοῦ "ἐπί τινα δή". ZYQ

ἐπὶ ἄρτιν $Y^{\lambda}$ || ὁ ἐπίαρτις YQ ||

Θ 269/$Z^{s}$ ὀϊστεύσας: τοξεύσας. ZYQ

Θ 271/$Z^{s}$ δύσκεν: ὑπεδύετο, ὑπεισήιει. ZYQ

Θ 272/$Z^{s}$ κρύπτασκεν: ἔκρυπτεν. ZYQ

Θ 281/$Z^{s}$ κοίρανε λαῶν: βασιλεῦ ὄχλων. ZYQ

Θ 282/$Z^{s}$ φόως: φῶς, σωτηρία. σημαίνει καὶ τὸ κύριον 'φῶς'. Z(YQG καὶ· δὲ)

Θ 284/$U^{m}$ ⌊καί σε νόθον περ ἐόντα⌋ ἀθετεῖται ὅτι πρὸς ὀνειδισμὸν καὶ ἀποτροπὴν ἐστὶν μᾶλλον. $U^{m}I^{m}$ cf Ak

Θ 284/$Z^{s}$ καί σε νόθον περ ἐόντα: Ἡρακλῆς πορθήσας Ἴλιον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου δὲ ἀδελφήν, ἔλαβεν αἰχμάλωτον καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι ὡς συστρατεύσαντι αὐτῶι. ἀφ' ἧς ἔσχεν Τεῦκρον ὁ Τελαμών. ὡς οὖν ἀπὸ Τρωϊκῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν προαναπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον. Τευκροὶ γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύσαντος αὐτῶν Τεύκρου. ἡ δὲ ἱστορία ἀκριβέστερον εἴρηται παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλωνίωι τῶι γραμματικῶι ἐν τῶι δευτέρωι τῶν Γενῶν. ἐζήτηται δὲ πῶς ἐξ ἁπάντων ἐπαινέσας τὸν Τεῦκρον νῦν ἐπιφέρει νόθον. ἡμεῖς δέ φαμεν τοῦτο μὴ εἶναι πρὸς αἰσχύνης διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατοῦν. ἐτίμων γὰρ τοὺς νόθους ἐφ' ἴσης τοῖς γνησίοις (cf ξ 203). ἄλλως τε, εἰ καὶ αἰχμάλωτος ⟨ἡ⟩ Ἡσιόνη, ἀλλὰ βασιλίς. ἔτι δὲ καὶ αὐξήσεως ἕνεκεν τοῦτ' εἰρῆσθαι φαμὲν ὅτι τῆι ἀρετῆι καὶ τοὺς γνησίους ὑπερέβαλεν. ZYQAUIG

4 τὸν om YQU || 5 τευκροὶ ZA : τεῦκροι YQU || 5-6 βασιλεύοντος A || 7 Ἀπολλοδώρωι Valckenaer (FGrHist 244F158) || ἐν τῶι δευτέρωι τῶν γενῶν ZYQAU : ἐν καταλόγωι νεῶν L, ἐν β' καταλόγου νεῶν Valck. ἐν τῶι δευτέρωι ⟨περὶ⟩ τῶν Νεῶν Jac. || 9 αἰσχύνην QU || 10 ἐπίσης YQAU || ⟨ἡ⟩ AUG ||

Θ 284/$Z^{s}$ κομίσσατο: ἐπιμελείας ἠξίωσεν ὡς γνήσιον. ZYQ

Θ 285/$Z^{s}$ εὐκλείης ἐπίβησον: δόξης ἐπιβῆναι ποίησον. ZYQ

Θ 289/$Z^{s}$ πρεσβήϊον: πρεσβεῖον, ἀριστεῖον. λέγει δὲ τὸ ὑπὲρ τιμῆς δῶρον διδόμενον. Z(ἄριστον) YQG

Θ 290/$Z^{s}$ τρίποδα: λέβητα, ἔχοντα αὐτοφυεῖς πόδας. ZYQG

Θ 290/$Z^{s}$ αὐτοῖσιν ὄχεσφιν: σὺν τοῖς ἅρμασιν αὐτῶν. ZY(Q αὐτῶν om)

Θ 291/$Z^{s}$ ὁμὸν λέχος εἰσαναβαίνοι: ἥτις τῆς αὐτῆς σοι κοίτης κοινωνήσει. Z(YQ$I^{m}$G σοι om)

Θ 293/$Z^{s}$ σπεύδοντα: ἐσπουδακότα. ZYQ. $A^{ts}$ ἀντὶ "προθύμως ἐνεργοῦντα", $T^{s}$ "κακοπαθοῦντα" ≃ N 236𝔇.

Θ 295/$Z^{s}$ ὠσάμεθα: ἀπεωσάμεθα. ZYQ

Θ 296/$Z^{s}$ ἐκ τοῦ δή: ἐξ ἐκείνου τοῦ χρόνου. ZYQ

Θ 296/$Z^{s}$ δέγμενοϲ (δεδεγμένοϲ Hom.): ἐπιτηρῶν, ἢ προϲδεχόμενοϲ. ZYQ ≃ B 794𝔇

Θ 297/$Z^{s}$ τανυγλώχιναϲ: μακρὰϲ καὶ ὀξείαϲ γωνιώϲειϲ ἔχονταϲ, ὅ ἐϲτιν ἀκίδαϲ. $ZYQI^{i}G$

Θ 298/$Z^{s}$ πῆχθεν: ἐνεπάγηϲαν. ZYQ

Θ 298/$Z^{s}$ ἀρηϊθόων: πολεμικῶν. ZYQ

Θ 299/$Z^{s}$ λυϲϲητῆρα: μανιώδη, λυϲϲώδη. ZYQ

Θ 300/$Z^{s}$ ἴαλλεν: ἐφίει, ἐπέπεμπεν. Z(YQ ἔπεμπεν)

Θ 301/$Z^{s}$ ἵετο: προεθυμεῖτο, ZYQ | ὥρμα. ZQ

Θ 304/$Z^{s}$ Αἰϲύμηθεν: ἀπὸ Αἰϲύμηϲ πόλεωϲ Θράικηϲ. ZYQG

θρακικῆϲ Y, om Q ||

Θ 304/$Z^{s}$ ὀπυιομένη: μεμνηϲτευμένη, γεγαμημένη. ZYQ

Θ 306/$Z^{s}$ μήκων δ' ὡϲ: ὡϲ μήκων. ὁ τρόποϲ ἀναϲτροφή. ZYQG

↑ Θ 306/$Q^{s}$ μήκων δ' ὣϲ ἑτέρωϲε κάρη βάλεν ἥ τ' ἐνὶ κήπωι: ἤτοι τὸ η̄ μετὰ τοῦ τε̄ περιττεύει, ἵν' ἦι "ὡϲ μήκων ἑτέρωϲε (=G) κάρη βάλεν", ἢ τῶι 'βριθομένη' (307) λείπει ῥῆμα καὶ ἔϲτι μετοχὴ ἀντὶ ῥήματοϲ. QU (= $M^{s}$, ~ Ni, 307𝔇)

2 ἵν' ἦι QLM : τουτέϲτιν U || τῶι UL : τὸ QM ||

↑ Θ 306/$U^{m}$ ⌊μήκων δ' ὣϲ⌋ ἤτοι τὸ ἑξῆϲ ἐϲτιν οὕτωϲ· ἑτέρωϲε κάρη βάλεν ⟨ὡϲ μήκων⟩, ἥ τ' ἐνὶ κήπωι βριθομένη. λείπει δὲ τὸ ἐϲτιν. $U^{m}I^{m}$, ~ Ni

Θ 306/$Z^{s}$ κάρη βάλεν: ἀπέκλινεν τὴν κεφαλήν. ZYQUG

Θ 306/$Z^{s}$ ἥ τ' ἐνὶ κήπωι: ϲημειωτέον ὅτι θηλυκῶϲ εἶπε τὴν μήκωνα. ZYQUG

Θ 307/$Z^{s}$ βριθομένη: ἀντὶ τοῦ "βρίθεται", ὅ ἐϲτι βαρεῖται, καὶ οὐχ ὥϲ τινεϲ εἶπον βαρουμένη. κέχρηται γὰρ μετοχῆι ἀντὶ ῥήματοϲ. καὶ ἔϲτι τὸ ϲχῆμα ἴδιον Αἰολέων. ZYU($QGI^{m}$ τῆι μετοχῆι) ~ Ak

2 cf B 87𝔇 μελιϲϲάων· καὶ ἔϲτιν τὸ ϲχῆμα ἐπέκταϲιϲ, ἴδιον δὲ Ἰώνων ||

Θ 307/$Z^{s}$ νοτίηιϲί τε εἰαρινῆιϲι: δρόϲοιϲ ἢ ψεκάϲιν ἐαριναῖϲ. (Z νοτίηιϲιν$^{\lambda}$) $QG^{m}$

Θ 308/$Z^{s}$ ἤμυϲεν: ἐπέκλινε. Z(Y ἔκλινεν) Q

Θ 308/$Z^{s}$ πήληκι βαρυνθέν: τῆι περικεφαλαίαι βαρηθέν. ZYQ

Θ 311/$Z^{s}$ παρέϲφηλεν: ϲφαλῆναι καὶ ἀποτυχεῖν ἐποίηϲεν. ZYQ

Θ 313/$Z^{s}$ ἱέμενον: ὁρμῶντα. ZYQ

Θ 314/$Z^{s}$ ὑπερώηϲαν: ὑπεχώρηϲαν. ZYQ

Θ 316/$Z^{s}$ πύκαϲεν: ϲυνέϲχεν, ἐκάλυψεν. ZYQ

Θ 320/$Z^{s}$ θόρε: κατεπήδηϲεν. ZYQ

Θ 325/$Z^{s}$ αὖ ἐρύοντα: εἰϲ τοὐπίϲω ἕλκοντα. $ZYQI^{i}$ = Ak ὅτι ...

Θ 325/$Z^{s}$+$Y^{s}$ ὅθι: ὅθι αὐτῶι. ZQ | αὐτόθι. Y (post 361 ZYQ)

Θ 325/$Z^{s}$ κληῗϲ: κατακλεῖϲ. ZYQ

Θ 325/$Z^{s}$ ἀποέργει: ἀπείργει. ZYQ

Θ 328/$Z^{s}$ νάρκηϲε: ἐνάρκηϲεν, ἐλύθη. ZYQ

Θ 329/$Z^{s}$ γνύξ: ἐπὶ γόνυ. ZYQ

Θ 329/$Z^{s}$ ἐριπών: πεϲών. ZYQ

Θ 330/$Z^{s}$ οὐκ ἀμέληϲεν: ἐφρόντιϲεν. ὁ τρόποϲ ἀντίφραϲιϲ. ZYQ

Θ 331/$Z^{s}$+$Y^{s}$ περίβη: περιέβη. ZQ | ὑπερεμάχηϲε (≃ Ξ 424𝔇). Y

Θ 332/$Z^{s}$ ὑποδύντε: ὑπειϲελθόντεϲ. (post 298) ZYQ

Θ 337/$Z^{s}$ ϲθένεϊ βλεμεαίνων: ϲφοδρῶϲ ἐπιρρωννύμενοϲ (~ ApS 51,31). ἔνιοι δὲ τῶι βλέμματι φοβῶν, οἷον τὴν δύναμιν καὶ διὰ τοῦ βλέμματοϲ ἐπιδεικνύμενοϲ. ZYQ $U^{m}*I^{m}G$

2 καὶ om Q || ἐνδεικνύμενοϲ YQUIG ||

Θ 338/$Z^{s}$ ϲυὸϲ ἀγρίου: ϲυάγρου. ϲημειωτέον δὲ ὅτι τὰ τοιαῦτα ὀνόματα διηιρημένωϲ λέγει, ὡϲ καὶ τὸ 'ἄγριον αἶγα' (Γ 24). $ZYQI^{m}T^{r}$~G

Θ 340/Z[s] ἑλιcсόμενον: cυcτρεφόμενον. ZYQ

Θ 340/U[m] ⌊ἑλιcсόμενον⌋ γράφεται καὶ ἑλιcсόμενοc, ἵν' ἦι ἑλιcсόμενοc ὁ χοῖροc. ἢ ὡc λέων ἐπιτηρεῖ. UI[m] cf A[t]T[i]

Θ 340/Z[s] δοκεύει: ἐπιτηρεῖ. ZYQ = ApS 60,14

Θ 341/Z[s] ὤπαζεν: κατόπιν ἐδίωκεν, κατήπειγεν. ZYQG[i] ~ ApS 121,23 + 171,13.

Θ 341/T[r] }ὤπαζεν⌋ἐδίωκεν· λέγεται δὲ καὶ ἐπὶ τοῦ παρέχειν Θ 141𝔇.

Θ 342/Z[s] τὸν ὀπίcτατον: τὸν τελευταῖον. ZYQ

Θ 343/Z[s] cκόλοπεc: τὰ ἀπωξυμμένα ξύλα. ZYQ (L ἀποξυcμένα = I 350𝔇)

Θ 344/Z[s] δάμεν: ἀνηιρέθηcαν. ZYQ

Θ 345/Z[s] ἐρητύοντο: κατείχοντο. ZYQ

Θ 346/Z[s] κεκλόμενοι: ἐγκεκελευμένοι. Z(YQ ἐγκελευόμενοι)

Θ 346/U[m] μετὰ τὸ 'κεκλόμενοι' cτικτέον, ἵνα μὴ ἁμάρτημα ἦι ὅτι τοῖc θεοῖc παρεκελεύοντο. ηὔχοντο γὰρ τοῖc θεοῖc, ἀλλήλοιc δὲ παρεκελεύοντο. U[m] ~ An. Par. 3,39, cf Ni

Θ 348/Z[s] ἀμφιπεριcτρώφα: πανταχοῦ περιεcτρέφετο, ὅ ἐcτιν ἐνεργῶc περιήλαυνεν. ZYQI[i]G

Θ 349/Z[s] Γοργοῦc ὄμματ' ἔχων: γοργότητοc, ἢ ἀντὶ τοῦ Γοργόνοc, ὅ ἐcτιν φοβερά. ἀπὸ δὲ εὐθείαc τῆc Γοργὼ Γοργοῦc εἶπεν τὴν γενικήν, ZYQI[m]~G | ὡc Cαπφὼ Cαπφοῦc (~ Ak). ZI[m]

1 γοργόνοc Z : γοργοῦc YQ || 2 δὲ om Q ||

Θ 349/Z[s] οἶμα: ὅρμημα. ZYQ

Θ 352/Z[s] νῶϊ: "ἡμεῖc" κοινῆι διαλέκτωι. Δωριεῖc γάρ φαcιν ἄμμεc (Φ 432), Αἰολεῖc ἄμμε (Α 59), Ἀττικοὶ δὲ νῶ (Ε 219), Ἴωνεc ἡμέαc (Θ 211). ἔcτιν δὲ ἀντωνυμία δυϊκὴ ὀρθῆc καὶ αἰτιατικῆc πτώcεωc. ἐὰν δὲ cὺν τῶι ν̄, ἡμῶν καὶ ἡμῖν (Χ 88, Κ 478). ZYQA ~I[m]G

1 ἡμεῖc L : ἡμῖν ZYQA, v. infra l. 3 || 2 νῶ ZA : νώ Y, νῶϊ Q || ἡμέαc ZYQA : ἡμέεc L ||

Θ 352/Z[s] οὐκέτι νῶϊν (νῶϊ Hom. = Y[λ]) καὶ τὰ ἑξῆc: οὐκέτι cώουc ἐῶμεν τοὺc Ἕλληναc, ὧν κηδεμονίαν καὶ φροντίδα ποιήcομεν καὶ ἐξ ὑcτέρου; ZYQIG

1 cώουc θῶμεν Q, cῶ θῶμεν Y || 2 ὧν : οὐ L || ποιήcομεν καὶ Z : ποιηcόμεθα YQ ||

Θ 353/Z[s] κεκαδηcόμεθα: λυπηθηcόμεθα, φροντιοῦμεν. Z(YQ λυπηcόμεθα)

Θ 353/Z[s] ὑcτάτιον: ἐξ ὑcτέρου. ZYQ

↑ Θ 353/U[m] ⌊κεκαδηcόμεθ' ὑcτάτιόν περ⌋ αὐτῶν χωριcθῶμεν τόγε πάνυ ἔcχατον. cf T[s] "χαριοῦμεν "

Θ 354/Z[s] οἶτον: μόρον. ZYQ

Θ 355/Z[s] ῥιπῆι: φορᾶι. Z(YQ τῆι φορᾶι)

Θ 355/Z[s] ἀνεκτῶc: ἀναcχετῶc. ZYQ

Θ 358/Y[s] καὶ λίην οὗτόc γε: καὶ λίαν οὗτοc. YQ

Θ 358-61/U[m] ἡ διάνοια οὕτωc· περὶ τοῦ Ἕκτοροc φηcὶν "οὔ μοι μέλει· ἀπολεῖται γάρ. ὁ δὲ πατὴρ ὁ ἐμόc ἐcτι †τέλειοc (pro cχέτλιοc), μᾶλλον δὲ ὑπαίτιοc. U[m]I[i] ~T[i]

Θ 360/Z[s] οὑμόc: ὁ ἐμόc. ZYQ

Θ 361/Z[s] cχέτλιοc: νῦν ἐπιcχετικόc. ZYQ cf Κ 164𝔇 "δεινὸc ἢ cχετλιαcμοῦ ἄξιοc".

Θ 361/Z[s] ἀλιτρόc: ἁμαρτωλόc, ἄδικοc. ZYQ

Θ 361/Z[s] ἐμῶν μενέων ἀπερωεύc: τῆc ἐμῆc δυνάμεωc καὶ προθυμίαc κωλυτήc. (Z ἀπεωρεύc) YQ. T[i] ἀποκωλυτήc.

Θ 363/Z[s] cώεcκον: ἔcωζον. ZYQ

Θ 363/Z[s] Εὐρυcθῆοc: Εὐρυcθέωc τοῦ Ἀργείων βαcιλέωc, τοῦ ἐπιτάττοντοc Ἡρακλεῖ τοὺc ἄθλουc. ZYQIG

Θ 363/Z[s] ἀεθλεύων (= Ω 734𝔇, ἀέθλων Hom.): ἀθλῶν, κακοπαθῶν. ZYQ

Θ 365/$Z^{s}$ τῶι ἐπαλεξήϲουϲαν: ἐπικουρήϲουϲαν, βοηθήϲουϲαν. ZYQ

{τῶι} ἀπαλεξήϲουϲαν $Q^{\lambda}$, ≃ ρ 364 ||

Θ 365/$Z^{s}$ προΐαλλεν: προέπεμπεν. ZYQ

Θ 366/$Z^{s}$ ἤιδε’: ἤιδειν, ἠπιϲτάμην. Z(YQ ἤιδεα$^{\lambda}$ = Ξ 71𝔇)

Θ 366/$Z^{s}$ πευκαλίμηιϲι: ϲυνεταῖϲ ἢ πικραῖϲ. παρὰ τὴν πεύκην. ZYQG

Θ 367/$Z^{s}$ εὖτέ μιν: ὁπότε αὐτόν. ZYQ

Θ 367/$Z^{s}$ πυλάρταο: ἰϲχυρῶϲ ϲυναρμόζοντοϲ καὶ κλείοντοϲ τὰϲ πύλαϲ (=$T^{r}$), διὰ τὸ μηδένα ὑποϲτρέφειν ἐξ Ἅιδου. ZYQAG

↑ Θ 367/$U^{m}$ ˛πυλάρταο˛ ἢ τὸν ἰϲχυρὰϲ πύλαϲ ἔχοντα, ἢ τὸν ἰϲχυρῶϲ τὰϲ πύλαϲ κλείοντα, διὰ τὸ μηδένα ὑποϲτρέφειν ἐξ Ἅιδου. $U^{m}I^{m}$, cf ApS(137)

Θ 368/$Z^{s}$ ἐξ Ἐρέβευϲ: ἐκ τοῦ ἐρέβουϲ, ὅ ἐϲτιν "ϲκότουϲ". ZYQ$G^{i}$~$I^{i}$ | ἔϲτιν δὲ ὁ πρὸ τοῦ Ταρτάρου τόποϲ. ZQ$I^{i}G^{i}$

Θ 368/$Z^{s}$ κύνα Ἀΐδαο: τὸν Κέρβερον. τελεϲθέντων τῶν τοῦ Ἡρακλέουϲ ἄθλων ἐν μηνὶ καὶ ἔτεϲιν ὀκτὼ μὴ προϲδεχόμενοϲ Εὐρυϲθεὺϲ τόν τε τῶν Αὐγέου βοϲκημάτων ἆθλον καὶ τὸν τῆϲ Ὕδραϲ, ἑνδέκατον ἐπέταξεν ἆθλον αὐτῶι, τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν. εἶχεν δὲ οὗτοϲ τρεῖϲ μὲν κυνῶν κεφαλάϲ, τὴν δὲ οὐρὰν δράκοντοϲ, τὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάϲ. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθεν πρὸϲ Εὔμολπον εἰϲ Ἐλευϲῖνα, βουλόμενοϲ μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοιϲ τότε μυεῖϲθαι, ἐπειδήπερ †Θέϲτιοϲ ὁ Πυλίου παῖϲ παραγενόμενοϲ† ἐμυεῖτο. μὴ δυνάμενοϲ οὖν ἰδεῖν τὰ μυϲτήρια, ἐπείπερ οὐχ †ἡγνίϲθη εἰϲ τὸν τῶν Κενταύρων φόνον, ἁγνιϲθεὶϲ ὑπὸ Εὐμόλπου τότε ἐμυήθη. καὶ παραγενόμενοϲ ἐπὶ τὸ Ταίναρον τῆϲ Λακωνικῆϲ ἀκρωτήριον, οὗ τῆϲ Ἅιδου καταβάϲεώϲ ἐϲτιν ϲτόμιον, διὰ τούτου κατήιει. ὡϲ δὲ εἶδον αὐτὸν αἱ ψυχαί, χωρὶϲ Μελεάγρου καὶ Μεδούϲηϲ τῆϲ Γοργόνοϲ εὐθὺϲ ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφοϲ ὡϲ ζῶϲαν ἕλκει, καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι ἔϲτιν κενὸν εἴδωλον. πληϲίον δὲ τῶν Ἅιδου πυλῶν γενόμενοϲ, Θηϲέα ἐγείρει, καθήμενον ἐπὶ ἀκινήτου θρόνου. ὁμοίωϲ δὲ καὶ Πειρίθουν ἠβουλήθη καὶ τῆϲ γῆϲ πολὺ ϲειομένηϲ οὐκ ἠδυνήθη. ἀπεκύλιϲε δὲ καὶ τὸν Ἀϲκαλάφου πέτρον. βουλόμενοϲ δὲ αἷμα ταῖϲ ψυχαῖϲ παραϲχέϲθαι μίαν τῶν Ἅιδου βοῶν ἀπέϲφαξεν. ZYQAUIG ~ Apd. bibl. 2,5,12

ἀΐδαο Hom. $L^{\lambda}$ : ἅδου ZY$U^{\lambda}$, ἅιδου $Q^{\lambda}$ || 2 αὐγέου Q : αὐγαίου ZA, αὐγείου YU || 3 τῆϲ om Q || 6-7 ἦν δὲ ... ἐμυεῖτο om. Apollodori epit. || 7 θέϲτιοϲ Z : θυέϲτιοϲ YQU, θυέϲτηϲ A || θετὸϲ πυλίου παῖϲ γενόμενοϲ Apd. || .. δι’ ὃ γίγνεται Πυλίου θετὸϲ υἱόϲ, καὶ παραγενόμενοϲ ἐμυεῖτο L ~ Plu. Thes. 33,2 || 8-9 οὐκ ἦν ἡγνιϲμένοϲ τὸν Κενταύρων φόνον Apd. || 10 οὗ : ὃ Q || 13 γινόμενοϲ A || 16 παραθέϲθαι A ||

Θ 369/$Z^{s}$ Cτύξ: μία τῶν Ὠκεανοῦ θυγατέρων, ἣν ὁ Ζεὺϲ φρικωδέϲτατον ὅρκον τῶν θεῶν ἐποίηϲεν τιμήϲαϲ αὐτήν, ὥϲ φηϲιν Ἡϲίοδοϲ ἐν Θεογονίαι (Theog. 399s.). ἔϲτιν δὲ κρήνη ἐν Ἅιδου. ZY(Q ⟨καὶ⟩ κρήνη) A$U^{m}I^{m}$ cf T 113𝔇

Θ 369/$Z^{s}$ αἰπά: ὑψηλά, ἐξ οὗ μεγάλα καὶ χαλεπά. ZY(Q$G^{i}G^{m}$ μεγάλα om)

Θ 370/$Z^{s}$ ἐξήνυϲεν: ἐπλήρωϲεν, ἐτέλεϲεν. ZYQ

Θ 371/$Z^{s}$ γούνατ’ ἔκυϲϲεν: ἐγονυπέτηϲε. (ZY ἔκυϲεν$^{\lambda}$) Q

Θ 371/$Z^{s}$ ἔκυϲε: προϲεκύνηϲε, ἐφίληϲε. (post 361) ZYQ

Θ 373/$Z^{s}$ ἔϲται μάν: ἔϲται μὴν καιρόϲ. ZYQI

Θ 374/$Z^{s}$ ἐπέντυε: ἡτοίμαζε, παρεϲκεύαζε. ZYQ$G^{i}$

Θ 374/$Z^{s}$ μώνυχαϲ: μονώνυχαϲ. ZYQ

Θ 375/$Z^{s}$ καταδῦϲα: εἰϲελθοῦϲα. μεταφορὰ ὁ τρόποϲ. Z(Y μεταφορικὸϲ) Q$G^{i}$

Θ 376/$Z^{s}$ ὄφρα ἴδωμι: ὅπωϲ μάθω. Z ≃ E 221𝔇

Θ 377/$L^{s}$ πάϊϲ: παῖϲ. = B 609𝔇

Θ 378/$Y^{s}$+$Z^{s}$ προφανεῖϲα: φανεῖϲα, YQ | ὀφθεῖϲα. ZYQ

Θ 379/$Z^{s}$ κορέει: κορέϲει. ZYQ

Θ 380/$Z^{s}$ δημῶι: τῆι πιμελῆι, τῶι λίπει. ZYQ

Θ 389/$Z^{s}$ λάζετο: ἐλάμβανεν. ZY(Q ἔλαβεν)

Θ 392/Z$^s$ ἐπεμαίετο: ἔπληccεν. ZYQT$^r$

Θ 393/U$^m$ ˪πύλαι μύκον οὐρανοῦ˩ πύλας οὐρανοῦ τὰ νέφη λέγει. U$^m$ ~ Ak

Θ 393/Z$^s$ μύκον: ἠνοίγηcαν, ἤχηcαν. ZYQ | ὁ τρόποc ¦ ὀνοματοποιία (=G). ZQ

Θ 395/T$^r$ ˪ἀνακλῖναι˩ ἀνακαλύψαι. = E 751/T$^r$+G$^i$

Θ 399/T$^r$ ˪βάcκ' ἴθι˩ ἐκ παραλλήλου τὸ αὐτό. = B 8𝔇

Θ 399/Z$^s$ πάλιν: ὀπίcω. (post 379) ZYQ

Θ 399/Z$^s$ πάλιν τρέπε: εἰc τοὐπίcω ἀπέτρεπε. ZYQ

Θ 399/Z$^s$ ἄντην: ἐξ ἐναντίαc. (Z ἄντι$^λ$) YQ

Θ 400/Z$^s$ cυνοιcόμεθα: cυνενεχθηcόμεθα, cυμβαλοῦμεν. Z(Q cυναχθηcόμεθα)

Θ 402/Z$^s$ γυιώcω: χωλώcω. ZYQ = ApS 55,26

Θ 403/Z$^s$ ἄξω: κατάξω, cυντρίψω. ZYQ

Θ 404/Z$^s$ δεκάτουc: δέκα. ZYQ

Θ 404/Z$^s$ περιτελλομένουc: περιερχομένουc, πληρουμένουc. ZYQ

Θ 405/Z$^s$ ἀπαλθήcεcθον: ἰαθήcεcθε δυϊκῶc. ZYQG

Θ 405/Z$^s$ μάρπτηιcι: καταλάβηι (=T$^r$), κατάcχηι. ZYQ

Θ 407/Z$^s$ νεμεcίζομαι: μέμφομαι. ZYQ

Θ 407/Z$^s$ οὐδὲ χολοῦμαι: οὐδὲ ὀργίζομαι. ZYQ

Θ 408/U$^m$ ˪αἰεὶ γάρ μοι ἔωθεν˩ ἀεὶ γὰρ καὶ διὰ παντὸc ¦ ἐξ ἔθουc ἔχει (=G) ἐπικάμπτειν καὶ μὴ ἐᾶν γίνεcθαι τὰ ὑπ' ἐμοῦ εἰρημένα. U$^m$I$^m$

Θ 408/Z$^s$ εἴωθεν (ZQ$^λ$ = E 766, ἔωθεν Hom. = Y$^λ$): ἔθοc ἔχει. ZYQ = ρ 354𝔇

Θ 408/Z$^s$ ἐνικλᾶν: ἐμποδίζειν. ZYQ

Θ 409/Z$^s$ ἀελλόποc: ταχύπουc παρὰ τὰc ἀέλλαc, ὅ ἐcτιν ἀνεμόπουc. ZYQG

ἀνεμόπουc Z : ἀνέμουc YQ ||

Θ 411/Z$^s$ πολυπτύχου: πολλὰ ἀποκλίματα ἔχοντοc καὶ ἐξοχάc. ZYQ

πολλὰc ἀποκλίcειc Y = Y 5𝔇 ||

Θ 412/Z$^s$ ἀντομένη: ἀπαντήcαcα. ZYQ

Θ 412/Z$^s$ κατέρυκε: κατέcχεν. ZYQ

etiam κατέρυκον· κατέcχον post Θ 479 ZYQ ||

Θ 412/Z$^s$ ἔνιcπεν (YQ$^λ$, ἔννεπε Hom.): εἶπεν ἢ ἔλεγεν. ZYQ = B 80𝔇

ἔνιπεν Z$^λ$ || ἢ om YQ || ἔλεξεν Y ||

Θ 412/Z Διὸc δέ cφ' ἔννεπε μῦθον: τὸν δὲ τοῦ Διὸc λόγον αὐταῖc ἀπήγγειλεν. ZYQ

Θ 413/Z$^s$ πῆι μέματον: ποῦ προθυμεῖcθε; ZYQ

Θ 415/Z$^s$ εἰ τελέει περ: εἴπερ εἰc τέλοc ἄξει καὶ πληρώcει. ZY(Q καὶ om)

Θ 423/Z$^s$ κύον: ἀναιδεcτάτη. ZYQ

Θ 423/Z$^s$ ἀδδεέc: ἄφοβε. ZYQT$^r$

Θ 424/Z$^s$ τολμήcειc: ὑπομείνηιc, καρτερήcειc. ZYQ

Θ 424/Z$^s$ ἄντα: ἐξεναντίαc. (post 340) ZYQ

Θ 424/Z$^s$ ἀεῖραι: ἆραι. (etiam post Θ 348) ZYQ

Θ 428/A$^{ti}$ ˪ἐῶ˩ ἐπιτρέπω.

Θ 429/T$^r$ ˪τῶν˩ τῶν βροτῶν.

Θ 429/Z$^s$ ἀποφθίcθω: φθαρείτω. Z(YQ ἀποφθαρήτω)

↑ Θ 429/Z$^s$ ἀποφθίcθω: ἀποφθειρέcθω. (inter Θ 355 et 360) ZYQ

Θ 429/Z$^s$ βιώτω: ζηcάτω. (etiam inter Θ 355 et 360) ZYQ

Θ 431/Z$^s$ ὡc ἐπιεικέc: ὡc πρέπει καὶ ἐγχωρεῖ. ZYQ

Θ 432/Z$^s$ πάλιν τρέπεν: εἰc τοὐπίcω ἀπέτρεπε. (Z ἀπότρεπε) YQ

Θ 432/Z$^s$ μώνυχαc: μονώνυχαc. πρὸc cύγκριcιν βοῶν, προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων χηλάc. ZYQI$^m$G

1 ὑπόκριcιν Z || τῶν βοῶν. τῶν προβάτων Q ||

↑ Θ 432/U^m ⌊μώνυχας ἵππους⌋ ἰστέον δὲ ὅτι ἐπὶ μὲν μονωνύχων ὁπλή, ἐπὶ δὲ διωνύχων χηλὴ εἴρηται. U^mI^m ~ Cyr.

Θ 434/Z^s κάπηϲι: ταῖϲ φάτναιϲ. ZG(YQA ταῖϲ om) | παρὰ τὸ ἐν αὐταῖϲ ἱϲταμένουϲ τοὺϲ ἵππουϲ κάπτειν, ὅ ἐϲτιν ἐϲθίειν. ZQAGT^r

1 μετέθετο Z : μετετέθη YQX ||

K 47/$Z^{s}$ αὐδήσαντος: εἰπόντος. ZYQX. $T^{r}$ τινός.

K 48/$Z^{s}$ μέρμερα: μερίμνης ἄξια (=$A^{ti}$G), χαλεπά. ZYQX

K 48/$Z^{s}$ ⟨ἐπ' ἤματι:⟩ ἰῶ ἤματι Z | ἐν μιᾶι ἡμέραι. ZYQX

ἐπ' ἤματι $YQX^{\lambda}$, ἰῶ ἤματι (= T 59/60) pro lemmate Z, om. YQX ||

K 48/$Z^{s}$ μητίσασθαι: ἐργάσασθαι (=$G^{i}$) νῦν. ZYQX cf Γ 416𝔇 "βουλεύσομαι, μηχανήσομαι".

K 50/$Z^{s}$ οὔτε θεᾶς υἱός: προσληπτέον τὸ "ὤν". ZYQX ~$T^{i}$. $A^{td}$ λείπει "ὑπάρχων".

K 51/$A^{ti}$ ⌞φημὶ⌟ ὑπονοῶ. = B 248𝔇

K 52/$Z^{s}$ δηθά τε καὶ δολιχόν: ἐπὶ πολὺν καὶ μακρὸν χρόνον. ZYQX

K 52/$Z^{s}$ μήσατο: εἰργάσατο. $ZYQXA^{ti}$

K 53/$U^{m}$ ⌞ἀλλ' ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον⌟ τοὺς μὲν νεωτέρους φησὶν 'κάλεσον' προστακτικῶς, "τὸν δὲ Νέστορα ἐγὼ πείσω ἐξυπνῆσαι". cf T

K 54/$Z^{s}$ ῥίμφα: ταχέως. $ZYQXT^{r}$

K 54/$Z^{s}$ ἐπὶ νῆας: ἐπὶ τὰς ἐκείνων ναῦς. ZYQX

K 55/$Z^{s}$ ὀτρύνων (ὀτρυνέω Hom.): διὰ παρακλήσεως ¦ παρορμῶν (= B 588𝔇). ZYQXG

ὀτρυνέω (= Hom.)· ... παρορμῶ YQX ||

K 56/$Z^{s}$ ἱερὸν τέλος: ἤτοι μέγα ἢ ἀπηλλαγμένον τῶν λοιπῶν ἔργων. τέλος δὲ ¦ τὸ τάγμα (=$A^{ti}T^{r}$). ZYQXG ~ Ak-Gloss. ὅτι ... | σημαίνει δὲ πλείονα ἡ λέξις (sc. τέλος)· ποτὲ μὲν τὸ τάγμα, ὡς ἐνθάδε, ποτὲ δὲ τὸ τοῦ συμπεπληρωμένου πράγματος ἢ ἔργου τέλος, ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φοιτῶσαν ταῖς πόλεσιν πρόσοδον, ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα, ὡς ἔστιν εὑρεῖν παρά τε Θουκυδίδηι καὶ Ξενοφῶντι, ποτὲ δὲ τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδωι (fr. 639 N.[2])·

'μάτην γὰρ οἴκωι cὸν τόδ' ἐκβαίη τέλοc', καὶ Δημοcθένηc ἐν τοῖc Φιλιππικοῖc (6, 30)· 'Χειρόνηcον δὲ ἐν τοῖc ἑαυτοῦ τέλεcιν διορύξει', ποτὲ δὲ τὴν ἑορτὴν ὡc Εὐριπίδηc ἐν Μηδείαι (1382)· 'cεμνὴν ἑορτὴν καὶ τέλοc προcάψομεν'. ZYQXAIG

1 ⟨καὶ⟩ τὸ τάγμα QX ‖ 2 πλείονα ZYA : πολλὰ QX ‖ 3 ἐνθάδε ZYA : ἐνταῦθα QX ‖ 3 πράγματοc L (~ A 343𝔇) : τάγματοc ZYQXA ‖ 5 cf sch. Thuc. 2,10,3 (ἐν τέλει) τέλη τὰ ἀξιώματα καὶ οἱ ἄρχοντεc ‖ 6 τὸ δαπάνημα, ποτὲ δὲ τὴν ἑορτὴν καὶ τὸ τέλοc QX omissis cett. ‖

↑ K 56/$U^m$ 'τέλοc' cημαίνει $\overline{ϛ}$· τὸ τᾶγμα, τὸ πεπληρωμένον ἔργον, τὴν πρόcοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, καὶ τὴν ἑορτήν. $U^m$ = $G^s$, ~ Ak

K 57/$Z^s$ πιθοίατο: πειcθεῖεν. (ZY πειθοίατο) QX

K 57/$Z^s$ τοίου (τοῖο Hom.): τοιούτου. (Z τούτου!) Y ≃ H 211𝔇

↑ K 57/$Q^s$ τοῖο γάρ: τούτου (= A 380𝔇) γάρ. $QXT^r$

K 58/$Z^s$ cημαίνει: προcτάττει (=$T^r$), ἄρχει. ZYQX

K 59/$Z^s$ ἐπετράπομεν: ἐπετρέψαμεν, ἐξουcίαν δεδώκαμεν. ZYQX

K 62/$Z^s$ αὖθι: αὐτόθι· ἐν τοῖc φύλαξιν. ZY

K 62/$Z^s$ δεδεγμένοc: περιμένων. ZYQX

K 63/$Z^s$ ἠὲ θέω: ἢ δράμω. ZY

K 63/$Z^s$ μετά c' αὖτιc: ἐπὶ cὲ πάλιν εὐθέωc ἔλθω. ZYQX

K 63/$Q^s$ ἐπὴν εὖ τοῖc ἐπιτείλω: ἐπειδὰν αὐτοῖc καλῶc ¦ προcτάξω (≃ Δ 64𝔇). QX

K 65/$Z^s$ μεῖναι (= ζ 295, μένειν Hom.): ἀντὶ τοῦ "μένε"· ἀπαρέμφατον ἀντὶ προcτακτικοῦ. Z ~ Ak ὅτι ...

K 65/$Z^s$ ἀβροτάξομεν: διαμαρτήcωμεν, ἀλλήλων ¦ ἀποτύχωμεν (=$A^{ti}T^r$)· ZYQX | ὃ τινὲc διαμφοδῆcαι φαcίν. Z(QX διαμαρτήcομεν)

K 67/$U^m$ φθέγγεο) ἵνα μὴ δοκῆι πολέμιοc εἶναι, ἀλλὰ ἀπὸ φωνῆc γνωρίζοιτο (~G). καὶ γὰρ τοῦτο λέγει Νέcτωρ· 'φθέγγεο μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο' (K 85).

K 67/$Z^s$ ἧι κεν ἴηcθα: ἔνθα ἂν πορευθῆιc. ZYQX =$A^{ti}$. $T^r$ ὅπου.

K 67/$Z^s$ ἐγρήγορθαι: ἐγρηγορέναι. ZYQX $A^{ti}$ καὶ ἐγρηγορέναι κελεύει. $T^r$ Αἰολικόν

ἐγρήγορθαι Y / ἐγρηγόρθαι $QX^λ$ = vv.ll. Hom., ἐγρηγόρτει $Z^λ$ ‖

K 67/$Z^s$ ἄνωχθι: κέλευε. ZYQX $A^{ti}$. $T^r$ μεταπλαcμόc· "ἄνωγε" γὰρ ἦν.

K 68/$Z^s$ (πατρόθεν ἐκ γενεῆc ὀνομάζων) πατρόθεν ἐκ γενεῆc: ἐκ πατρώιου γένουc, ZYQX | ἢ ἀπὸ προγόνων. ZQX

K 68/$U^m$ δυcωπεῖ γὰρ ταῦτα· ὑπόμνηcιc προγονικῆc ἀρετῆc καὶ πατέρων πράξειc ἐπαινούμεναι ⟨ * * * ⟩ ἀλλὰ καθαιρετικὸν τῆc αὐτῶν εὐγενείαc. $U^m$ = $A^s$

1 πράξειc A : τάξειc U ‖ 2 ⟨τὸ μὴ καὶ αὐτὸν εἶναι μιμητὴν ἐκείνων⟩ A ‖

K 69/$Z^s$ μηδὲ μεγαλίζεο θυμῶι: μὴ ¦ ἐπαίρου τῆι διανοίαι (=$T^r$) δι' ὑπερηφανίαν. $ZYQXA^{ti}I^i$

μεγάλιζε $Z^λ$ ‖ 1 μὴ ZY : μὴ δὲ $QXA^t$ ‖ δι' ὑπερηφανίαν om Y ‖

K 70/$Z^s$ πονεώμεθα: κακοπαθῶμεν, ἐνεργῶμεν. ZYQX

K 71/$Z^s$ γεινομένοιcι: γεννωμένοιc. ZYQX

↑ K 71/$U^m$ τὸ 'ἐπὶ γεινομένοιcιν' ἀντὶ τοῦ ἀναφυομένοιc καθ' ἑκάcτην κακοῖc πράγμαcιν.

↑ K 71/$A^{ti}$ τοῖc ἀεὶ ἀναφυομένοιc πράγμαcιν ἔπεμψεν.

K 71/$Z^s$ ἵει: ἐπέπεμψε. Z(Y$T^r$ ἔπεμψεν) (QX ἔπεμπεν)

K 71/$Z^s$ κακότητα: κακοπάθειαν, δυcτυχίαν, βλάβην. ZYQX

K 75/$Z^s$ ἔντεα: ὅπλα. παρὰ τὸ ἐντὸc αὐτῶν εἶναι τὸν φοροῦντα. $ZYQXA^{ti}G$

K 77/$U^s$ ἰcτέον ὅτι οὐ ταὐτὸν ζῶμα καὶ 'ζωcτήρ'. ¦ ζῶμα μὲν γάρ ἐcτι τὸ περιαπτόμενον τῆc μίτραc, ζωcτὴρ δὲ τὸ προcαπτόμενον κατὰ τὰ ἄκρα τοῦ θώρακοc κατὰ τὴν ὀcφὺν πρὸc τὰ κάτω (~G). τὸ δὲ 'παναίολοc' ἀντὶ τοῦ λάμπων τιc κεῖται. U(I ἀπὸ τῆc ὀcφύοc) ~ Ak

K 79/Z$^{s}$ ἐπεὶ οὐ μὲν ἐπέτραπε γήραϊ λυγρῶι: ἐπεὶ ἡ πολλὴ αὐτοῦ προθυμία οὐδὲ τῶι γήραι ἄνεσιν ἐδίδου, ¦ τουτέστιν οὐδὲ ὑπὸ τοῦ γήρως ἐνικᾶτο (=A$^{ti}$ ~T$^{s}$). ZYQX I$^{i}$G ~ U$^{m}$. A$^{td}$ οὐκ ἐ⟨νε⟩δίδου διὰ τὸ γῆρας.

μὲν ZY$^{\lambda}$ / μιν QX$^{\lambda}$ = vv.ll. Hom. || ἐπέτρεπε / ἐπέτραπε vv.ll. Hom. || 3 ἐ⟨νε⟩δίδου Cobet ||

K 80/U$^{s}$ ⸤ὀρθωθεὶς δ' ἄρ ἐπ' ἀγκῶνος⸥ τινὲς "ἐπὶ τοῦ ἀγκῶνος ἐπάρας καὶ ἐπιβαστάξας τὴν κεφαλὴν αὐτοῦ"· τὸ γὰρ ὀρθωθῆναι οὐκ ἐπὶ τῶν ποδῶν τάττει (~ Ni). ὀλιγόϋπνοι δὲ οἱ γέροντες καὶ διὰ τὸν καιρὸν καὶ διὰ τὸ γῆρας. UI

K 81/Z$^{s}$ ἐξερέεινεν (ἐξερεείνετο Hom.): ἀνηρώτα. ZYQX ≃ κ 14𝔇

K 83/Z$^{s}$ ὀρφναίην: σκοτεινήν. ZYQXA$^{ti}$

K 84/Z$^{s}$ οὐρήων: ἡμιόνων (≃ A 50𝔇). νῦν δὲ ¦ φυλάκων (=A$^{ti}$T$^{r}$). ZYQX ~ Ak ὅτι ...

K 88/U$^{m}$ ⸤γνώσεαι⸥ ἅμα τῆι ἐπικλήσει τῶν συμφορῶν τὸ πάθος ἐπήνεγκεν. U$^{m}$ ~T$^{s}$G

K 89/Z$^{s}$ Ζεὺς ἐνέηκε ⸤πόνοισι⸥ διαμπερές: ὃν ὁ Ζεὺς τῆι κακοπαθείαι ἐνέβαλεν μέχρι τέλους. ZY(QX ὃν om) A$^{ts}$I$^{i}$

K 89/Z$^{s}$ εἰς ὅ κ' ἀϋτμή: ἕως οὗ ἡ ἀναπνοή (=A$^{ti}$), ὅ ἐστιν ἡ ζωή, καὶ τὰ γόνατά μου ἰσχύηι καὶ ἔρρωται. ZI$^{i}$(YG ἰσχύει) (QX πνοὴ)

K 91/Z$^{s}$ πλάζομαι: οὐδὲν ἑστηκὸς διανοοῦμαι, πλανῶμαι κατὰ τὴν γνώμην, οἱονεὶ ἀπορῶ, ὅπως χρήσομαι τοῖς παροῦσι πράγμασιν. 1 ἑστηκὸς Y : ἑστηκὼς ZQXAI$^{i}$G.

K 91/U$^{m}$ ⸤πλάζομαι⸥ πλανῶμαι φησὶν ἐπὶ διανοίας καὶ ἐξίσταμαι.

K 92/Z$^{s}$ ἱζάνει: ἐπιπίπτει, (Z ἐπιπτεῖ) Y(Q ἐκπίπτει) X | ἔπεισιν. Z

K 94/Z$^{s}$ ἀλαλύκτημαι: τεθορύβημαι (=T$^{r}$), ἠπόρημαι. ZYQX

† K 94/A$^{ti}$ ⸤ἀλαλύκτημαι⸥ ἐν ἄληι καὶ πλάνηι εἰμί, ἀδημονῶ, ἐκπέπληγμαι. cf X 70𝔇 ἀλύσσοντες· ὑπὸ πλησμονῆς ἀλύοντες, οἷον ἐν ἄληι ὄντες.

K 95/Z$^{s}$ ἐκθρώσκει: ἐξάλλεται, ἐκπηδᾶι. ZYQX

K 96/Z$^{s}$ δραίνεις: ἐπινοεῖς, δρᾶσαι δύνασαι. ZYQXA$^{ti}$T$^{r}$G$^{i}$

K 96/U$^{m}$ τὸ 'δραίνεις' ἀντὶ τοῦ ἀγρυπνεῖς, ¦ ἵνα μὴ δόξηι ἐμποδίζειν πρὸς τὸν ὕπνον τῶι γέροντι (=G). U$^{m}$ ~T$^{s}$

K 97/Z$^{s}$ καταβείομεν: κατέλθωμεν. (Z καταβείωμεν$^{\lambda}$) YQX

K 98/Z$^{s}$ καμάτωι ἀδηκότες: ὑπὸ κόπου ἀηδῶς διακείμενοι, ὀκνήσαντες. ZY(QX ὑπὸ τοῦ κόπου) A$^{ti}$G ~ ApS 9,9

K 98/Z$^{s}$ ὕπνωι: τῆι ἀγρυπνίαι. ZYQX

K 99/Z$^{s}$ ἐπὶ πάγχυ λάθωνται: παντελῶς (=A$^{ti}$) ληθαργήσωσιν. ZYQX

ληθαργήσουσι QX (sch. Pind. N. 6,30) ||

K 100/Z$^{s}$ δυσμενέες: πολέμιοι. ZYQX. A$^{ti}$ οἱ δὲ πολέμιοι.

K 100/Z$^{s}$ σχεδὸν εἵαται: ἐγγὺς (=T$^{r}$) κάθηνται (=A$^{ti}$), πλησίον εἰσίν. ZYQX

K 100/Z$^{s}$ οὐδέ τι ἴδμεν μή πως καὶ διὰ νύκτα καὶ τὰ ἑξῆς: τοῦτο πρόσκαιρον εἴρηκεν ὁ 'Αγαμέμνων ἕνεκα τοῦ ἐκπλῆξαι τὸν Νέστορα, ἐπεί τοι οὐκ ἦν ἔθος αὐτοῖς νυκτὸς πολεμεῖν. ZU$^{m}$I$^{m}$(YQXAG πρὸς καιρὸν)

K 101/Z$^{s}$ μενοινήσωσιν: προθυμηθῶσιν. ZYQX. A$^{ti}$ προθυμήσωσι.

K 104/Z$^{s}$ οὔ θην: οὐδαμῶς δή. ZYQXA$^{ti}$

K 104/U$^{m}$ ⸤οὔ θην Ἕκτορι .. ἐκτελέει⸥ ἐκ προοιμίων ἀνακτᾶται καταπτήξαντα τὸν βασιλέα. U$^{m}$ ~T$^{s}$

K 105/Z$^{s}$ ἐέλπεται: ἐλπίζει. ZYQX

K 106/A$^{ti}$ ⸤κήδεσι⸥ ταῖς φροντίσι. ≃ Ψ 160𝔇

K 106/Z$^{s}$ μοχθήσειν: ταλαιπωρήσειν, ¦ κακοπαθήσειν (=A$^{ti}$). ZYQX. T$^{r}$ κακοῖς ἐνταλαιπωρεῖν.

K 106/U$^{m}$ ('Αχιλλεὺς) οἶδε γὰρ ὅτι διὰ τὸν 'Αχιλέα ὁ Ζεὺς ἐπεβοήθει τῶι Ἕκτορι.

K 108/Z$^{s}$ ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους: πρὸς τούτους δὲ καὶ τοὺς ἄλλους ἐγείρωμεν. ZYQXA$^{ti}$I$^{i}$

προτὶ Z$^{\lambda}$, ποτὲ Y$^{\lambda}$ || 1 τούτοις A$^{t}$ || 1-2 ἐγείρωμεν YQX : ἐγείρομεν ZA$^{ti}$ ||

K 109/Y$^{s}$ δουρικλυτός (δουρικλυτόν Hom. = QX$^{\lambda}$): ἔνδοξος περὶ τὸ δόρυ, πολεμικός (= Π 26𝔇). Y(QX ἔνδοξον περὶ τῶι δόρατι)

K 110/Z$^{s}$ Αἴαντα ταχύν: τὸν Ὀϊλέως (=T$^{r}$). καὶ γὰρ ἐν ἄλλοις φησὶν 'πλείστους δ' Αἴας εἷλεν Ὀϊλῆος ταχὺς υἱός· Z(YQXI$^{m}$G ταχὺς αἴας = N 67) | οὐ γάρ οἵ τις ὅμοιος ἐπισπέσθαι ποσὶν ἦεν ἀνδρῶν ἡρώων' (Ξ 520-2). ZI$^{m}$

K 110/Z$^{s}$+Q$^{s}$ Φυλέος υἱόν: τὸν Μέγητα. ZYQXA$^{td}$T$^{r}$ | ⌊Φυλέος⌋ τὸ $\overline{\text{ος}}$ μικρὸν διὰ τὸ μέτρον. QX cf E 531/Q$^{s}$ ⌊σόοι⌋ "τὸ $\overline{\text{ω}}$ μικρὸν διὰ τὸ μέτρον".

K 111/Z$^{s}$ μετοιχόμενος: ἐπ' αὐτοὺς ἐπελθών. (Z ἀπελθών )YQX

K 112/Z$^{s}$ ἀντίθεόν ⌊τ'⌋ Αἴαντα: τὸν Τελαμῶνος. ZYQXG$^{i}$

K 113/Z$^{s}$ ἑκαστάτω: πορρωτάτω. ZYQXA$^{ti}$T$^{i}$

K 114/A$^{ti}$ ⌊αἰδοῖον⌋ αἰδοῦς ἄξιον. ≃ Γ 172𝔇

K 115/Z$^{s}$ νεικέσω: κακολογήσω. ZYQX

K 115/Z$^{s}$ οὐδ' ἐπικεύσω: καὶ οὐκ ἀποκρύψω. ZYQX. A$^{ti}$ οὐδὲ ἀποκρύψω.

K 116/Z$^{s}$ ὡς εὕδει: ὅτι καθεύδει. ZYQX

K 116/Z$^{s}$ ἐπέτρεψεν: ἐπίστευσεν. ZYQX

K 116/Y$^{s}$+Z$^{s}$ πονέεσθαι: ἐνεργεῖν, YQX ≃ E 84𝔇 | κάμνειν. ZYQX

K 117/Z$^{s}$+Q$^{s}$ ὄφελεν: ὤφειλεν, Q(ZYX ὄφελλεν ZYX$^{\lambda}$ = A 353𝔇) | ἔπρεπεν. Q

K 118/Z$^{s}$ οὐκέτ' ἀνεκτός: ἀνυπομόνητος. ZYQXA$^{ti}$

K 120/Z$^{s}$ ἄλλοτε: ἐν ἄλλωι καιρῶι. ZYQXG

K 120/Z$^{s}$ αἰτιάασθαι: μέμφεσθαι.(Z)YX (Q αἰτιάσασθαι)

K 121/Z$^{s}$ μεθίει: ἀμελεῖ. ZYQX

K 122/Z$^{s}$ ὄκνωι εἴκων: ὀκνῶν. ZYQX

K 122/Z$^{s}$ ὄκνωι: ῥαθυμίαι, φόβωι. ZQX

K 122/Z$^{s}$ οὔτ' ἀφραδίηισι νόοιο: οὔτε ἀσθενείαι λογισμοῦ, ¦ ὅ ἐστιν οὔτε ὡς ἀσύνετος (=G). ZYQXI$^{i}$

1 λογισμῶι Z || ὡς ἀσύνετος Z : ἀσύνετός ἐστιν YQX ||

K 123/U$^{s}$ ⌊ἀλλ' ἐμέ τ' εἰσορόων⌋ φιλοφρόνως οὔτε τὸν Νέστορα συκοφάντην ἐποίησεν οὔτε τὸν Μενέλαον ἀργόν (~G). ἅμα δὲ καὶ τὸν φιλάδελφον ἐμφανίζει καὶ "ὅτι πάντα ὑπὲρ αὐτοῦ ποιῶ κἀκεῖνος ⟨ἐκ⟩δέχεται τὴν ἐμὴν ὁρμήν, ὡς δεῖ νεώτερον ἀδελφόν". UIA

K 124/Z$^{s}$ ἐμεῖο (ἐμέο Hom.): ἐμοῦ. ZYQ = A 259𝔇

K 124/Z$^{s}$ ἐπέγρετο: ὑπηγέρθη, διύπνισεν. Z(YQX ἐπηγέρθη)

K 125/Z$^{s}$ καλήμεναι: καλεῖν. ZYQX

K 125/Z$^{s}$ μεταλλᾶις: ἐπιζητεῖς. ZYQX

K 127/Z$^{s}$ ἵνα γάρ σφιν: ἐκεῖ (=A$^{ti}$) γὰρ αὐτοῖς. ZYQX

K 127/Z$^{s}$ ἐπέφραδον: εἶπον. ZYQXA$^{ti}$

K 133/Z$^{s}$ περονήσατο: πόρπηι συνέλαβεν (=T$^{r}$), ἐνεπορπώσατο (=G). 'φοινικόεσσαν' δὲ ¦ πυρρὰν τῶι χρώματι (=T$^{r}$G$^{i}$). ZYQXI$^{i}$. A$^{ti}$ περόνηι ἀνελάβετο | πυρράν.

1 lemma 'φοινικόεσσαν' pro δὲ YQX ||

K 134/Z$^{s}$ διπλῆν ἐκταδίην: τὴν μεγάλην, ὥστε καὶ διπλῆι αὐτῆι χρώμενον ἔχειν ¦ ἐκτεταμένην (=A$^{ti}$). ZYQXG

K **/Z$^{s}$ προτροπάδην (Π 304𝔇): προθύμως. ZYQX cf A 150𝔇 πρόφρων· προθύμως.

K 134/Z$^{s}$ οὔλη: τρυφερά, (ZYQX οὐλὴ$^{\lambda}$) T$^{r}$G$^{i}$ | ἁπαλή. Z(YQ ἢ ἁπαλή) A$^{ti}$I$^{i}$G$^{i}$

K 134/Z$^{s}$ ἐπενήνοθεν: ἐπήνθει, ἐπέκειτο. 'λάχνη' δὲ ἡ δασύτης, ἡ κροκύς. ZYQXI$^{i}$

1 lemma 'λάχνη' pro δὲ YQX || κρόκυς Z ||

K 135/Z$^{s}$ ἄλκιμον: ἰσχυρόν, εὔτονον ἢ πρὸς τὸ ἀλέξασθαι πεποιημένον. ZYQXI$^{i}$G*

K 137/Y$^{s}$ πρῶτον ἔπειτ' Ὀδυσῆα: πρῶτον μετὰ ταῦτα τὸν Ὀδυσσέα. YQX

K 137/U$^{m}$ ⌊πρῶτον ἔπειτ' Ὀδυσῆα .. ἀνέγειρε Γερήνιος⌋ ὁ Νέστωρ αὐτὸν ἐγείρει. οὐ γὰρ δεῖ βασιλέα παρόντος ἐλάττονος ὑπηρετεῖν.

K 139/$Z^{s}$ περὶ φρένας ἤλυθ' ἰωή: οἱονεὶ ἤισθετο τῆς φωνῆς (=$U^{m}$) καὶ ἤκουσεν. Z(YQX καὶ om)

K 141/$Z^{s}$ ἀλᾶσθε: πλανᾶσθε. ZYQX

K 142/$Z^{s}$ ἵκει: καταλαμβάνει. (post 158) ZYQX

↑ K 142/$Y^{s}$ ὅ τι δὴ χρειὼ τόσον ἵκει: ὅτι τοσαύτη χρεία κατέλαβεν. YQX

K 142/$U^{m}$ πευστικὸν τὸ 'ὅτε' (ὅ τι Hom.). δεῖ γὰρ ἀνατεταμένηι φωνῆι ταῦτα προφέρεσθαι.

K 145/$Z^{s}$ βεβίηκε: βεβίασται, συγκρατεῖ. ZYQX. $A^{ti}$ βιάζεται.

βεβίηται $ZYQX^{\lambda}$ = v.l. Π $22^{\lambda}$ || συγκροτεῖ QX ||

K 149/$Z^{s}$ μετ' αὐτούς: σὺν αὐτοῖς. ZYQX

K 150/$Z^{s}$ ⟨ἐκίχανον:⟩ ἵκανον (= K 562), κατελάμβανον. ZYQX ≃ B 18𝔇

K 151/$Z^{s}$ ἐκτὸς ἀπὸ κλισίης: ἔξωθεν τῆς σκηνῆς. ZYQ

K 152/$Z^{s}$ ὑπὸ κρασίν: ὑπὸ ταῖς κεφαλαῖς. $ZYQXA^{ti}$

K 153/$Z^{s}$ ὄρθ' ἐπὶ σαυρωτῆρος: ὀρθὰ ἐπὶ ¦ τοῦ κρόσφου (=$T^{r}$). οὕτω γὰρ καλεῖται τὸ ἀντικείμενον τῆς ἐπιδορατίδος σίδηρον. $ZYQXI^{i}$

1 κρόσου Z, i.e. γρόσφου ≃ Plb. 6,22,4 || 2 σίδηρον Z : σιδηροῦν Y, σιδήριον QX ||

↑ K 153/$U^{s}$ 'σταυρωτήρ' τις ὢν ὁ ἱστῶν ὄρθιον τὸ δόρυ. ἔστι δὲ τὸ συμβαλλόμενον τῶι κάτω μέρει τοῦ δόρατος σιδήρ⟨ι⟩ον ὅμοιον τῆι ἐπιδορατίδι, μὴ ἠκονημένον δέ. UI

K 153/$Z^{s}$ ἐλήλατο: ἐπεπήγει, ¦ ἵστατο εἰς τὴν γῆν (=$A^{ti}$). $ZYQXI^{m}G$

K 155/$Z^{s}$ ὑπὸ δ' ἔστρωτο: ὑπέστρωτο δέ. ZYQX

K 155/$Z^{s}$ ῥινόν: βύρσα. 'ἀγραύλοιο' δὲ ¦ τοῦ ἐν ἀγρῶι αὐλιζομένου (= $A^{td}G$). ZYQX

lemma 'ἀγραύλοιο' pro δὲ QX || ἐν : ἐπ' $A^{t}$ ||

K 156/$Z^{s}$ ὑπὸ κράτεσφι: ὑπὸ τῆι κεφαλῆι. $ZYQXA^{ti}$

K 156/$Z^{s}$ τετάνυστο: ὑπέκειτο. ZYQX

K 158/$Z^{s}$ λὰξ ποδὶ κινήσας: τῶι 'λάξ', τῶι ποδὶ κινήσας. ZYU | εὐτόνως τῶι μεγάλωι δακτύλωι τοῦ ποδὸς τοῦ κοίλου μέρους ἁψάμενος τοῦ Διομήδους ποδός· ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων (=I)· 'ὤτρυνέ τε νείκεσέ τ' ἄντην'. ZYQXUG. $Y^{m}$ τῶι ὑποκάτω τῶν δακτύλων μέρει. = $T^{i}$

K 159/$Z^{s}$ ὕπνον ἀωτεῖς: ἀπανθίζηι (=$T^{r}$) τὸν ὕπνον. ἐκ δὲ τούτου καθεύδεις. $ZYQXI^{i}$~G

K 159/$A^{ts}$ ⌊ὕπνον ἀωτεῖς⌋ ἀπανθίζει παρὰ τὸ ἄωτον, ὅ ἐστιν ἄνθος· ἢ κοιμᾶι, παρὰ τὸ ἀέσαι τὸ κοιμᾶσθαι. ~ ApS 50,16)

K 160/$Z^{s}$+$Q^{s}$ οὐκ ἀίεις: οὐκ αἰσθάνηι, $ZYQXA^{ti}$ | οὐκ ἀκούεις. QX ≃ α 298𝔇, O 130𝔇

K 160/$Z^{s}$ ἐπὶ θρωσμῶι πεδίοιο: τόπος ἐστὶν ὑψηλὸς ἐν τῶι πεδίωι πρὸ τῆς Ἰλίου, ὃς ὀνομαστικῶς καλεῖται Θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη (Y 53), ὧι στρατοπέδωι ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο (Λ 56). $ZYQXAUIGT^{r}$

2 ὀνοματικῶς AU || θομσμός Z ||

K 161/$Z^{s}$ ὀλίγος χῶρος: μικρὸν διάστημα. $ZYQXA^{ti}I^{i}G^{i}$

K 161/$Z^{s}$ ἐρύκει: διείργει, ¦ κωλύει (=$A^{ti}$). $ZYQI^{i}$

K 164/$Z^{s}$ σχέτλιος: δεινὸς ἢ σχετλιασμοῦ ἄξιος· ἀγνώμων ἢ καρτερικώτατος. Z(Y εὐγνώμων) ($QI^{i}G$ $ἢ^{2}$ om)

K 167/$Z^{s}$ ἀμήχανος: ἀπροσμηχάνητος, πρὸς ὃν μηχανὴν οὐκ ἔστιν εὑρεῖν (=$I^{i}$). ἢ ἀκοπίαστος καὶ πρὸς πάντα ἕτοιμος. ZYQAG. $A^{ti}$ πρὸς ὃν οὐκ ἔστι μηχανή.

2 κακοπίαστος YQ || πρὸς πάντας οὐχ ἕτοιμος Q ||

K 167/$U^{i}$ ⌊ἀμήχανος⌋ ἀνίκητος· πρὸς ὃν οὐδὲ τὸ γῆρας δύναταί τι μηχανήσασθαι.

K 169/$Z^{s}$ κατὰ μοῖραν: κατὰ τὸ προσῆκον, κατὰ τρόπον. ZYQ

τρόπον Z : τὸ πρέπον YQ ut A 286𝔇, q.v. ||

K 173/$Z^{s}$ ἐπὶ ξυροῦ ἵϲταται ἀκμῆϲ: ἀντὶ τοῦ τὰ πράγματα ἡμῶν τριχὸϲ ἤρτηται, ὅ ἐϲτιν ἐν ἐϲχάτωι κινδύνωι. ἔϲτιν καὶ ¦ ἐπὶ ὀξύτητοϲ τοῦ κινδύνου (=$T^{r}$) μεταφορικῶϲ. ZYQA~$U^{m}$G

K 174/$Z^{s}$ βιῶναι: ϲωθῆναι, ζῆϲαι. ZYQX$A^{ti}$

K 177/$A^{ti}$ ⌞ἑέϲϲατο⌟ περιεβάλετο. = H 207𝔇

K 182/$U^{m}$ ⌞εἵαται⌟ καθέζονται μέν, ἵνα μὴ ἡ ἀνάκλιϲιϲ ὕπνον ἐμποιήϲηι, οὐχ ἵϲτανται δέ, ἵνα μὴ πρὸ τῆϲ χρείαϲ κάμωϲιν. $U^{m}$ = $A^{s}$

K 182/$Z^{s}$ ἐγρηγορτί: ἐγρηγορότεϲ. (Z ἐγρηγορτεί$^{\lambda}$) Y(QX ἐγρηγόρωϲ) $A^{ti}$

K 183/$Z^{s}$ δυϲωρήϲονται: δυϲφυλακτήϲουϲιν, κακὴν φυλακὴν καὶ νύκτα διαγάγωϲιν. Z(Y δυϲφυλακτήϲωϲιν) QX$I^{i}$G ~ ApS 60,26

K 184/$Z^{s}$ θηρόϲ: λέοντοϲ. 'κρατερόφρονοϲ' δὲ ἰϲχυροῦ, τολμηροῦ. ZYQX

lemma 'κρατερόφρονοϲ' pro δὲ QX ||

K 184/$Z^{s}$ ἀκούϲαντεϲ: αἰϲθόμενοι. λείπει "φωνῆϲ". ZYQX ($U^{m}$ ἢ αἰϲθόμενοι φωνῆϲ, ἢ ἀκούϲανεϲ)

K 188/$Z^{s}$ νύκτα: ἀντὶ τοῦ "διὰ νυκτόϲ". ZYQX$G^{i}$

K 188/$Z^{s}$ φυλαϲϲομένοιϲι: ἀντὶ τοῦ "φυλαϲϲόντων". ZYQX ~$T^{i}$, Ak ὅτι ...

K 189/$Z^{s}$ τετράφατο: τετραμμένοι ἦϲαν καὶ ἀπέβλεπον (=$T^{r}$) εἰϲ τὸ πεδίον. ZYQ$I^{i}$

K 189/$Z^{s}$ ⌞ὁππότ'⌟ ἐπὶ Τρώων ἀΐοιεν ἰόντων: ὅπωϲ ἂν ἐπιόντων τῶν Τρώων ἀκούϲωϲιν. (Z ἀκούϲωϲιν om) YX(Q ἀκούϲειαν)

↑ K 189/$U^{m}$ ⌞πεδίονδε ..⌟ τετράφαθ', ὁππότ' ἐπὶ Τρώων ἀΐοιεν ἰόντων) οὔπω οἱ Τρῶεϲ ἐληλύθαϲιν, ἀλλ' ἐπιτετραμμένοι ἦϲαν διὰ τὸν φόβον οἱ φύλακεϲ.

K 195/$Z^{s}$ ὅϲοι κεκλήατο βουλῆι: ὅϲοι κεκλημένοι ἦϲαν εἰϲ τὸ ϲυμβούλιον. ZYQX | ἡ διάλεκτοϲ 'Ιάϲ. ZY

K 197/$Z^{s}$ ἤϊϲαν: ἐπορεύοντο (=$A^{ti}$), ἤρχοντο. (Z ϊηϲαν$^{\lambda}$)YQX

K 197/$Z^{s}$ ϲυμμητιάαϲθαι: κοινῆι γνώμηι ϲκέψαϲθαι ZYQXG | καὶ βουλεύεϲθαι. ZY$A^{ti}$

K 198/$U^{s}$+$Z^{s}$ τάφρον δ' ἐκδιαβάντεϲ: τὴν τάφρον διαβαίνουϲιν ἵνα μὴ θόρυβοϲ ἐν τῶι ϲτρατοπέδωι γένηται. U~I | διὰ τῶν προθέϲεων δηλοῖ τὸ δυϲδιάβατον τοῦ ὀρύγματοϲ. ¦ διὰ τί δέ φηϲιν, οἱ ἡγεμόνεϲ τὴν τάφρον διαβάντεϲ βουλεύονται; φαμὲν δέ, ὅτι τοῦτο ποιοῦϲιν εἰϲ εὐθυμίαν τῶν καταϲκόπων, ἵνα ἀφοβώτεροι γίνονται ἐγγὺϲ αὐτῶν ὄντων (~G). ZYQXU (~ A ad 194)

3-5 διὰ τί ... ποιοῦϲιν : ἢ U || 4 εὐθυμίαν ZYA : ἐπιθυμίαν QX, παραμυθίαν L || ἀφοβώτεροι ZY(A) : ἀμφότεροι QX, προθυμότεροι L || 5 γίνονται Z : γένωνται YQX, τυγχάνωϲιν U ||

K 198/$Z^{s}$ ἑδριόωντο: ἐκαθέζοντο. ZYQX

K 199/$U^{m}$ ⌞ἐν καθαρῶι, ὅθι δὴ νεκύων διεφαίνετο χῶροϲ⌟ τὸ πλῆθοϲ τῶν τεθνεώτων δηλοῖ, ὅτι πολὺϲ ὁ ἐπέχων τοὺϲ νεκροὺϲ τόποϲ, ὀλίγοϲ δὲ ὁ καθαρόϲ.

K 202/$Z^{s}$ πίφαυϲκον: ἐνεφάνιζον, ¦ ἔλεγον (=$A^{ti}$). ZYQXA

K 204/$Z^{s}$ πεπίθοιτο: πειϲθείηι. (Z πεπείθοιτο) YQX

K 204/$Z^{s}$ ἑῶι αὐτοῦ: τῶι ἰδίωι θυμῶι. ¦ Ὅμηροϲ δὲ οὐδέποτε ϲύνθετον ἀντωνυμίαν παραλαμβάνει (= $U^{m}$). ZYQXG (~ A 271/Hd)

K 205/$Z^{s}$ τολμήεντι: καρτερικῶι. ZYQX$A^{ti}$

K 206/$Z^{s}$ ἐϲχατόωντα: ἔϲχατον, ὑπολειπόμενον (=$T^{r}$), πεπλανημένον (=X) καὶ περὶ τὰ ἔϲχατα μέρη διατρίβοντα. (Z ἐϲχατόωντο$^{\lambda}$) YQ$I^{i}$

K 207/$Z^{s}$ φῆμιν: κληδόνα. ZYQX

K 207/$Z^{s}$ πυθοίατο (πύθοιτο Hom. = QX$^{\lambda}$): ἀκούϲοιεν, ¦ μάθοιεν (≃ A 257𝔇). ZYQX

1 ἀκούϲοιεν cf K 381𝔇 πεπύθοιτο· εἰ ἀκούϲοι ||

K 207/$Z^{s}$ εἴ τινά που καὶ φῆμιν ἐνὶ Τρώεϲϲι πύθοιτο: εἰώθαϲιν οἱ πολεμούμενοι φήμαϲ τινὰϲ λέγειν ἐν αὐτοῖϲ οἷον· Λακεδαιμονίων βουλευομένων, ποῖον χωρίον ἐπιτειχίϲωϲιν τῆϲ 'Αττικῆϲ, 'Αλκιβιάδηϲ ϲυνεβούλευϲεν πέμπειν εἰϲ 'Αθήναϲ καταϲκόπουϲ, οἵτινεϲ παραγενόμενοι ἤκουϲαν αὐτῶν τῶν 'Αθηναίων διαλεγομένων,

ὅτι τὴν Δεκέλειαν μέλλουϲιν ἐπιτειχίζειν οἱ πολέμιοι (cf Thuc. 6,91,6). καὶ οὕτωϲ Λακεδαιμόνιοι ἐπετείχιϲαν τὴν Δεκέλειαν. ZYQXAUIG

πάθοιτο $Z^{λ}$ || 2 ἑαυτοῖϲ QXAU || 3 ἐπιτειχίϲουϲι AU ||

K 208/$Z^{s}$ ἅϲϲα: ἅτινα δή. ZYQX

K 208/$Z^{s}$ μεμάαϲιν: προτεθύμηνται. ZYQX

K 209/$Z^{s}$ αὖθι: αὐτόθι. ZYQX

K 209/$Z^{s}$ ἀπόπροθεν: πόρρωθεν. ZYQX

K 212/$Z^{s}$ ἀϲκηθήϲ: ἀβλαβήϲ (=$T^{r}$), ὑγιήϲ· ZYQX$A^{ti}$ | ὄνομα. $A^{ti}$

K 212/$Z^{s}$ ὑπουράνιον (ἐπουράνιον Q$X^{λ}$ ≃ ρ 484): ἕωϲ οὐρανοῦ ἐξικνούμενον. ZYQX~G

K 213/$Z^{s}$ πάνταϲ ἐπ' ἀνθρώπουϲ: διὰ πάντων τῶν ἀνθρώπων. (ZY τῶν om) QX

K 213/$Z^{s}$ δόϲιϲ: δωρεά. ZYQX

K 214/$Z^{s}$ ἐπικρατέουϲιν: ἄρχουϲιν. ZYQX

K 215/$U^{s}$ ⸤ἕκαϲτοϲ ὄϊν δώϲουϲι μέλαιναν⸥ μέγα οὖν ἀριϲτεῖον παρὰ τῶν ἰδίων λαμβάνειν τί; καὶ εἰ μηδέν ἐϲτιν, ὅμωϲ μέγα ἐϲτίν, ἢ ὅτι μέγα ἐϲτὶ τὸ ἔχειν ἀγέλην μελαινῶν προβάτων, ¦ ϲύμβολον δὲ καὶ τῆϲ νυκτερινῆϲ πράξεωϲ (~ $A^{ti}$). καὶ διὰ τῆϲ γονῆϲ ἀείμνηϲτον ποιεῖ τὸ κλέοϲ. UI, ~$T^{s}$, cf 216𝔇 | ὅτι δὲ ἡ μὲν ἐπαγγελία ῥητή, τὸ δὲ ἀποτέλεϲμα κατὰ τὸ ϲιωπώμενον ἐκδέξαϲθαι. UI, ~ 216/$A^{s}$

K 216/$Z^{s}$ ὑπόρρηνον: ὕπαρνον, ἔγκυον (=$A^{ti}$, ~$T^{s}$). ῥῆνεϲ γὰρ οἱ ἄρνεϲ. ZYQX$I^{i}G^{i}$* ~ ApS 160,15

K 216/$Z^{s}$ τῆι μὲν κτέραϲ οὐδὲν ὁμοῖον: ἧϲ οὐδὲν ¦ κτῆμα (=$A^{ti}$) ὅμοιον διὰ τὴν πρᾶξιν. ZYQXA$I^{i}$ | διὰ τί δὲ μέλαινα καὶ ὑπόρρηνα ἐπαγγέλλεται τὰ πρόβατα; καὶ ῥητέον, ὅτι μέλαινα μὲν ἐπεὶ νυκτὸϲ ἐπορεύοντο. ¦ ὑπόρρηνα δὲ ϲυμβόλωι τινὶ αἰϲίωι, ἵνα ἔγκαρπον τὴν πορείαν ποιήϲωνται (~$T^{r}$). ZYQXUI(A 2 et 3 μέλανα)

K 217/$Z^{s}$ δαίτηϲιν: εὐωχίαιϲ. ZYQX

K 217/$Z^{s}$ εἰλαπίνηιϲι: ἑορταῖϲ (=$A^{ti}$), ὅτε κατὰ εἴλαϲ πίνωϲι. ¦ εἴρηται δὲ οὕτωϲ παρὰ τὸ ἔλαϲϲον ἄζεϲθαι τοὺϲ εὐωχοῦνταϲ, τουτέϲτι ταράϲϲεϲθαι (=G). ZQXA$I^{i}$

1 ἴλαϲ QX || οὕτωϲ om QX || 2 τουτέϲτι Z : ὅ ἐϲτι QXA ||

K 220/$Z^{s}$ ἀγήνωρ: ἄγαν ἀνδρεῖοϲ. ZQX

K 223/$Z^{s}$ θαλπωρή: ἡδονή (=$T^{r}$), θάλψιϲ. ZQX$A^{ti}$

K 223/$Z^{s}$ θαρϲαλεώτερον: εὐθαρϲέϲτερον, τολμηρότερον. ZQX

K 224/$Z^{s}$ ϲύν τε δύ' ἐρχομένω καί τε πρὸ ὃ τοῦ ἐνόηϲεν: ϲυνερχομένων (= Ak ὅτι ...) γὰρ δύο ὁμοῦ καὶ κοινῶϲ, ὁ ἕτεροϲ πρὸ τοῦ ἑτέρου ἐπενόηϲέν τι κοινωφελὲϲ καὶ ϲυμφέρον. ZQXIG~A

K 225/$Z^{s}$ κέρδοϲ: ὠφέλεια. ZQX

K 226/$Z^{s}$ βράϲϲων: βραδύτεροϲ, ἐλάϲϲων· ἢ ταραϲϲόμενοϲ καὶ ἀκαταϲτατῶν μεταφορικῶϲ. ZQX$T^{r}I^{i}$~G ~ Ak. $A^{ti}$ βραδύτεροϲ, ἢ ταραϲϲόμενοϲ.

K 226/$Z^{s}$ λεπτή: ἀϲθενήϲ. (Z λεϲβιή$^{λ}$) $T^{r}$ = Ψ 590𝔇

K 230/$Z^{s}$ περικλυτόϲ (δουρικλειτόϲ Hom.): ἔνδοξοϲ πάνυ. ZQX = A 607𝔇, cf K 109𝔇

K 231/$Z^{s}$ τλήμων: καρτερικόϲ. Z = K 498𝔇

K 235/$Z^{s}$ αἱρήϲεαι καὶ τὰ ἑξῆϲ: ἑταῖρον καὶ ¦ ϲυνεργὸν (= $T^{i}$) ἐπίλεξαι, ὃν ἂν θέληιϲ. ZQX$A^{ti}$

K 238/$Z^{s}$ ὀπάϲϲεαι: πρὸϲ τὸ ϲυνεργῆϲαι ἀκόλουθον παραλαβοῦ. Z(QX$I^{i}G^{i}$ ϲυνεργεῖν προϲλαβοῦ). $A^{ti}$ ἀκόλουθον παραλαβεῖν. $T^{r}$ προλάβηιϲ.

K 238/$Z^{s}$ αἰδοῖ εἴκων: νικώμενοϲ ὑπὸ τῆϲ αἰδοῦϲ. ZQX$I^{i}$

K 239/$Z^{s}$ βαϲιλεύτεροϲ: βαϲιλικώτεροϲ. 'γενεὴν' δὲ 'ὁρόων' ἀντὶ τοῦ ¦ εἰϲ τὴν εὐγένειαν ἀφορῶν (=$A^{ti}$). (Z ἀντὶ τοῦ om) QX

K 240/$Z^{s}$ ἔδδειϲεν: ἐφοβήθη. ZQX

K 242/$Z^{s}$ κελεύετέ μ'⸥ αὐτὸν ἑλέϲθαι: εἰ θέλετε ἐπιλέξαϲθαι ἐμέ. ZQXG

ἕλεϲθε Q$X^{λ}$ || .. ἐπιλέξαϲθε ZQX ||

K 243/$Z^s$ πῶϲ ἄν: πῶϲ δή. ZQX

K 244/$Z^s$ πρόφρων: πρόθυμοϲ ἢ προορατικόϲ. ZQX

K 246/$Z^s$ καὶ ἐκ πυρὸϲ αἰθομένοιο: ἀντὶ τοῦ αἴθοντοϲ, καίοντοϲ, ὅ ἐϲτιν ¦ "καὶ ἐκ τοῦ φανεροῦ" (=$A^{ti}$). $ZQXI^iG$

K 249/$Z^s$ μήτ' ἄρ': μήτε δή. ZQX

K 249/$Z^s$ αἴνεε: ἐπαίνει. $ZQXA^{ti}$

K 249/$Z^s$ νείκει: κακολόγει, ¦ ψέγε (=$A^{ti}$). ZQX

K 249/$Z^s$ μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει: δῆλόϲ ἐϲτιν ὁ ποιητὴϲ ἀρχὴν τοῦ ἀποφθέγματοϲ τῶι ϲοφῶι Πιττακῶι δεδωκὼϲ εἰπόντι τὸ "μηδὲν ἄγαν" (AP 9,366,5)· ἄλλο γὰρ οὐδὲν δηλοῖ τὸ τοῦ ποιητοῦ ἢ τοῦτο. ¦ ζητεῖται δὲ πῶϲ Ὀδυϲϲεὺϲ νῦν μὲν ἐπαινούμενοϲ ἄχθεται, παρὰ δὲ τοῖϲ Φαίαξι φίλαυχόϲ ἐϲτιν. ῥητέον ὅτι ἐνταῦθα μὲν παραιτεῖται τὸν ἔπαινον, ἐπεὶ προείληφεν ἡ γνῶϲιϲ, παρὰ δὲ τοῖϲ Φαίαξιν οὐδαμῶϲ ἀρνεῖται, ἵνα γνωϲθεὶϲ μᾶλλον τῆϲ ἐπανόδου τύχηι (= U). ZQXAIG

2 τῶι om QXA || pro Pittaco "Χίλων" G (= Aristot. Rhet. 2,12, 1389b2); prov. Greg. Cypr. Leid. 2,79 || 3 μὲν om QX || 4 δὲ om A || ῥητέον ‹δὲ› QXU ||

K 251/$Z^s$ ἄνεται: ἀνύεται (=$T^r$), τελειοῦται. $ZQXA^{ti}$

K 252/$Z^s$+$Q^s$+$U^s$ ἄϲτρα δὲ δὴ προβέβηκε, παρώιχηκεν δὲ πλέω νὺξ τῶν δύο μοιράων: κατὰ τὸ ἔτυμον οἷον ἄϲτατα, ὅθεν καὶ ἀϲτὴρ κέκληται παρὰ τὸ μὴ ϲτηρίζεϲθαι. ὁ δὲ λόγοϲ· "παρελήλυθε δὲ τῶν δύο μοιρῶν πλέον ἡ νύξ". ἢ ἐν ὑπερβατῶι· "ἄϲτρα δὲ δὴ προβέβηκε τῶν δύο μοιράων, παρώιχηκεν δὲ πλέω νύξ· τρίτη δὲ μοῖρα λέλειπται", δηλονότι ὅλον τὸ τρίτον μέροϲ. ὡϲ γὰρ πρὸϲ τὸ ὑπολειπόμενον τῆϲ τρίτηϲ μοίραϲ φηϲὶ τὸ 'πλέω'. ἔνιοι δὲ γράφουϲιν 'πλέη', ἀντὶ τοῦ "πλῆρεϲ τῶν δύο μοιρῶν παρώιχηκεν"· τριφύλακτον γὰρ θέλει εἶναι τὴν νύκτα. **ZQXUI** |

πλέω $ZX^{\lambda}$ : πλέων $Q^{\lambda}$ = vv.ll. Hom. || 3 ἡ τῶν δύο μοιρῶν πλείων νύξ QX(U semper πλέω) || 4 πλείω ZX, πλέων Q || τριτάτη δ' ἔτι μοῖρα QXU(I δέ τι) || 6 τὸ πλείω X, τῶ πλείω Z, τὸ πλέων Q ||

K 252/$Q^s$ ζητεῖται δὲ τί 'προβέβηκεν' δηλοῖ, καὶ ποῖα τὰ ἄϲτρα, ἐξ ὧν ϲτοχάζε-ται τὴν ὥραν Ὀδυϲϲεύϲ. τὸ γὰρ τῆϲ Ἄρκτου τοὺϲ ἀϲτέραϲ ἀκούειν ἁμάρτημα οὐκ ἐκ τῶν ἀεὶ φανερῶν, ἀλλ' ἐκ τῶν ἀνατελλόντων καὶ δυομένων τῆϲ ὥραϲ τεκμηριουμένηϲ καὶ νοουμένηϲ. ἔνιοι μὲν οὖν Πληϊάδαϲ φαϲὶ καὶ Ὑάδαϲ καὶ τὸν Ὠρίωνα καὶ τὸ προβεβηκέναι τὴν ἀνατολὴν ἑώιαν ποιεῖϲθαι, ἕτεροι δὲ τὸν ἕϲπερον καὶ τὸν κύνα, καὶ τὸ προβεβηκέναι ἑώαν ποιεῖϲθαι τὴν δύϲιν. ἄμεινον δὲ λέγειν, ὅτι ἐκ τοῦ κύκλου τοῦ ζωιδιακοῦ τὴν ὥραν κατέμαθον. τούτου γὰρ εἰϲ δώδεκα διηιρημένου ἓξ μὲν εὐθέωϲ καταδύοντοϲ ἡλίου βλέπεται, νυκτὸϲ δὲ προβαινούϲηϲ τὰ λοιπά, οὐ τὰ αὐτὰ μὲν ὁρώμενα, τὸν δὲ ἀριθμὸν τῶν ἓξ φυλάττοντα. ἐκ τῶν ζωιδίων οὖν τῶν ἐπιφερομένων τῶι δωδεκατημορίωι τούτωι, ἐν ὧι ὁ ἥλιοϲ ἔδυ, τὴν ὥραν ϲτοχάζεται ὁ Ὀδυϲϲεύϲ. ἢ ἁπλῶϲ φηϲι πάντα τὰ ἄϲτρα ϲυγκαταδυόμενα τῶι ἡλίωι καὶ ϲυνανατέλλοντα κατὰ τὸ δεύτερον. τὸ δὲ προβέβηκε δηλοῖ ¦ "προκεχώρηκεν εἰϲ δύϲιν" (=$T^r$), ὥϲπερ καὶ ἡμεῖϲ λέγοντεϲ "τὸ πολὺ προῆλθε τῆϲ ἡμέραϲ" τὸ εἰϲ δύϲιν προελθεῖν λέγομεν. εἰ δέ τιϲ ἐπιζητεῖ, πῶϲ οὐκ ὠνόμαϲε τὰ ἄϲτρα, ἴϲτω ὅτι τῶι ἐπειγομένωι ἐπὶ ἔργον οὐχ ἥρμοζεν ἀδολεϲχεῖν. φαίνεται δὲ ἐκ τούτων Ὅμηροϲ καὶ ϲφαιροειδῆ τὸν κόϲμον εἰδώϲ. οὐ γὰρ οἷόν τε τὰ μὲν δύνειν, τὰ δὲ ἀνατέλλειν, μὴ οὐχὶ ὑπὸ γῆν τοῦ ἡλίου φερομένου καὶ ὑπὲρ γῆν ἀνίϲχοντοϲ. εἰδὼϲ δὲ καὶ ἡμερῶν καὶ νυκτῶν μέγεθοϲ καὶ ἡλίου κίνηϲιν οἶδεν ἀκριβῶϲ, ‹ὅτι› κατὰ τὰϲ τούτου δύϲειϲ καὶ ἀνατολὰϲ ἡ νὺξ ὁρίζεται πρὸϲ τὴν ἡμέραν. **QXUI**, Porph. 151,27 - 152,22

7 τούτου ... διηρημένου UIL : τοῦτο ... διηιρημένον QX Porph || 25 ‹ὅτι› UIL || 19 ὁρίζεται UIL : ὁρίζεϲθαι QX Porph || (καὶ) πρὸϲ τὴν ἡμέραν U(I) : κατὰ τὴν ἡμέραν QXL Porph||

K 252/$Q^s$ παρώιχηκεν δὲ ἡ νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται (πλέων νὺξ Hom.): ὥϲπερ τὴν ἡμέραν εἰϲ τρία μέρη διεῖλεν ἐν οἷϲ φηϲιν 'ἔϲϲεται ἢ ἠὼϲ ἢ δείλη ἢ μέϲον ἦμαρ' (Φ 111), οὕτωϲ καὶ τὴν νύκτα εἰϲ τρία διεῖλεν. εἰ δὲ τριμερὴϲ ἔϲται ἡ νὺξ καὶ πλεῖον τῶν δύο μοιρῶν παρῆλθε, πῶϲ δύναται ὅλη ἡ τρίτη λείπεϲθαι; ἀλλὰ λέγομεν, ὅτι τετελεϲμένων τῶν δύο, λειπομένηϲ δὲ τῆϲ τρίτηϲ, εἰκότωϲ φηϲὶν ὡϲ παρῆλθε τὸ πλεῖον, ἡ νὺξ οὖϲα μοιρῶν δύο. πλεῖον γὰρ μέροϲ εἰϲὶ

τῆς ὅλης νυκτὸς αἱ δύο, εἴγε τὰ δύο τοῦ ἑνὸς πλείονα. ἢ κἀκεῖνο ῥητέον, ὡς τὸ μέρος ὁμοίως ἐξήνεγκε τῶι ὅλωι τὴν τρίτην λείπεσθαι εἰπὼν οὐ λειπομένην ὅλην, ὁμοίως τῶι 'ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα' (Α 601) καὶ 'πᾶν δ' ἦμαρ μάρναντο ἐπὶ Σκαιῇσι πύλῃσιν' (Σ 453). οὔτε γὰρ ἅμα ἕω ἀρξάμενοι ἔπινον, καὶ βραχὺς ἦν ὁ ἀναλωθεὶς χρόνος εἰς τὴν μάχην τὴν περὶ ταῖς πύλαις. κἀκεῖνο ὅμοιον 'περιπλομένου ἐνιαυτοῦ τέξεις ἀγλαὰ τέκνα' (λ 248-9). εἰς γὰρ ἀποκύησιν οὐ πληροῦται ὅλον ἔτος, ἀλλὰ διακόσιαι καὶ ἑβδομήκοντα καὶ τρεῖς ἡμέραι. καὶ ἡμεῖς ἐν τῶι συνήθει περὶ τοῦ τὸν δόλιχον τρέχοντος ἀρξαμένου τὸ τελευταῖον στάδιον τρέχειν, στάδιον αὐτῶι περιλείπεσθαι φαμέν. καὶ περὶ τοῦ τὸν ἔσχατον μῆνα ἄρχοντος, ὅτι τῆς ἀρχῆς αὐτῶι περιλείπεται μείς. ἢ ὅτι αὐτῶν τῶν δύο τὸ πλεῖον μέρος ἀναλῶσθαι λέγεται, ὥστε καὶ τῆς δευτέρας τι καὶ τὴν τρίτην ὅλην καταλείπεσθαι. τὸ δὲ 'πλείων' δύναται μὲν ὡς πληθυντικὸν οὐδέτερον παρειλῆφθαι· τὰ πλείονα ἐκ τῶν δύο μοιρῶν παρηλλάχθαι. ἢ πλείονα παρὰ τὰς μοίρας τὰς δύο, ὥς που καὶ Θουκυδίδης λέγει· 'ἀλλὰ καὶ ταύτην τὴν στρατιὰν θαλάσσῃ ἤδη πλείω χρώμενοι συνῆλθον' (1,3,4). δύναται δὲ καὶ θηλυκὸν ἑνικὸν εἶναι, πτῶσιν αἰτιατικὴν προβάλλον· ἡ νὺξ παρῆλθεν εἰς πλείονα μοῖραν τῶν μοιρῶν τῶν δύο. **QXUI**, Porph. 152,23 - 153,12 Schrader

14 περὶ τοῦ L : τοῦτον QXUI || τρέχοντα ἀρξάμενοι QXU(I τρέχοντες) Porph : corr. L || 17 τι Schrader : ἐστὶ QXUI Porph ||

K 252/$U^s$ ἐγὼ μὲν τοῦτο φθέγγεσθαι οἶμαι τὸν Ὅμηρον τοῖς στίχοις τούτοις 'παρῴχηκε δὲ πλείω νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται', ὅτι πλεῖον παρῴχηκε τῶν δύο μοιρῶν, ἤτοι τῆς πρώτης μὲν μοίρας τελειωθείσης, τῆς δὲ δευτέρας ἤδη τὸ πλεῖον τῆς διαδρομῆς περιελθούσης καὶ ὅσον οὔπω τέλος μελλούσης θεῖναι τοῦ δρόμου αὐτῆς. ὥστε τῶν δύο μοιρῶν λείπεσθαί τι ὀλίγον καὶ τῆς τρίτης σώας εἰσέτι φυλαττομένης καὶ μηδέπω τὸ τῆς διατριβῆς στάδιον ἐπεισελθούσης, ἀλλ' ὅσον οὔπω τῆς δευτέρας τελειουμένης ταύτης ἔναρξιν γενέσθαι τῆς τὴν ἠῶ διάδοχον ἑαυτῆς διατεθειμένης τρίτης μοίρας.
οἱ παλαιοὶ τὰς δώδεκα ὥρας εἰς τρεῖς μοίρας διεῖλον· ἡ μία ἑκάστη μοῖρα εἶχεν ὥρας τέσσαρας. καὶ λέγει "παρῴχηκε δὲ περισσότερον τῶν δύο μοιρῶν", ἤτοι τῶν ὀκτὼ ὡρῶν τῆς νυκτὸς πλέω καὶ περισσότερον παρῴχηκεν". ἢ οὕτω "παρῴχηκε πλέω καὶ πλήρης καὶ πεπληρωμένη ἡ νὺξ τῶν δύο μοιρῶν", ἤτοι παρῆλθον αἱ ὀκτὼ ὧραι τῆς νυκτός, ἐνυπέμειναν δὲ αἱ τέσσαρες ὧραι ἤτοι ἡ τρίτη μοῖρα. ὡς ἀστρονόμος ὁ Ὀδυσσεὺς ταῦτα ἠπίστατο ση(μειῶ)σαι· ὀκτὼ δὲ ὧραι, καὶ ὑπελείφθη{σαν}, ἥτις ἐνάτη ἦν, ὥστε ἄρξασθαι καὶ τῆς τρίτης μοίρας. **UI** cf $G^s$

5-6 τῆς τρίτης Erbse : οὐ τῆς τρίτης ἀλλὰ UI || 14 ση(΄) U, ση(΄)σαι I || καὶ ⟨τέσσαρες⟩ U ||

K 254/$Z^s$ δεινοῖσι: δέος ἐμποιοῦσιν, ¦ φοβεροῖς (=$A^{ti}$). ZYQX

K 256/$Z^s$ ἀμφήκεσ: ἑκατέρωθεν ἠκονημένον. ZYQX$A^{ti}$

ἀμφοτέρωθεν QX = π 80𝔇, τὸ ἐξ ἑκατέρου μέρους $A^{ti}$ ||

K 256/$Z^s$ τὸ δ' ἑόν: τὸ δὲ ἴδιον αὐτοῦ. ZYQX

K 258/$Z^s$ ταυρείην: δερματίνην. ZYQX$A^{ti}T^rI^i$

K 258/$Z^s$ ἄφαλόν τε καὶ ἄλλοφον: οὔτε λόφον, ¦ οὔτε προμετωπίδα ἔχουσαν (~$T^r$). ZYQX$A^{ti}I^i$

ἄλλοφον / ἄλοφον YQ$X^\lambda$ = vv.ll. Hom. : ἄλλαφον $Z^\lambda$ || προμετωπίδιον QX, προμετώπιον $A^{ti}$ ||

K 258/$Z^s$ καταῖτυξ: εἶδος περικεφαλαίας (=$A^{ti}$) ἀπὸ τοῦ κάτω τετύχθαι καὶ μὴ ἔχειν λόφον (= ApS 96,22), ἀλλὰ κοίλην εἶναι. ZYQXA$I^i$

K 259/$Z^s$ κέκληται: καλεῖται, λέγεται. ZYQX

K 259/$Z^s$ ῥύεται δὲ κάρη: σώζει δὲ τὰς κεφαλὰς τῶν νέων. (Z ῥύσεται$^\lambda$) YQX$I^i$

K 262/$Z^s$ ῥινοῦ ποιητήν: ἐκ δέρματος γεγονυῖαν (=$A^{ti}$), ἐσκυτορραφημένην. ZYQX

ἐσκηνορραφημένην QX, ἐσχοινορραφημένην (Hapax !) L ||

K 264/$Z^s$ ἀργιόδοντος: λευκοὺς ὀδόντας ἔχοντος. ZYQX

K 264/$Z^s$ θαμέες: πυκνοί (=$A^{ti}$), ἐπάλληλοι. ZYQX

K 264/$Z^s$ ἔχον: εἶχον. ZYQX

K 265/$Z^{s}$ πῖλος: τὸ πεπιλημένον ἔριον (=$A^{ti}T^{r}$). 'ἀρήρει' δὲ ¦ ἐνέκειτο (=$T^{r}$). ZYQX
lemma 'ἀρήρει' pro δὲ YQX ||

K 266/$Z^{s}$ Ἐλεών (Ἐλεῶνος Hom.): πόλις (=$A^{ti}$) Βοιωτίας. ZYQX

K 266/$Z^{s}$ Ὀρμενίδαο: Ὀρμενίδου (≃ ο 414) Z | Ὀρμένου παιδός. ZYQX
ὀρμενίδαο$^{\lambda}$ om Z ||

K 267/$Z^{s}$ ἐξέλετο: ὡς ἐξαίρετον ἔλαβεν, ὑφείλετο. $ZYQI^{i}$ (X ἐξέλαβεν. $T^{r}$ ἀφείλετο)

K 267/$A^{ti}$ ⌞Αὐτόλυκος⌟ ὁ Ἑρμοῦ υἱός. ~ τ 432𝔇

K 267/$Z^{s}$ πυκινόν: πυκνόν, ἰσχυρόν. 'ἀντιτορήσας' δὲ ἀντὶ τοῦ ¦ "διατρήσας", "τοιχωρυχήσας", "διορύξας" (=$I^{i}$). ZYQX. $A^{ti}$ ἰσχυρόν. διορύξας, διατρήσας.
lemma 'ἀντιτορήσας' pro δὲ QX, duo scholia ἀντὶ τοῦ Y ||

K 268/$Z^{s}$ Σκάνδειαν δ' ἄρα δῶκεν: ἀντὶ τοῦ "ἐν Σκανδείαι δὲ αὐτὴν ἔδωκεν τῶι Ἀμφιδάμαντι" (=$I^{i}$). ἡ δὲ Σκάνδεια πόλις Κυθήρων, Κύθηρα δὲ νῆσος τῆς Λακωνικῆς· $ZYQXU^{m}$ | 'Κυθηρίωι' οὖν "τῶι ἀπὸ Κυθήρων". $ZYQXI^{i}(T^{i})$. $A^{ti}$ ⌞Κυθηρίωι⌟ πόλις.
lemma 'Κυθηρίωι' pro οὖν L ||

K 271/$Z^{s}$ πύκασεν κάρη: ἐσκέπασεν (=$A^{ti}$) τὴν κεφαλὴν ἁρμόσασα. ZYQX

K 273/$Z^{s}$ κατ' αὐτόθι: κατ' αὐτοῦ. ZYQX. $A^{ti}$ παρ' αὐτόθι.

K 274/$Z^{s}$+$U^{s}$+$A^{s}$ ἐρωδιός (ἐρωδιόν Hom.): εἶδος ὀρνέου (=$A^{ti}$). διὰ τί, φησιν, οὐκ εἶπεν μᾶλλον τὴν γλαῦκα οὖσαν ἱερὰν τῆς Ἀθηνᾶς; λυτέον οὖν τὸ ἄπορον καιρῶι καὶ τόπωι· διατρίβει γὰρ τὸ ὄρνεον περὶ τοὺς ἐλώδεις τόπους, καὶ θηρευτικὸν τὸ ζῶιον. ZYQXAUI | ἐδήλου δὲ ὅτι οὐκ ὀφθήσονται μὲν αὐτοί, εἴσονται δὲ τὰ τῶν πολεμίων διὰ τῆς φωνῆς τοῦ Δολωνος. UI | ἱστορεῖ περὶ αὐτοῦ Ἀριστοτέλης ἐν τῶι Περὶ ζώιων. (616b32) A
2 μᾶλλον om QX || γλαῦκαν Z || 2 λυτέον UL : ῥητέον ZYQXA || 3 καὶ$^{2}$ om YA ||

K 276/$Z^{s}$ ὀρφναίην: σκοτεινήν. ZYQX

K 276/$U^{m}$ ⌞νύκτα δι' ὀρφναίην⌟ ἀντὶ τοῦ διὰ τῆς νυκτός. U = Θ 510𝔇

K 276/$Z^{s}$ κλάγξαντος: φωνήσαντος, φθεγξαμένου. ZYQX

K 277/$Z^{s}$ τῶι ὄρνιθι: ἐπὶ τῶι ὄρνιθι (= Ak ὅτι ...), ἐπὶ τῶι οἰωνῶι. ZYQX

K 280/$Z^{s}$ κινύμενος: κινούμενος, ἐπὶ πρᾶξιν ὁρμῶν. $ZYQXA^{ti}$

K 281/$Z^{s}$ δός: πάρασχε, ποίησον. ZYQX

K 281/$A^{ti}$ ⌞πάλιν⌟ εἰς τοὐπίσω. = A 116𝔇, ~ Ak ὅτι ...

K 281/$Z^{s}$ εὐκλεῖας: εὐκλεεῖς, ἐνδόξους. ZYQXI | τὴν ἐσχάτην συστέλλοντες ἀναγινώσκομεν· λέγει γὰρ "δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους". οἱ δὲ ἐκτείναντες ἄνευ λόγου ἐκτείνουσιν. ZI, cf Ak | †ἀκέραιον τῶν νεῶν ἐνταῦθα ἐπίθετον. ZQX
3 ἀκέραιον pro lemmate QX, ἄκαιρον de Marco, fort. 'εὐκλεῖας' ||

K 282/$Z^{s}$ μέγα ἔργον: μεγάλην πρᾶξιν· Ἀρίσταρχος δὲ φησὶν τὸ φονεῦσαι Ἕκτορα. ZYQXG ~ $A^{ti}$

K 285/$Z^{s}$ σπεῖο: ἕπου, ¦ συνακολούθησον (=$A^{ti}$). $ZYQXZ^{r}$

K 286/$Z^{s}$ πρὸ Ἀχαιῶν: πρὸ τῶν λοιπῶν Ἑλλήνων (=$T^{r}$), ἢ ὑπέρ (~ Ak ὅτι ...). ZYQX
ὑπὲρ ⟨τῶν λοιπῶν⟩ Y ||

K 287/$Z^{s}$ Ἀσωπός (Ἀσωπῶι Hom.): ποταμὸς Βοιωτίας (=$A^{ti}G$) πλησίον Θηβῶν. ZYQ

K 288/$Z^{s}$ αὐτὰρ ὁ μειλίχιον καὶ τὰ ἑξῆς: ὁ δὲ Τυδεύς, φησίν, προσηνῆ καὶ πρᾶιον λόγον ἔφερεν τοῖς Θηβαίοις (=$I^{i}$). ¦ ἀπήιει γὰρ προκηρυκευσόμενος περὶ διαλύσεως καὶ εἰρήνης (=G). ZYQXA (τοῖς Θηβαίοις $A^{ti}$)
2 τοῖς ἀθηναίοις A || προκηρυσσόμενος A ||

K 289/$Z^{s}$ ἂψ ἀνιών (~T 290, ἀπιών Hom.): ἀνερχόμενος, ὑποστρέφων. ZY(Q ἐπιστρέφων) X

K 289/$Z^{s}$ μήσατο: ἐβουλεύσατο, ¦ διεπράξατο (=$A^{ti}$). ZYQX

K 290/$Z^{s}$ πρόφρασσα: πρόφρων, πρόθυμος (= $YA^{ti}$). ἢ ἡ πειρῶσα προφράζεσθαι τὸ μέλλον (= $U^{m}$). $ZQXI^{i}G$
πρόφρασσε $Z^{\lambda}$ || προθύμως $A^{t}$ || ἢ ἡ πειρῶσα QX : ἡ ὑπεροῦσα Z ||

K 292/$Z^{s}$ ῥέξω: ἱερουργήϲω, θύϲω. ZYQX

K 292/$Z^{s}$ ἦνιν: ἐνιαυϲιαίαν (=$A^{ti}$), νέαν. ἔνοϲ γὰρ ὁ ἐνιαυτόϲ. ZYQ$I^{i}$($T^{r}$)

K 293/$Z^{s}$ ἀδμήτην: ἀδάμαϲτον, νέαν, ἄζευκτον. ZYQX

K 294/$Z^{s}$ περιχεύαϲ: περιχέαϲ, περιθείϲ. ZYQX

K 298/$Z^{s}$ ἆμ φόνον, ἆν νέκυαϲ: διὰ τοῦ φόνου, καὶ τῶν νεκρῶν. ZYQXG

K 298/$Z^{s}$ διά τ' ἔντεα καὶ μέλαν αἷμα: διά τε ἐντέων, ⌜ἤγουν τῶν ὅπλων QX ≃ K 75𝔇⌝, καὶ μέλανοϲ αἵματοϲ. ZY$I^{i}$G(QX διὰ τῶν ἔντεων)

K 299/$Z^{s}$ οὐδὲ μέν: οὐ μὴν δέ. (Z οὐ μὴν οὐδέ B 703𝔇) YQX

K 300/$Z^{s}$ ἄμυδιϲ: ὁμοῦ, εἰϲ τὸ αὐτό. ZYQX

K 304/$Z^{s}$ ἄρκιοϲ: αὐτάρκηϲ (=$A^{ti}$), ἱκανόϲ. ZYQX

K 305/$Z^{s}$ ἐριαύχεναϲ: μεγαλοτραχήλουϲ, †ϲτολίουϲ ἀπὸ μέρουϲ. τὸ $\overline{\text{ερι}}$ γὰρ μόριον ἐπὶ τοῦ μεγάλου τίθεται, ὡϲ καὶ τὸ $\overline{\text{ζα}}$. καὶ ἐνταῦθα δὲ τὸ ἀϲύνετον τοῦ Ἕκτοροϲ φαίνεται ὑπιϲχνουμένου τοὺϲ Ἀχιλλέωϲ ἵππουϲ, οὓϲ ἀδύνατον ἦν λαβεῖν. ZYQXAIG

ἐριαύχενα $Z^{\lambda}$ || 1 μεγαλοτραχήλου Z || ϲτολίουϲ ZYQX : πολιοὺϲ A, cf Ψ 171𝔇 "μεγάλουϲ ἀπὸ μέρουϲ" || 3 ἐπιϲχνουμένου Z || τοῦ ἀχιλλέωϲ YQX ||

K 307/$A^{ti}$ ⌞οἷ τ' αὐτῶι⌟ καὶ αὐτὸϲ ἑαυτῶι. ~ E 64𝔇 "αὐτῶι ἐκείνωι"

K 311/$Z^{s}$ φύξιν βουλεύουϲι: περὶ φυγῆϲ ϲκέπτονται. ZYQX. $A^{ti}$ προϲφυγὴν ϲκέπτονται.

βουλεύουϲι / βουλεύονται $Y^{\lambda}$ = vv.ll.Hom. : βουλεύωϲι $ZQ^{\lambda}$ = B 347, βουλεύϲωϲιν $X^{\lambda}$ ||

K 312/$Z^{s}$ φυλαϲϲέμεναι: φυλάϲϲειν. ZYQX

K 312/$Z^{s}$+$Q^{s}$ ἀδηκότεϲ: τεταλαιπωρηκότεϲ ἢ QXG (~ K 98𝔇) | ἀηδῶϲ διακείμενοι (=G), καμόντεϲ. ZY(QX φυλάϲϲοντεϲ). $A^{ti}$ κάμνοντεϲ.

K 314/$Z^{s}$ ἦν δέ τιϲ ἐν Τρώεϲϲι Δόλων ⌞Εὐμήδεοϲ υἱὸϲ / κήρυκοϲ⌟: διὰ τί 'κήρυκοϲ πλουϲίου" εἴρηκε τὸν Δόλωνα(!); 'κήρυκοϲ' μὲν οὖν εἰϲ τὸ εὐχερῶϲ ὑπακούειν, "πλουϲίου" δὲ εἰϲ τὸ δυνηθῆναι ἑαυτὸν λυτρώϲαϲθαι. 'ποδώκην' (316) δὲ ἐπ' ἐλπίδι τοῦ διαφυγεῖν τοὺϲ διώκονταϲ. ZYQAUIG

1 κήρυκα πλούϲιον $QU^{1}$ || 2 .. κήρυκοϲ ZY : κήρυκα $QAU^{1}$ || .. πλούϲιον YQA || 3 ποδώκην δὲ ⟨διὰ τὸ⟩ A || 4 διαφυγεῖν ZAU : φυγεῖν YQ ||

K 316/$Z^{s}$ εἶδοϲ μὲν ἔην κακόϲ: ἀηδὴϲ ἦν τῶι προϲώπωι, ἀλλ' ὀξὺϲ ZQX | ἐν τῶι τρέχειν. Z

K 317/$Z^{s}$ μοῦνοϲ ἔην μετὰ πέντε καϲιγνήτηιϲι: ἀντὶ τοῦ "μόνοϲ ἦν ἄρρην". ZYQXG. $A^{ts}$ → ἄρϲην δηλονότι. $T^{r}$ τηλύγετοϲ.

K 317/$U^{m}$ ⌞μοῦνοϲ ἔην μετὰ πέντε καϲιγνήτηιϲιν⌟ ἵνα ληφθεὶϲ εὐπορῆι προφάϲεωϲ. ¦ ὡϲ δὲ γυναικοτραφὴϲ δειλὸϲ ἦν καὶ ῥιψοκίνδυνοϲ (= $T^{i}$G).

K 321/$U^{s}$ ⌞τὸ ϲκῆπτρον ἀνάϲχεο καί μοι ὄμοϲϲον⌟ εἰϲ τὸ ἄπιϲτον τῶν βαρβάρων ὅρκοϲ μεϲιτεύει (~G). Διομήδηϲ δὲ οὐδὲ μέμνηται τῆϲ δόϲεωϲ (K 220). αἰτεῖ δὲ ὁ Δόλων ἀδύνατα, ὑπιϲχνεῖται δὲ πρᾶξιν ὑπέρογκον. $UI^{m}$ ~$T^{s}$ | ὁ δὲ Ἕκτωρ τοὺϲ ἀρίϲτουϲ ὑπιϲχνεῖται, οὗτοϲ δὲ ἐκ ϲυλλογιϲμοῦ τοῦ Ἀχιλλέωϲ αἰτεῖ. φαίνεται δὲ φίλιπποϲ ὁ Δόλων ἐπαινῶν καὶ τοῦ Ῥήϲου τοὺϲ ἵππουϲ. $UI^{m}$

K 322/$Z^{s}$ ἦ μέν: ἦ μήν, ὄντωϲ δή. (Z οὕτωϲ δὴ) YQX

K 324/$Z^{s}$ ϲκοπόϲ: κατάϲκοποϲ. ZYQX

K 324/$Z^{s}$ οὐδ' ἀπὸ δόξηϲ: οὐκ ἀπὸ δοκήϲεωϲ καὶ εἰκαϲμοῦ. (post 305) ZY(QX οὐδ') $A^{ti}$

↑ K 324/$U^{s}$ ⌞οὐδ' ἀπὸ δόξηϲ⌟ "οὐδὲ παρὰ τὴν δόξαν ἣν περὶ ἐμοῦ ἔχειϲ". ἢ "οὐκ ἐξ ὑπολήψεωϲ καὶ ϲτοχαϲμοῦ ἀπαγγελῶ, ἀλλ' ἀκριβῶϲ" (~G). ἐπιφέρει γὰρ τόϲον 'εἶμι' (325). $UI^{m}$

K 325/$Z^{s}$ τόφρα γάρ: ἕωϲ (=$T^{r}$) τοϲούτου γάρ (= A 509𝔇). Z(YQX τούτου)

K 325/$Z^{s}$ διαμπερέϲ: μέχρι τέλουϲ. ZYQX$T^{r}$ = 331/$A^{ti}$

K 326/$Z^{s}$ μέλλουϲιν: ἐοίκαϲιν. (post 312) ZYQX. $A^{ti}$ ἀντὶ τοῦ ἐοίκαϲι, ~ Ak ὅτι ...

K 328/U$^{m}$ ⌞καί οἱ ὄμοςςεν⌟ μωρότερος ὁ ὀμνύων τοῦ αἰτοῦντος ὡς ἤδη τὰ λάφυρα διαιρῶν. U$^{m}$ = T

K 329/Z$^{s}$ ἴςτω: γιγνωςκέτω, μάρτυς ἔςτω. ZYQX

K 330/Z$^{s}$ μὴ μὲν τοῖς: ἀντὶ τοῦ οὐκ ἂν τούτοις. ZYQX ~T$^{s}$

K 331/Z$^{s}$ ἀγλαϊεῖςθαι: καλλωπιςθῆναι. 'ἐποχήςεται' (330) δὲ ἐπιβῆι τῶν ὀχημάτων. (Z καλλοπιςθῆ) (YQX lemma 'ἐποχήςεται' pro δὲ )

K 332/Z$^{s}$ ἐπίορκον ἀπώμοςε: ἐφιώρκηςεν. ZYQX

ἀπόμοςςεν Y$^{\lambda}$ || ἐφιώρκηςεν Z, cf Liddell-Scott-Jones, Gignac 1,137 : ἐπιώρκηςεν YQX ||

K 332/Z$^{s}$ ὀρόθυνε: προέτρεψε (=A$^{ti}$), παρώρμηςεν. ZYQX

K 334/U$^{s}$ ⌞πολιοῖο λύκοιο⌟ ὁ λύκος λευκὸς οὐκ ἔςτιν, ἀλλὰ λευκανθίζων. U~T$^{s}$

K 334/Z$^{s}$ πολιοῖο λύκοιο: λευκοῦ λύκου (=A$^{ti}$), διὰ τὴν τῆς χρόας ἰδιότητα. ZYQXAI | καὶ γὰρ Πελίαν ἐντεῦθεν φαςὶν ὠνομάςθαι· Τυρὼ γὰρ ἡ Cαλμωνέως γεννήςαςα δύο παῖδας ἐκ Ποςειδῶνος παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλειπεν. τὸν μὲν οὖν ἕτερον κύων ἀφαιρεθέντων αὐτῆς τῶν γόνων παρέχουςα θηλὴν ἔτρεφεν, τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτηςεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ ἀνελόμενοί τε τὰ παιδία ἔτρεφον καὶ ὠνόμαςαν τὸν μὲν ἐπεὶ ἐκ ςυνδρομῆς αἵματος ἐπελιώθη Πελίαν, τὸν δὲ ἕτερον ἐπεὶ κύων κατηλέηςε Νηλέα. ZQXAUIG

1 λύκου : τεφρώδους L = E$^{s}$ || χρόας ZA : χροιᾶς YQXU || 2 φηςὶν ἔνθεν QXU || 3 τὸν : τὴν Z || 4 ἕτερον ZA : ἕνα QXU || ἀναφαιρεθέντων Z || γόνων de Marco : πόνων ZQXAU, τέκνων L || 8 Πελίαν cf Epim. π 128$^{s}$/Hellanicus FGrHist 4F123 ||

K 335/Z$^{s}$ κτιδέην: ἐξ ἴκτιδος δέρματος πεποιημένην. ἴκτις δὲ ζῶιον ὀρνιθοφάγον καὶ πανοῦργον, μεῖζον μὲν γαλῆς, παραπλήςιον δέ, καὶ δαςύτερον (=T$^{r}$). οἱ δὲ τὴν ἀγρίαν γαλῆν εἶπον. ZYQXAUIG ~ EtM 470,108

ἰκτιδέην / κτιδέην vv.ll. Hom. || 1 ⟨ἐςτι⟩ ζῶιον A ||

K 335/Q$^{s}$ κρατὶ δ' ἐπὶ κτιδέην: ἀπὸ τοῦ κ̄ ἡ ἀρχή, ἐπεὶ καὶ ἐν ἑτέροις 'κτιδέην' (K 458). τοῦτο δὲ κατὰ ἀφαίρεςιν τοῦ ῑ λέγεται παρὰ τῶι ποιητῆι. ἴκτις γάρ ἐςτιν, ὡς Νίκανδρος 'ἴκτιδος ἠΰτ' ὄρνιςιν' (Ther. 196). τὸ γὰρ μονοςύλλαβον οὐ δύναται κατὰ ἔκταςιν οὔτε κατὰ ςυςτολὴν λέγεςθαι. οὐ γὰρ ἐκτείνεται ὡς κρηπῖδος, ψηφῖδος· ταῦτα γὰρ ὑπὲρ μίαν ςυλλαβὴν οὔτε ςυςτέλλεται. ἀρκεῖ γὰρ τὸ κτῑς̄. QAUIG cf Hd

5 ςυςτέλλεςθαι A || κτίς U : τῑς̄ QA ||

K 338/Z$^{s}$ κάλλιφ': κατέλιπεν. (Z κατέλειπεν) QX

K 339/Z$^{s}$ ἐφράςςατο (≃ Ψ 12𝔇, ἐφράςατο Hom = YX$^{\lambda}$): εἶδεν, ἐνόηςεν. ZYQX | κατάχρηςις ὁ τρόπος. ZYQG$^{i}$

K 345/Z$^{s}$ τυτθόν: μικρόν. κυρίως δὲ ἡ λέξις τίθεται ἐπὶ τῶν βρεφῶν, οἱονεὶ τίτθιον. ZYQXI$^{i}$G

K 346/Z$^{s}$ παραφθαίηςι: παραδράμοι (=A$^{ti}$), φθάςηι τῆι ταχυτῆτι τῶν ποδῶν. Z(YQXG* φθάςοι)

K 347/Z$^{s}$ προτιειλεῖν: ςυνελαύνειν, ςυνδιώκειν. Z(Y διώκειν) QX. A$^{ti}$ ςύγκλειε.

K 348/Z$^{s}$ ἀλύξηι: ἐκκλίνηι, ¦ ἐκφύγηι (=A$^{ti}$). ZYQX

K 349/Z$^{s}$ παρὲξ ὁδοῦ: ἔξω τῆς ὁδοῦ. ZYQX

K 350/Z$^{s}$ κλινθήτην: κατεκλίθηςαν, ¦ ἐκρύβηςαν (=A$^{ti}$). (Z κατεκλίςθηςαν ἐκρυβίθηςαν) YQX

K 350/Z$^{s}$ ἀφραδίηιςιν: ἀβουλίαις, ¦ ἀνοίαις (=A$^{ti}$T$^{r}$). ZYQX

K 351/Z$^{s}$ ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅςςον τ' ἐπίουρα καὶ τὰ ἑξῆς: ὁπόταν δέ φηςιν τηλικοῦτον αὐτῶν διειςτήκει, ὅςον γίνεται διάςτημα ἡμιόνων ἐν ἐπιςτροφῆι ἀρούντων. οἱ γὰρ ἀροῦντες τοῖς μὲν ἰςχυροτέροις ζεύγεςιν μεγάλας ποιοῦςιν τὰς ἁμαξικάς, φθάνουςι δὲ ὡς ὀξύτεροι οἱ ἡμίονοι τὰς βοῦς ἐν τῶι ἀρότρωι. ZYQXI$^{s}$I$^{i}$G

δὰρ' Z$^{\lambda}$ || 1 δέ om QX || 2 ἀρούντων ZY : ἀρουρῶν QX || 3 ποιοῦνται Y || 4 οἱ YX : αἱ Q, om Z || τὰς Z : τοὺς YQX ||

K 351/Z$^{s}$ ἐπίουρα: ὅρια, ὁρμήματα. ZYQXUA$^{ti}$T$^{r}$

K 351/Q$^{s}$ ἐπίουρα: ὅρια. Ἀρίσταρχος οὕτως ἐξηγήσατο· «ὅσον» φησὶν «ὑφ' ἓν καὶ ὁμοῦ ὑπό τινος ἀφεθέντος καὶ ἀπολυθέντος ζεύγους ἡμιόνων καὶ ζεύγους ἄλλου βοῶν φθάσωσι καὶ προλάβωσι τὰς βοῦς αἱ ἡμίονοι (ταχύτεραι γάρ εἰσι τῶν βοῶν), τοσοῦτόν» φησι «ἐάσαντες διάστημα παρελθεῖν τὸν Δόλωνα μεταστραφέντες ἐδίωξαν.» QXUI, = 352/T$^{s}$

K 352/Z$^{s}$ προφερέστεραι: ταχύτεραι, κρείσσονες ἐν τῶι ἀροτριᾶν. ZYQXG*

K 352/U$^{m}$ ⸤οὖρα ἡμιόνων⸥ ὅτε ἀπολυθῶσιν ἐξ ἴσου ζεῦγος βοῶν καὶ ζεῦγος ἡμιόνων, προφθάσουσι δὲ αἱ ἡμίονοι· ταχύτεραι γὰρ τῶν βοῶν. U$^{m}$I

K 353/Z$^{s}$ νειοῖο: διὰ νειοῦ. νειὸς δέ ἐστιν ἡ νεωστὶ ἠροτριασμένη γῆ. ZYQXAIG

K 353/Z$^{s}$ πηκτὸν ἄροτρον: τὸ τὸν γύην προσπεπηγότα ἔχον. αὐτόγυον δὲ τὸ ἐξ αὐτοῦ μονόξυλον. καὶ Ἡσίοδός φησιν· 'δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον, αὐτόγυον καὶ πηκτόν' (Erga 433s). ZYQXAIG

1 ἔχον G, Barnes : ἔχοντα || αὐτόγυιον YQX || 2 πονησάμενον Z || κατ' οἶκον ZA ||

K 355/Z$^{s}$ ἔλπετο γὰρ κατὰ θυμὸν καὶ τὰ ἑξῆς: στικτέον μετὰ τὸ 'ἐκ Τρώων' (356). ἔστιν γὰρ ὁ λόγος· "ἤλπιζεν γὰρ ὁ Δόλων ἑταίρους αὐτῶι ἐκ τῶν Τρώων ὑπάρχειν, ὡς κελεύσαντος τοῦ Ἕκτορος εἰς ὀπίσω αὐτὸν ὑποστρέψαι. ZYQAU$^{m}$=I$^{s}$G | 'ἀποστρέψαντας' γὰρ "ὀπίσω καλέσαντας". ZYQAI~G

1 καὶ τὰ ἑξῆς Z : pergunt usque ad 356 ὀτρύναντος YQX || 2 αὐτῶι ZQ : αὐτοῦ YA || τῶν om Q || 3 εἰς ὀπίσω ZY : εἰς τοὐπίσω Q, εἰς τὰ ὀπίσω A || ὑποστρέψαι ZA : ἀποστρέψαι YQ || ἀποστρέψοντας Y / ἀποστρέψαντας ZA = vv.ll. Hom., ἀποστρέψαντος Q || 4 ὀπίσω Z : εἰς τοὐπίσω A || .. καλέσαντας ZA : καλέσοντας YQ ||

K 357/Z$^{s}$ δουρηνεκές: δόρατος βολήν, δόρατος μῆκος. ZYQXA$^{ti}$T$^{r}$

K 358/Z$^{s}$ δηΐους: πολεμίους. ZYQX

K 358/Z$^{s}$ λαιψηρά: ταχέα. 'ἐνώμα' δὲ ¦ "ἐκίνει πρὸς φυγήν" (=A$^{ti}$). ZYQX

ταχεῖα Z || lemma 'ἐνώμα' pro δὲ YQX ||

K 359/Z$^{s}$ φευγέμεναι: φεύγειν. ZYQX

K 360/Z$^{s}$ καρχαρόδοντε: ἐπικαμπεῖς ὀδόντας ἔχοντες, ἢ τραχεῖς. ¦ κάρχαρον γὰρ τὸ τραχύ (=U$^{m}$). (Z καρχαρόεντε$^{\lambda}$) YQXAG

K 360/Z$^{s}$ εἰδότε θήρης: ἔμπειροι θηρατικῆς. 'ἀποτμήξαντε' (364) δὲ ἀποτεμόντες, χωρίσαντες. (Z ἀποτμήξαντες) (YQX lemma 'ἀποτμήξαντε' pro δὲ)

K 361/Z$^{s}$ κεμάδα: νεωγνὸν (=T$^{r}$) ¦ ἔλαφον (=A$^{ti}$), ἢ δορκάδα. ZYQXG$^{i}$

K 361/Z$^{s}$ ἐπείγετον: θορυβοῦσιν διώκοντες. ZYQX (ApS 71,4 "διώκουσιν")

K 362/Z$^{s}$ μεμηκώς: φθεγγόμενος. ZYQXA$^{ti}$

K 364/Z$^{s}$ λαοῦ ἀποτμήξαντε διώκετον: τοῦ Τρωϊκοῦ ὄχλου χωρίσαντες (~T$^{r}$) αὐτὸν ἐδίωκον. ZYQXA=I$^{s}$G | τρία δὲ ῥήματα ἔστιν παρὰ τῶι ποιητῆι τὸ τοῦ παρωιχημένου δυϊκὸν τρίτον εἰς $\overline{\text{ον}}$ λῆγον ἔχοντα παραλόγως. τοῦτο καὶ 'ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον' (Σ 583). οὐκ ἔστιν μέντοι ἄντικρυς δυϊκῆς σημασίας· ἀναθεώρησιν γὰρ ἔχει πληθυντικὴν παρατατικήν. τὸ γὰρ 'διώκετον' ἀντὶ τοῦ "ἐδίωκον" κεῖται (~ Ak ὅτι ...), καὶ τὸ 'ἀνδράσιν ἡρώεσσιν τετεύχατον' (N 346) ἀντὶ τοῦ "ἔτευχον", καὶ τὸ 'λαφύσσετον' ἀντὶ τοῦ "ἐλάφυσσον". ZQAUIG

1 ὄχλου ZYQ : λαοῦ A || αὐτοὺς ZA || 2 ἔστιν ZA : εἰσὶ Q, om U || 4 ἄντικρυς ZAU : ἀττικοὺς Q, ἀττικῆς L || 5 πληθυντικῆς QU omisso παρατατικήν || 6 τετεύχατον QU / τετεύχετον ZA = vv.ll. Hom. || ἔτευχον ZQU : ἔτυχον A || 7 ἐλάφυσσον ZQU : λαφύσσετε A ||

↑ K 364/Y$^{s}$ ἀποτμήξαντε: ἀποτεμόντες, χωρίσαντες. YQX

K 364/Z$^{s}$ ἐμμενές: ἀδιαλείπτως, ¦ ἐπιμόνως (=A$^{ti}$). ZYQX

K 368/Z$^{s}$ φθαίηι: φθάσειεν. ZYQX

K 368/U$^{m}$ ⸤δεύτερος ἔλθηι⸥ ἤγουν τὰ δευτερεῖα φέροι καὶ ¦ ἡττηθ⟨εί⟩η· ἀπὸ μεταφορᾶς τῶν δρομέων (= T$^{s}$).

K 369/Z$^{s}$ δουρὶ δ' ἐπαΐσσων: σὺν τῶι δόρατι ἐφορμῶν, ὅ ἐστιν "ἐπισείων αὐτῶι τὸ δόρυ πρὸς κατάπληξιν". ZYQXI$^{i}$

K 371/Z$^{s}$ ἀλύξειν: διαφεύξεσθαι. ZYQX

K 371/Z$^{s}$ αἰπὺν ὄλεθρον: μέγαν· ἐξ οὗ δεινόν. ZYQX

K 372/Z$^{s}$ ἡμάρτανεν: ἀπέτυχεν. ZYQ(X ἀπετύγχανεν )

K 373/Z$^{s}$ ἐϋξόου (= α 128, ἐΰξου Hom.): καλῶς ἐξεσμένου. ZYQX

K 375/Z$^{s}$ βαμβαίνων: τρέμων. ZYQXAA$^{ti}$G*T$^{r}$ | ὀνοματοποιία ὁ τρόπος ZYQXI$^{i}$G (~ A$^{td}$ ὅτι ...). | ἢ ἀσαφῆ φωνὴν προϊέμενος ἀπὸ τοῦ φόβου. ZYQXA

K 375/Z$^{s}$ ἄραβος: ἦχος τῶν ὀδόντων (=A$^{ti}$I$^{i}$). 'διὰ στόμα' δὲ "κατὰ τὸ στόμα". ¦ ἐνήλλακται δὲ ἡ πτῶσις, ἵνα ἦι "διὰ στόματος" (=G). ZYQXI$^{m}$

1 lemma 'διὰ στόμα' pro δὲ QX ||

K 376/Z$^{s}$ ὑπαὶ δείους: ὑπὸ δέους, ¦ ὑπὸ φόβου (=A$^{ti}$). ZYQX

K 377/Z$^{s}$ ἀφάσθην: ἐλάβοντο. ZYQX

K 378/Z$^{s}$ ζωγρεῖτε: ζῶντά με φυλάττετε. ZYQX. A$^{ti}$ ζῶντα φυλάσσετε.

K 378/Z$^{s}$ ἐμὲ λύσομαι: ἀντὶ τοῦ "ἐμαυτὸν λυτρώσομαι". ZYQX ~ Ak ὅτι ...

K 378/U$^{m}$ ⌞ἐμὲ λύσομαι⌟ παρὰ τὸ σύνηθες ἐξενήνοχε διὰ δειλίαν τὸ ἐμὲ ἀντὶ τοῦ ἐμαυτόν· ἐκ τῶν ἐμῶν χρημάτων δηλονότι. U ~ Ak

K 378/U$^{i}$ ⌞ἔστι γὰρ ἔνδον⌟ ἔστι γὰρ ἐν τῶι οἴκωι μου.

K 379/Z$^{s}$ πολύκμητος: ὁ πολλὰ κάμνων, ἢ ¦ δι' οὗ πολλὰ κατασκευάζεται (=A$^{ti}$). ZYQX

K 381/Z$^{s}$ πεπύθοιτο: εἰ ἀκούσοι. ZYQX ~ Ak ὅτι ...

K 383/Z$^{s}$ καταθύμιος: κατὰ ψυχήν, ¦ κατὰ νοῦν (=A$^{ti}$). ZYQX

K 387/U$^{s}$ ⌞ἦ τινα συλήσων νεκύων⌟ ἐπιτηδὲς ἐνδόσιμον αὐτῶι ψευσμάτων δίδωσιν, ὅπως δοκιμασθῆι. τί γὰρ τοὺς νεκροὺς παρέτρεχεν, εἴπερ σκυλεῦσαι ἤθελεν; αἱ συνεχεῖς δὲ πεύσεις οὐκ ἐῶσιν εἰς ψευδῆ τραπῆναι. UI, ~ GT

K 388/Z$^{s}$ διασκοπιάασθαι (διασκοπιᾶσθαι Hom. = P 252𝔇): κατασκοπῆσαι. ZYQ(X κατασκοπεῖσθαι) A$^{ti}$

K 391/Z$^{s}$ παρὲκ νόον ἤγαγε: παρηπάτησε τὸν νοῦν. ZYQXA$^{ti}$

K 394/Z$^{s}$ θοήν: τὴν ταχέως ἐπιλαμβάνουσαν τὴν γῆν. ZYQXA$^{ti}$

↑ K 394/U$^{m}$ ⌞θοὴν διὰ νύκτα⌟ τῆς ταχέως καταλαμβανούσης τὴν γῆν (= I$^{i}$). τὸ δὲ 'ἠνώγει' λέγει ¦ ἵνα δοκῆι ὡς ἄρχοντι πείθεσθαι (= T$^{s}$~G).

K 399/A$^{ti}$ ⌞ἀδηκότες⌟ ἀπὸ τοῦ ἄδην καὶ ἡδέως. cf K 98𝔇 ἀηδῶς διακείμενοι, ὀκνήσαντες.

K 401/Z$^{s}$ ἐπεμαίετο: ἐπεζήτει, ἐπεθύμει. ZYQXA$^{ti}$

K 401/U$^{m}$ ⌞ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός⌟ ἀξίως τῶι αἰτήσαντι μέμφεται, οὐχὶ τῶι ὑποσχομένωι. U$^{m}$ ~T$^{s}$

K 402/Z$^{s}$ ἀλεγεινοί: ἀλγεῖν παρέξοντες, ἢ πρὸς τὸ κτήσασθαι ἀδύνατοι. ZY(QX I$^{i}$G παρέχοντες). A$^{ti}$ ἀλγεινοί, δυστυχεῖς, πρὸς τὸ κτήσασθαι ἀδύνατοι.

K 403/Z$^{s}$ ὀχέεσθαι: ἐποχηθῆναι, ἐπιβῆναι. ZYQXA$^{ti}$

K 406/U$^{m}$ ⌞ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα⌟ καλῶς περὶ τοῦ Ἕκτορος πυνθάνεται, ἵνα ἐγρηγορότος μὲν ἐκ τούτου ἀπόσχοιντο, εἰ δὲ καθεύδοι, ἐπιχειρήσειε καὶ αὐτὸν ἀνελεῖν (~T$^{s}$G) καὶ τὰ ὅπλα ἀφελέσθαι. UI

K 408/Y$^{s}$ πῶς δὲ τῶν ἄλλων Τρώων: πῶς δὲ τῶν λοιπῶν Τρώων. YQX

K 408/U$^{s}$ ὁ 'δαι' σύνδεσμος διὰ τοῦ α καὶ ι γράφεται καὶ ἔστι μὲν συμπλεκτικός, μόνοις δὲ τοῖς πυσματικοῖς συντάττεται. καὶ ἀπορεῖ ὁ Ἀπολλώνιος περὶ αὐτοῦ λέγων, ὡς οἱ μὲν παραπληρωματικὸν αὐτὸν θέλουσιν εἶναι ἰσοδυναμοῦντα τῶι δη ὅτε παρέλκει. οἱ περὶ Ἀρίσταρχον, φησίν (synt. 106,1ss.), ἰσοδυναμεῖν ἔλεγον αὐτὸν τῶι δε τῶι διὰ τοῦ ε γραφομένωι, καὶ εἶναι συμπλεκτικόν. διόπερ ἐν τῶι 'πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί', δυνάμενος ἀποστρέψαι μὲν τὸ δαι, ἵνα ἦι ὁ δε συμπλεκτικὸς συναληλιμμένος δασῦναι δὲ τὴν αι δίφθογγον καὶ πληθυντικὸν ἄρθρον ἐκδέχεσθαι, τοῦτο μὲν οὐ πεποίηκε, ψιλῶς δὲ τὸν δαι προήγαγε, καθ' ἓν μέρος λόγου σύνδεσμον ἐκδεχόμενος συμπλεκτικόν, γινώσκων τὸ τοῦ ποιητοῦ ἰδίωμα, ὡς ἐλλειπτικὸς μέν ἐστι τῶν ἄρθρων, τούτωι δὲ τῶι συνδέσμωι μετὰ τῶν

πυσμάτων χρῆται· 'τίς δαὶ ὅμιλος ὅδ' ἔπλετο;' (α 225). ποῦ δαὶ νηῦς ἕστηκε;' (ω 299). οἷς ὅμοιόν ἐστι καὶ τὸ προκείμενον 'πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί' τοῦ ἄρθρου λείποντος. U = fam. h (cf Erbse test.), cf EtG, Ak

K 409/$Z^{s}$ ἄσσα: ἅτινα δή. ZYQX. $A^{ti}$ τίνα δή.

K 410/$Z^{s}$ ⟨αὖθι:⟩ αὐτόθι, αὐτοῦ. (post 417) ZYQX

lemma suppl. L, cf introd. p. 6,a ||

K 415/$Z^{s}$ βουλὰς βουλεύει: τὸ σχῆμα παρονομασία καλεῖται. ZYQX$I^{i}$G

βουλεύουσι $QX^{\lambda}$ = Ω 652, K 311𝔇 || καλεῖται om QX ||

K 415/$Z^{s}$ σήματι: τάφωι. ὁ δὲ '?Ἶλος' Τρωὸς παῖς, ἀφ' οὗ ἡ πόλις Ἴλιος ἐκλήθη. Z$YI^{m}$G(QX ἡ πόλις om) (A ὁ δὲ om) ~ Epim. ι 33. $A^{ti}$ παρὰ τῶι τάφωι τοῦ Ἴλου.

K 416/$Z^{s}$ φλοίσβου: ὄχλου, θορύβου. ZYQX$I^{i}$. $T^{r}$ τῆς ταραχῆς τοῦ πολέμου.

ὄχλου ZY : ἤχου QX ||

K 416/$Z^{s}$ φυλακὰς δ' ἃς εἴρεαι ἥρως: περὶ δὲ τῶν φυλακῶν, ὧν ἐρωτᾶις (= $T^{i}$) με, ὦ γενναιότατε. ZQX$I^{i}$(Y$A^{ti}$ γενναιότατος)

K 417/$Z^{s}$ κεκριμένη: ἐπιλελεγμένη. ZYQX$A^{ti}T^{r}$

K 418/$Z^{s}$+$L^{s}$ ἐσχάραι: πυραί (=$A^{ti}$). δηλοῖ δὲ ἡ λέξις καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμόν, ZYQXA$I^{m}$G | ὡς παρ' Εὐριπίδηι ἐν Ἡρακλεῖ (922). καὶ τὴν κυρίως λεγομένην ZQXA$I^{m}$G | ἐσχάραν, τὴν μὴ ἔχουσαν ὕψη ἀλλ' ἐπὶ γῆς οὖσαν, ἢ κοίλην. ὅθεν καὶ τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάραι παρ' ἰατροῖς. L = Eust. 815,12-3.

K 419/$Z^{s}$ φυλασσέμεναι: ἐγρηγορέναι (= K 67𝔇 ἐγρήγορθαι). ZY(QX ἐγρηγορεῖν)

K 421/$Z^{s}$ ἐπιτραπέουσιν: ἐπιτρέπουσιν (=$A^{ti}$), ἐγχειρίζουσιν. (ZY ἐπιτροπέουσιν$^{\lambda}$) QX$I^{i}$

K 422/$Z^{s}$ εἴαται: εἰσίν. ZYQX$A^{ti}$

K 425/$Q^{s}$ ἢ ἀπάνευθεν: ἢ ἄποθεν καὶ χωρίς. QX = B 391𝔇

K 425/$Z^{s}$ δίειπέ μοι: ἀκριβῶς διασάφησον (=$A^{ti}$) καὶ εἰπέ μοι. ZYQX

K 425/$Z^{s}$ δαείω: μάθω. ZYQX$A^{ti}$

K 428/$Z^{s}$ πρὸς μὲν ἁλός: τῶι πρὸς θάλασσαν μέρει. προσληπτέον δὲ τὸ "ἔλαχον διατελεῖν". ZY$I^{i}$(QX ⟨τὴν⟩ θάλασσαν) ~$G^{i}$*

K 428/$Z^{s}$ Παίονες: ἔθνος Θραικικόν. ZYQXA$A^{ti}$G| τινὲς δέ φασιν τοὺς νῦν καλουμένους Παννονίους (=G), ἕτεροι δὲ ¦ Μακεδόνας (~G). ZYQA | 'ἀγκυλότοξοι' δὲ ἐπικαμπῆ τόξα ἔχοντες. ZYQX$A^{ti}$

1 θρακῶν A || 2 lemma 'ἀγκυλότοξοι' pro δὲ YQX ||

K 429/$Z^{s}$ Λέλεγες: ἔθνος Καρικόν (=$A^{ti}$). λέγει δὲ τοὺς ἐν Πηδαίωι πόλει Καρίας οἰκοῦντας. ZYQXAG

K 429/$Z^{s}$ Καύκωνες: ἔθνος Παφλαγονίας (=$A^{ti}$), οἱ δὲ Σκυθίας. οἱ δὲ τοὺς λεγομένους Καυνίους εἶπον. ZQG(YA εἶπον om)

K 429/$Z^{s}$ Πελασγοί: οἱ τὸ παράλιον μέρος τῆς Καρίας ἔχοντες. ἄμεινον δὲ λέγειν αὐτὸ γένος τι πολυπλανὲς οἰκῆσαν ἐν τῆι Ἀσίαι καὶ Εὐρώπηι, νῦν δὲ τὸ τῆς Τρωάδος πλησίον οἰκῆσαν, ὃ φασὶν Τράλλεις. ZYQXAG

2 τῆς om QX || 3 οἰκῆσαν YA : οἰκῆσαι Z, om QX ||

K 430/$Z^{s}$ πρὸς Θύμβρης: πρὸς τὸ Θυμβραῖον πεδίον. Θύμβρα γὰρ ¦ τόπος ἐστὶ τῆς Τροίας (~ $A^{ti}$), ἔνθα καὶ Θυμβραίου Ἀπόλλωνος ἱερὸν ἐπιφανές (~ $U^{m}$). ZYQXAG

2 ἐπιφανές om YX || 2 ἐν ὧ θυμβραίου ἀπόλλωνος ναὸς ἵστατο U ||

K 430/$Z^{s}$ ἔλαχον: κλήρωι ἔλαβον. ZYQX

K 430/$Z^{s}$ ἀγέρωχοι: αὐθάδεις, θρασεῖς. ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τοὺς ἄγαν ἀνδρείους καὶ ἐντίμους. παρὰ τὸ ἄγαν αὐτοὺς ἐπὶ τοῦ γέρως ὀχεῖσθαι. ZYQXIG cf Ak

1 ἀγέρωχος (≃ λ 286)· αὐθάδης θρασύς QX ||

K 431/$Z^{s}$ Μήιονες: Λυδοί. ZYQX$A^{ti}G^{i}$

K 432/$Z^{s}$ διεξερέεσθε: ἐρωτᾶτε. ZYQX$A^{ti}$

K 433/A$^{ti}$ ⸤μέματον⸥ προθυμεῖcθε. = Θ 413𝔇

K 434/Z$^{s}$ νεήλυδες: νεωcτὶ ἐληλυθότες. ZYQXAA$^{ti}$T$^{r}$

K 435/Z$^{s}$ ἐν δέ cφι Ῥῆcoc βαcιλεύc (cφιν Hom.): Ῥῆcoc γένει μὲν Θρᾶιξ ἦν, υἱὸc δὲ Cτρυμόνοc, τοῦ αὐτόθι ποταμοῦ, καὶ Εὐτέρπηc, μιᾶc τῶν Μουcῶν. διάφοροc δὲ τῶν καθ' αὐτὸν γενόμενοc ἐν πολεμικοῖc ἔργοιc ἐπῆλθε τοῖc Ἕλληcιν, ὅπωc Τρωcὶ cυμμαχήcηι, καὶ cυμβαλὼν πολλοὺc τῶν Ἑλλήνων ἀπέκτεινεν. δείcαcα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει, κατελθοῦcα δὲ ἡ θεὸc Ὀδυccέα τε καὶ Διομήδην ἐπὶ τὴν καταcκοπὴν ἐποίηcεν προελθεῖν. ἐπιcτάντεc δὲ ἐκεῖνοι κοιμωμένωι Ῥήcωι αὐτόν τε καὶ τοὺc ἑταίρουc αὐτοῦ κτείνουcιν, ὡc ἱcτορεῖ Πίνδαροc (fr. 262, cf T$^{s}$). ZYQXAIG | ἔνιοι δὲ λέγουcιν νυκτὸc παραγεγονέναι τὸν Ῥῆcον εἰc τὴν Τροίαν, καὶ πρὶν γεύcαcθαι αὐτὸν τοῦ ὕδατοc τῆc χώραc φονευθῆ-ναι. χρηcμὸc γὰρ ἐδέδοτο αὐτῶι φαcιν, ὅτι εἰ αὐτόc τε γεύcεται τοῦ ὕδατοc καὶ οἱ ἵπποι αὐτοῦ τοῦ Cκαμάνδρου πίωcι καὶ τῆc αὐτόθι νομῆc, ἀκαταμάχητοc ἔcται εἰc τὸ παντελέc. ZYQ(X)AUIG~T$^{r}$

1 ἦν θρᾶιξ YQXAU || 2 καθ' αὐτῶν Z || 5 τε om YQX || 6 ἐκείνωι A || 9-10 τῆc χώραc ... ὕδατοc om A || 10 γὰρ Q : δὲ ZYU || φηcὶν ZYQU || γεύcηται Y || 11 πίουcιν A || νομῆc ⟨γεύcονται⟩ Y ||

K 435/Q$^{s}$ ἐν δέ cφι Ῥῆcoc βαcιλεύc: ὅcοι ἐκ Μουcῶν τίκτονται· Ὀρφεὺc ἐκ Καλλιόπηc ἢ Κλειοῦc· Λῖνοc Τερψιχόρηc, ἢ ὥc τινεc Εὐτέρπηc· Ῥῆcoc Τερψιχόρηc καὶ αὐτὸc ἢ Εὐτέρπηc Θρᾶιξ· Θαλείαc Παλαίφατοc· Ἐρατοῦc Θάμυριc ὁ Θρᾶιξ· Μελπομένηc καὶ Ἀχελώιου Cειρῆνεc· Πολυμνίαc ⟨Τριπτόλεμοc⟩. QAG ~ Eu 817,30

2-3 καὶ αὐτὸc om A || 3 θρᾶιξ om Eu || 4 πολυμνείαc Q || ⟨Τριπτόλεμοc⟩ A, Eu ||

N 302/$Z^s$ ἠὲ μετὰ Φλεγύας μεγαλήτορας: Φλεγύαι Γόρτυναν κατοικοῦντες παρανομώτατον καὶ ληιστρικὸν διῆγον βίον· κατατρέχοντες γὰρ τοὺς περιοίκους χαλεπῶς ἠδίκουν. Θηβαῖοι δὲ πλησιόχωροι ὄντες ἐδεδοίκεσαν καὶ μέχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος οἱ Διὸς καὶ Ἀντιόπης ἐτείχισαν τὰς Θήβας. ZYQXAU | εἶχε γὰρ Ἀμφίων λύραν παρὰ Μουσῶν αὐτῶι δεδομένην, δι' ἧς κατέθελγεν καὶ τοὺς λίθους, ὥστε καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτως ἐπέρχεσθαι. τούτων μὲν οὖν ζώντων οὐδὲν οἱ Φλεγύαι τοὺς Θηβαίους ⌜κακὸν Y⌝ ἠδύναντο διαθεῖναι, θανόντων δὲ αὐτῶν ἐπελθόντες σὺν Εὐρυμάχωι τῶι βασιλεῖ τὰς Θήβας εἷλον. πλείονα δὲ τολμῶντες ἀδικήματα κατὰ Διὸς προαίρεσιν ὑπὸ Ἀπόλλωνος διεφθάρησαν. ⌜οὗτοι δὲ ἐνέπρησαν καὶ τὸν ἐν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος. A⌝ ἡ ἱστορία παρὰ Φερεκύδει (FGrHist 3F41e = Fowler 41c). ZYQAU$I^m$G ~$T^s$ (𝔓Oxy 3003)
1 φλεγύ(ι)αι Z(A)U : φλέγυ(ι)ες (Y)QX || γόρτυναν : γυρτῶνα T-Ephorus (FGrHist 70F93) || 2 ληστρικώτατον Y || 5 αὐτῇ Z || 6 αὐτομάτους YAU ||

N 307/T^r ⌊Δευκαλίδη⌋ υἱὸϲ Δευκαλίωνοϲ.

N 310/Z^s δεύεϲθαι: προϲδεῖϲθαι. ZYQX

N 315/T^r ⌊μιν⌋ τοῦτον.

N 315/Z^s ἄδην ἐλόωϲιν: εἰϲ κόρον (=A^ti) ἔλωϲιν, ὅ ἐϲτιν τοῦ πολέμου κορεϲθῆναι ποιήϲωϲι. ZYQXG^i ~ Ak

N 315/T^r ⌊καὶ ἐϲϲύμενον πολέμοιο⌋ καὶ λίαν προθυμούμενον πολεμεῖν.

N 317/Z^s αἰπύ: μέγα, φοβερόν. ZYQX

N 317/Z^s ἔϲϲεται (ἐϲϲεῖται Hom.): γενήϲεται. ZYQ = A 239𝔇

N 319/T^r ⌊μὴ⌋ οὐχί.

N 320/Z^s+Q^s δαλόν: δαυλόν. ZYQX | κεκαυμένον ξύλον ( ~ ε 488𝔇). QXG^i

N 322/Z^s ἔδοι: ἐϲθίοι (≃T^r). 'Δημήτεροϲ' δὲ 'ἀκτὴν' τὸν ϲῖτον (=X). ἐπεὶ καταϲϲόμενοϲ καὶ ἀλούμενοϲ ὁ ϲῖτοϲ ἄρτοϲ γίγνεται. ZYQG

1 ἐϲθίει T^r || lemma 'Δημήτεροϲ ἀκτὴν' pro δὲ YQX ||

N 323/Z^s χαλκῶι τε ῥηκτόϲ: ϲιδηρότρωτοϲ. ZYQX. T^r τετρωμένοϲ.

N 324/Z^s ῥηξήνορι: ἀνδρείωι. παρὰ τὸ ῥέζειν(!). ZYQXG^i

ῥέζειν cf (H 228𝔇 ῥηξήνορα) : ῥήξειν de Marco scholiastam corrigens ||

N 324/Z^s χωρήϲειεν: παραχωρήϲειεν. ZYQX

N 325/Z^s ἔν γ' αὐτοϲταδίηι: ἐν τῆι ϲυϲτάδην μάχηι. ZYQXG^i

N 325/T^r ⌊ποϲὶ⌋ .. ἐρίζειν) → πρὸϲ τὸν 'Αχιλλέα· ποδώκηϲ γὰρ οὗτοϲ.

N 326/T^r ⌊νῶϊν⌋ ἡμῖν. O 217𝔇

N 327/Z^s+Q^s εἴδομεν: ἀντὶ τοῦ ἴδωμεν, ZYQX ≃ A 363𝔇 | θεαϲώμεθα. QX ≃ A 587𝔇

εἴδομεν Hom. : ἴδομεν Z^λ = μ 244, ἴδωμεν YQX^λ = K 97 ||

N 327/Z^s ἠέ τωι: ἤ τινι. ZYQX

N 327/Z^s εἴ κέ τωι: ἐάν τινι. ZYQX ~ Δ 415𝔇 εἴ κεν· ἐάν.

N 327/Z^s ὀρέξομεν: παράϲχωμεν. ZYQX

N 330/T^r ⌊οἱ δ'⌋ οἱ Τρῶεϲ.

N 333/Z^s ⟨ὁμόν:⟩ ὅμοιον (≃ Δ 437𝔇), ἰϲορρεπέϲ. (post 322) ZYQX

ὁμοίϊον (~ 358 -ου) ZYQX^λ : ὁμον (= Hom.)· ὅμοιον L, cf introd. 6,a ||

N 334/Z^s λιγέων ἀνέμων: τῶν κατὰ τὸν ἦχον ¦ ὀξέων (=T^r). ZYQXG^i.

N 334/A^ts ⌊λιγέων ἀνέμων⌋ ταχὺ πνεόντων. ≃ Ξ 17𝔇

N 334/T^r ⌊ϲπέρχωϲιν⌋ διεγείρονται.

N 336/T^r ⌊ἄμυδιϲ κονίηϲ⌋ ὁμοῦ μετὰ τῆϲ κονίαϲ.

N 337/Z^s ὁμόϲε: ⌜ὁμοῦ L = M 24𝔇⌝, εἰϲ τὸν αὐτὸν τόπον. ZYQX.

N 337/T^r ⌊ὁμόϲε⌋ εἰϲ τὸ αὐτό = M 24𝔇.

N 339/Z^s ἔφριξεν δὲ μάχη: ἐπυκνώθη δὲ ἡ μάχη τῆι τῶν δοράτων ἀνατάϲει (=X). φρίϲϲειν γὰρ τὸ ὀρθοῦϲθαι πυκνῶϲ. ZYQU^mI^mG. A^ts ὀρθώθη τῆϲ μάχηϲ τὰ δόρατα.

N 340/Z^s+Q^s ταμεϲίχροα (ταμεϲίχροαϲ Hom. = QXA^λ): τμητικὸν τοῦ χρωτόϲ. ZY(QX τμητικὰϲ) AG^i ~ Δ 511𝔇 | παρὰ τὸ ταμῶ ῥῆμα, οὗ ὁ μέλλων ταμέϲω. QAG ~EtM 745,30

N 340/Z^s ἄμερδεν: ἐϲτέριϲκεν, ¦ ἠμαύρου (=A^ti). ZY(Q ἐϲτέριϲεν) X

N 344/Z^s οὐδ' ἀκάχοιτο: οὐδὲ λυπηθείη ἄν. ZYQX

N 345/Z^s ἀμφὶϲ φρονέοντε: διάφορα καὶ κεχωριϲμένα φρονοῦντεϲ ¦ δυϊκῶϲ (=G). ZYQX

N 346/Z^s τετεύχατον: ἔτευχον, καταϲκεύαζον. (Z ἐτεύχατον^λ) YQX

N 351/Z^s ὀρόθυνεν: εἰϲ ὁρμὴν ἤγαγεν. ZYQX

N 351/Z^s μετελθών: ἐπ' αὐτοὺϲ παραγενάμενοϲ. (Z ἐπαϲτὸϲ) (YQX παραγενόμενοϲ)

N 352/Z^s ἤχθετο: ἐβαρεῖτο, ἐλυπεῖτο. ZYQX

N 353/T^r ⌊δαμναμένουϲ⌋ → τοὺϲ 'Αχαιούϲ.

N 354/Y^s ἦ μάν: ὄντωϲ δή, ἀληθῶϲ δή. YQX = B 370𝔇

N 354/$Z^s$ ἦ μὰν ἠδ' ἴα: τὸ πλῆρες "ἠδὲ ἴα", ἵνα ἦι "καὶ μόνη". ZQX

N 354/$Z^s$ πάτρη: ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσις, ἡ πατρίς. ZYQX$U^i$G

N 356/$Z^s$ ἀμφαδίηι: φανερῶς. ZY(QX ἀμφαδίην$^{\lambda}$ = v.l. Hom.)

N 356/$T^r$ ˪ἀλέεινεν˩ → ὁ Ποσειδῶν.

N 358/$Z^s$ τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πτολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν: ὁ δὲ Ζεὺς καὶ ὁ Ποσειδῶν τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τείναντες κατὰ ἀμφοτέρων τῶν στρατῶν ἔδησαν ἰσχυρῶι δεσμῶι, ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο. "τέλος" (= 359𝔇) γὰρ ὑποτίθεται ἀλληγορικῶς τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπιπεπλεγμένως, μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων καὶ Ποσειδῶνος κατὰ Διὸς γνώμην, καὶ τῶν ἐγκαταπεπλεγμένων ⌜κτεινομένων YQAG⌝ ἀπὸ τῶν ἐξοχῶν καὶ μὴ δυναμένων μήτε ῥαγῆναι μήτε λυθῆναι. ταῦτα οὖν ἀλληγορεῖ εἰς τὸ ἰσόρροπον αὐτῶν τὴν ἰσχὺν συστήσασθαι διὰ τὰς τῶν θεῶν βοηθείας. ZYQAU$I^m$G

3 κατ' ἀμφοτέρων YA || 5 ἐπιπλεγμένος Z, ἐπιπλεγμένως Y || 8 συστήσασθαι Z : συστῆσαι YQU, συστῆναι AL ||

N 359/$Z^s$ πεῖραρ: πέρας, ¦ τέλος (=$T^r$). 'ἐπαλλάξαντες' δὲ ¦ ἐπιπλέξαντες (=$T^r$) τὰς χεῖρας καὶ οἱονεὶ δήσαντες. ZYQX$G^i$

1 lemma 'ἐπαλλάξαντες' pro δὲ YQX || 2 χεῖρας YQXG : ἀρχὰς Z, κῆρας L ||

N 360/$Z^s$ ἄλυτον: ἀντὶ τοῦ δύσλυτον. ZYQX$G^i$

N 361/$Z^s$ μεσαιπόλιος: ὁ λεγόμενος σπαρτοπόλιος, ὧι διεσπαρμέναι εἰσὶν αἱ πολιαί· ὁ μεσῆλιξ. (Z μεσοπόλιος$^{\lambda}$) (Y 2 μεσόκαιρος) QX$I^m$G

N 362/$Z^s$ ἐν φόβον ὦρσεν: ἐνέβαλεν φυγήν. ZYQX

N 363/$Z^s$ Καβησόθεν ἔνδον ἐόντα: ἀπὸ Καβησοῦ πόλεως ἐνδεδημηκότα. ἔστιν δὲ ¦ πόλις Θράικης (=G) ZYQX | ἡ Καβησός. ZYG

N 364/$Z^s$ μετὰ κλέος εἰληλούθει: ἐπὶ τὴν †τῶν θεῶν δόξαν παρεγεγόνει. ZYQ$G^i$

τῶν θεῶν deleverim : τοῦ πολέμου L ||

N 366/$Z^s$ ἀνάεδνον: ἄνευ τῶν πρὸ γάμου διδομένων δώρων. ZYQ$G^i$~X

N 366/$T^i$ ˪ἀνάεδνον˩ δίχα τοῦ δοῦναι ἕδνα. $T^i$G

N 369/$Z^s$ ὑποσχεσίηισι πιθήσας: ταῖς ὑποσχέσεσι πιστεύσας. ZYQ

N 371/$Z^s$ ὕψι βιβάντα: ὑψηλὰ διαβαίνοντα. ZYQX

N 374/$Z^s$ αἰνίζομαι: ἐπαινῶ. ZYQX = ApS 14,29

N 381/$Z^s$ συνώμεθα: συνθήκην ποιησώμεθα. (Z ποιησόμεθα) YQX ~$T^s$

N 382/$Z^s$ ἀμφὶ γάμωι: περὶ γάμου. ZYQX

N 382/$Z^s$ ἐεδνωταί: κηδεσταί, πενθεροί (~ Ak ὅτι ...). ZYQ, cf A 268𝔇

κηδεσταί, πενθεροί om Q : προικοδόται L ||

N 384/$Z^s$ ἀμύντωρ: βοηθός. ZYQX

N 385/$Z^s$ πνείοντε κατ' ὤμω (ὤμων Hom.): καταπνέοντες αὐτοῦ τὸ μετάφρενον. ZQ

N 386/$Z^s$ ἵετο: προεθυμεῖτο. ZYQ

N 388/$Z^s$ διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν: διήλασε δὲ ὅ ἐστιν διεπέρασε τὸν σίδηρον. ZYQ~$G^i$

N 389/$Z^s$ ἀχερωΐς: ἡ λεύκη (=$G^i$). παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους στεφαμένου αὐτῆι ἐπὶ τῆι τοῦ Κερβέρου νίκηι. ZYQA$U^m$

2 ⟨καὶ⟩ αὐτήν, ⟨ἣ⟩ ὑπὸ Q || αὐτῆι : αὐτὴν A ||

N 390/$Z^s$ βλωθρή: μακρά. παρὰ τὸ βλώσκειν, ὅ ἐστιν βαίνειν (=$T^r$). ἢ εὐαξής. ZYQG

ἢ εὐεξής Y, ἥ ἐστιν εὐαξής Q, ἐυαυξὴς γάρ L ||

N 391/$Z^s$ νεήκεσι: νεωστὶ ἠκονημένοις. ZYQX

N 391/$T^r$ ˪νήϊον˩ ναυπηγήσιμον.

N 393/Z^s βεβρυχώς: βρυχόμενος cπώμενος, καὶ cυντρίβων τοὺς ὀδόντας ἢ δάκνων. μεμίμηται δὲ τὸ γινόμενον πάθος περὶ τοὺς βιοθανοῦντας. εἰώθαcι γὰρ τοὺς ὀδόντας βρύχειν (I^m). ZYQXAU^mG

1 βρυχώμενος QXA, om. U || δράκων Z || 2 δὲ om Z || βιοθανατοῦντας YAU ||

N 394/Z^s ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας: ἐξεπλάγη δὲ καὶ ἔκφρων ἐγένετο αὐτοῦ ὁ ἡνίοχος. ZYQ

N 399/Z^s εὐεργέος: ἐπιμελῶς κατεσκευασμένου. ZYQ

N 403/Z^s 'Αcίου ἀχνύμενος: ὑπὲρ 'Αcίου λελυπημένος. ZYQ ~T^s, Ak ὅτι ...

N 407/Z^s δινωτήν: εὖ περιδεδινημένην, κυκλοτερῆ. (Z περιδεδεμένην) YQ

N 407/T^r ⸤κανόνεcc'⸥ ῥάβδοιc.

N 408/Z^s ἐάλη: cυνεcτάλη. ZYQ

N 409/Z^s καρφαλέον: ξηρόν (=G^i). ὅθεν καὶ κάρφοc τὸ ξηρὸν καὶ λεῖον ξύλον. ZYQG.

N 409/Z^s ἐπιθρέξαντος: ἐπιψαύσαντος (=T^r), ἢ ἐπελθόντος. 'ἄϋcεν' δὲ ἤχηcεν. ZG^i(YQ lemma 'ἄϋcεν' pro δὲ)

N 414/Z^s ἄτιτοc: ἀτιμώρητοc. ZYQ

N 415/Z^s πυλάρταο: τοῦ τὰc πύλαc ἰcχυρῶc ἐφαρμόζοντοc. ZYQG ~ Ak ὅτι .., λ 277𝔇, ApS 137,25

N 415/T^i ⸤εἰc Ἄϊδοc⸥ 'Αττικῶc.

N 416/Z^s πομπόν: cύνοδον. ZYQ. A^ti cυνοδοιπόρον = Suda.

N 425/Z^s ἐρεβεννῆι: cκοτεινῆι. ZYQ

N 425/T^s νυκτὶ καλύψαι: περιφραcτικῶc "ἀποκτεῖναι". cf E 176𝔇, Z 26𝔇

N 429/Z^s ὤπυε: ἐγεγαμήκει. ZYQX

N 429/T^r ⸤Ἱπποδάμειαν⸥ ἀδελφὴν τοῦ Αἰνείου.

N 431/Z^s πᾶcαν γὰρ ὁμηλικίην ἐκέκαcτο: πάντων γὰρ τῶν ὁμηλίκων τῶι κάλλει διέφερεν. ZYQXU^mI^mG

1 παcῶν L || 2 διέφερεν om Z ||

N 435/Z^s θέλξαc: ἀπατήcαc, ἀμαυρώcαc. (post 399) ZYQ

N 435/Z^s πέδηcεν: κατέcχεν, ἔδηcεν. ZYQX

↑ N 435/Z^s ἔθελξεν: ἔβλαψεν μετά τινοc ἀπάτηc. (post 440) ZYQX; cf O 322𝔇 "ἠπάτηcεν".

N 436/Z^s οὔτ' ἀλέαcθαι: οὔτε ἐκκλῖναι καὶ ἐκφυγεῖν. ZY(QX φυγεῖν)

N 437/Z^s ὑψιπέτηλον: ἐφ' ὕψουc τὰ φύλλα ἔχον, Z(Y τὰ πέταλα) QXG^i | ὑψηλόν. ZY

N 439/T^i ⸤ῥῆξεν⸥ περιέρρηξε δὲ αὐτοῦ τὸν χιτῶνα. ~ Σ 66𝔇 + Γ 195𝔇

N 440/Z^s ἤρκει: ἀπήρκει, ἐκώλυεν. (Z ἐκώλυcεν) YQX.

N 440/T^r ⸤ἤρκει⸥ ἀπεδίωκεν, ἐπῆρξεν, ἐκώλυεν.

N 441/Z^s αὖον: ξηρόν. ZYQXT^r

N 441/L^s ἄϋcεν: ἐβόηcεν. = Γ 81𝔇

N 441/Z^s ἐρεικόμενοc: cχιζόμενοc, διακοπτόμενοc ZYQXG^i | τὸ ὄπιcθεν μέροc. ZQXG^i

N 442/Z^s δούπηcεν: ἐψόφηcεν, ἀπέθανεν ZYQ | ἐκ τοῦ παρακολουθοῦντοc. (post 425) ZQ

N 443/Z^s ἀcπαίρουcα: κινουμένη, παλλομένη. Z(YQX πάλλουcα)

N 443/Z^s οὐρίαχον: τὸν cαυρωτῆρα τοῦ δόρατοc, τουτέcτιν τὸ ὄπιcθεν μέροc, ὃν καὶ γρόcφον καὶ cτόρθυγγα φαcίν. ZYQXA*UG^i

2 κρόcφον U, γνόμφον Y || cτόρθυγγα ≃ Suda c 1144 : cτρόφιγγα A ||

N 443/T^r ⸤οὐρίαχον⸥ τὸ cιδήριον τὸ ἐν τῶι τέλει τοῦ ἀκοντίου.

N 443/Z^s πελέμιξεν: ἐδόνηcεν, ¦ διέcειcεν (=T^r). ZYQX

N 444/$Z^s$ ἔνθα δ' ἔπειτ' ἀφίει μένοϲ ὄβριμοϲ ⌜Ἄρηϲ YQ⌝: καθ' ὃ μέροϲ ἐκλύεται ἡ τοῦ δόρατοϲ κίνηϲιϲ. ZYQ. $A^{ts}$ ἀντὶ τοῦ †ὥρμα ὁ ϲίδηροϲ πρόϲω χωρῆϲαι.

2 τὴν εἰϲ τοὔμπροϲθεν ὁρμὴν ὁ ϲίδηροϲ ἵϲτη $T^s$ || ἀλλ' ἐκωλύθη add. Erbse ||

N 446/$Z^s$ ἦ ἄρα δή τι ϲ' εἴϲκομεν ἄξιον εἶναι τρεῖϲ ἑνὸϲ ἀντὶ πεφάϲθαι: ἆρα ἀξίωϲ καὶ δεόντωϲ δοκοῦμέν ϲοι αὐχεῖν (~$G^i$), τρεῖϲ ἀνθ' ἑνὸϲ πεφονευκότεϲ; ZYQA$U^m$~$T^r$

N 450/$Z^s$ ἐπίουρον: φύλακα. τῶι τόνωι δὲ ἀναγνωϲτέον προπαροξυτόνωϲ ὡϲ ἐπίκουρον. ZYQG

N 456/$Z^s$ ἑταρίϲϲαιτο: ἑταῖρον καὶ ϲυνεργὸν λάβοι (~ Ak ὅτι ...). ZYQ$G^i$. $T^i$ ϲυνεργὸν καλέϲαιτο.

N 458/$Z^s$ δοάϲϲατο: ἔδοξεν. ZYQX

N 459/$Z^s$ βῆ δέ μετ' Αἰνείαν (= Π 536, βῆναι ἐπ' αἰνείαν Hom. = $A^λ$): Τροίαϲ ἁλούϲηϲ Αἰνείαϲ Ἀγχίϲην παραλαβὼν τὸν πατέρα ἔφυγε. ναυαγίωι δὲ περιπεϲὼν περὶ τὸν Ἄθω ἀνήιει ϲὺν τῶι πατρί. καὶ Ἀγχίϲηϲ μὲν πρὸϲ τῶι Καλαύρωι ὄρει πληϲίον Ἀνθέμου ποταμοῦ τελευτᾶι, θάψαϲ δὲ αὐτὸν Αἰνείαϲ, ὅπου καὶ νῦν τάφοϲ ἐϲτὶν Ἀγχίϲου λεγόμενοϲ ⌜ἐν Πυάνηι YQXAG⌝, κατὰ βούληϲιν τῆϲ μητρὸϲ Ἀφροδίτηϲ πόλιν ἔκτιϲεν τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προϲαγορευομένην. τελευτήϲαντοϲ δὲ τούτου ὁ ἐξ αὐτῆϲ γενόμενοϲ παῖϲ λάθρα ἐπὶ τὴν πατρώιαν ἀρχὴν παραγενόμενοϲ καὶ πόλιν ἀναϲτήϲαϲ, παραλαβών τε τὸν ϲτρατὸν μετώικιϲεν εἰϲ Ἰταλίαν καὶ κτίζει πόλιν Ῥώμην. (post 361) ZYQXAU$I^m$G (𝔓Oxy 3003)

2 ἔφευγεν Z || 6 προϲαγορευθεῖϲαν YQXAUI || 7 ἀρχὴν ZA : om YQX ||

N 460/$Z^s$ ἐπεμήνιε: ἐπιμόνωϲ ¦ ὠργίζετο (=$A^{ti}$). (post 409) ZYQ

N 461/$Z^s$ οὔ τι τίεϲκεν: οὐδαμῶϲ ἐτίμα. ZYQX

N 464/$T^r$ ⌞γαμβρῶι⌟ τῶι Ἀλκαθόωι.

N 464/$Z^s$ κῆδοϲ: ϲυγγένεια. ὁτὲ δὲ λύπη. ZYQX$G^i$

N 469/$Z^s$ μεμηλώϲ: ἐπιμέλειαν καὶ φροντίδα ποιούμενοϲ. ZYQX

N 470/$Z^s$ τηλύγετον ὥϲ: ὡϲ παῖδα μονογενῆ. (Z ὡϲ$^λ$, cf A 162𝔇) YQX$G^i$

N 473/$Z^s$ οἰοπόλωι: ἤτοι ἐν ὧι ὀίεϲ ἀναϲτρέφονται, ὅ ἐϲτιν πρόβατα· πολεῖν γὰρ τὸ ἀναϲτρέφεϲθαι. ἢ ἐν ὧι οἶόϲ τιϲ καὶ μόνοϲ πολεῖται. ἐξ οὗ δηλοῖ τῶι ἐρήμωι. ZYQ$U^m$ ~ $A^{ti}$$I^m$$T^r$$G^i$

N 473/$Z^s$ φρίϲϲει: ἵϲτηϲιν. 'λόφον' (615) δὲ χαίτην. ZYQX

lemma 'λόφον' pro δὲ YQX || λόφον (615) : νῶτον (473) G ||

N 475/$Z^s$ θήγει: ἀκονᾶι. ZYQX

N 475/$A^{ti}$ ⌞ἀλέξαϲθαι⌟ διῶξαι.

N 477/$Z^s$ βοῆι θοόν: ἐν μάχηι ἀνδρεῖον (=X). βοὴν γὰρ καὶ τὴν μάχην ἐκάλουν ἀπὸ τοῦ παρεπομένου. ZYQG

N 478/$L^s$ Ἀϲκάλαφον: ἀϲκάλαφοϲ ὁ λίαν ϲκληρόϲ, παρὰ τὸ ἀϲκαλὲϲ τῆϲ ἀφῆϲ. L, $G^s$ ad 294, ~ EtM 154,25, Suda α 4157

N 484/$Z^s$ ἥβηϲ ἄνθοϲ: τὸ ἀκρότατον τῆϲ ἀκμῆϲ. ZYQX$G^i$

N 485/$Z^s$ ὁμηλικίηι: ἀντὶ τοῦ ὁμήλικεϲ. ZYQX$G^i$

ὁμηλικίη $Y^λ$ / ὁμηλικίηι $Z^λ$ / ὁμηλικίην $QX^λ$ (= N 431𝔇) = vv.ll. Hom. ||

N 487/$Z^s$ ἕνα φρεϲὶ θυμὸν ἔχοντεϲ: ἓν καὶ τὸ αὐτὸ φρονήϲαντεϲ. ZYQX$G^i$

φρονήϲαντοϲ Y, φρονοῦντεϲ QXG ||

N 492/$T^r$+$L^s$ κτίλον: τὸν κριόν. ≃ Γ 196𝔇

N 493/$Z^s$ πιόμενα: πιούμενα. 'ἐκ βοτάνηϲ' δὲ ¦ ἀντὶ τοῦ μετὰ βοτάνην καὶ νομήν (=$G^i$, ~ Ak ὅτι ...). Z(YQX lemma 'ἐκ βοτάνηϲ' pro δὲ). $T^r$ μετά.

N 493/$Z^s$+$Y^s$ γάνυται: διαχεῖται (= P 393𝔇 τάνυται!), YQX | χαίρει. ZYQX

N 497/$Z^s$ ξυϲτοῖϲι: τοῖϲ ⌜ἐξεϲμένοιϲ Q$G^i$ ≃ Δ 469𝔇⌝ δόραϲιν. ZYQX$G^i$. $T^s$ λείπει δόραϲιν.

N 501/$Z^s$ ἵεντο: προεθυμοῦντο. ZYQX

N 507/$Z^s$ θώρηκοϲ γύαλον: τὸ κοῖλον (=$T^r$) τοῦ θώρακοϲ. ZYQX

N 507/Z^s διὰ δ' ἔντερα χαλκὸϲ / ἄφυϲϲεν (ἤφυϲ' Hom.): διήντληϲε δὲ καὶ διέκοψεν (= Ξ 517𝔇) τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. ZYQXG

N 508/A^ti ⌊ἀγοϲτῶι⌋ ἀγκῶνι. = P 315𝔇

N 513/Z^s μεθ' ἑόν: ἐπὶ τὸ ἴδιον. ZYQX

N 514/A^ti ⌊ἀμύνετο⌋ ἀντὶ τοῦ ἠμύνετο. ≃ O 731𝔇

N 515/Z^s τρέϲϲε (τρέϲϲαι Hom. = Q^λ): ἔφυγεν μετὰ δέουϲ (≃ Λ 546𝔇, Ak ὅτι ..). ZY(Q διαφυγεῖν) X.

N 516/Z^s βάδην ἀπιόντοϲ: ἠρέμα παραγινομένου. ZYQXG^i

παραγενόμενοϲ Q, παραγενομένου X, πορεβομένου G^i, ἀπερχομένου L ||

N 517/Z^s δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲϲ αἰεί: ἐπιμόνωϲ γὰρ αὐτῶι ὠργίζετο. ZYQG

N 520/Z^s ἔϲχεν: διέϲχεν, ¦ διῆλθεν (=T^r). ZYQX

N 521/Z^s οὐδ' ἄρα πώ τι πέπυϲτο: οὐδέ πω ἐμεμαθήκει. ἐζήτηται δὲ πῶϲ θεὸϲ ὢν ὁ Ἄρηϲ οὐκ ᾔδει περὶ τοῦ υἱοῦ. ῥητέον οὖν, ὅτι παρὰ τῶι ποιητῆι ⌜οἱ θεοὶ ϲωματικῶϲ λαμβανόμενοι ἀνθρωποειδῶϲ YQXAG⌝ ἐφίϲτανται ἀθαναϲίαι μόνον διαφέροντεϲ ἀνθρώπων, τοῖϲ δ' αὐτοῖϲ ἐνέχονται πάθεϲιν. ZYQXAU^mI^mG

3 ἐφίϲτανται ZAU^m : ἐπίϲτανται YQXI || μόνηι A || 4 δ' om Q ||

N 521/Z^s βριήπυοϲ: μέγα καὶ βαρὺ βοῶν (=T^r). παρὰ τὸ ἠπύειν, ὅ ἐϲτιν φωνεῖν. ZYQXG^i. A^ti μεγαλόφωνοϲ ~ H 384𝔇 ἠπύτα.

N 524/Z^s ἐελμένοϲ: ϲυγκεκλειϲμένοϲ. (post 493) YT^r(ZQX ϲυγκεκλιμένοϲ)

N 525/Z^s ἐεργόμενοι: εἰργόμενοι, κωλυόμενοι. ZYQX

N 527/Z^s πήληκα: περικεφαλαίαν (=A^ti), λόφον. ZYQX

N 530/Z^s βόμβηϲε: ἤχηϲεν. ZYQX

N 532/Z^s πρυμνοῖο βραχίονοϲ: τοῦ ἐϲχάτην ἔχοντοϲ ἀπὸ τῆϲ ἐκφύϲεωϲ τὴν ἀρχὴν (=X) ἐπὶ τὸν νῶτον. (post 571) (ZYX ἐϲχάτου) QU^iG

N 533/T^r ⌊τὸν δὲ⌋ τὸν Δηΐφοβον.

N 534/Z^s περὶ μέϲϲωι χεῖρε τιτήναϲ: περὶ τὰ μέϲα αὐτῶι τὰϲ χεῖραϲ διατείναϲ καὶ ϲυλλαβών. (Z ϲυμβαλὼν) (YQXG αὐτοῦ)

N 535/Z^s δυϲηχέοϲ: κακὸν ἦχον φέροντοϲ. ZYQX

N 539/Z^s νεουτάτου: νεοτρώτου. ZQXT^r

N 542/Z^s λαιμόν: τὸν βρόγχον. ZYQX

N 543/Z^s ἐπὶ δ' ἀϲπὶϲ ἐάφθη: ἐπικατήχθη δὲ αὐτῶι ἡ ἀϲπίϲ, ὅ ἐϲτιν ¦ ἐπικατηνέχθη (=G^i). παρὰ τὸ ἕπεϲθαι (~ Hd). ZYQX(G 1 ἐπικατήφθη = Ξ 419𝔇)

N 543/A^ti ⌊ἐάφθη⌋ ἐκάμφθη ἢ ἐπηκολούθηϲεν = He ε 49. T^r ἤτοι ἀπεκρεμάϲθη ...

N 544/Z^s θυμοραϊϲτήϲ: ὁ τὴν ψυχὴν φθείρων. ZYQX

N 546/Z^s ἀπὸ δὲ φλέβα πᾶϲαν ἔκερϲεν: ὅλην δὲ ἀπέτεμε τὴν νωτιαίαν φλέβα. (Z ἐπέτεμε) YQX~G^i ~ 548/Ak ὅτι ...

N 546/Z^s ἔκερϲεν: ἔτεμεν, ἔκειρεν. ZYQX

N 547/Z^s ἀνὰ νῶτα θέουϲα: κατὰ τὰ νῶτα τεταμένη. ZYQX

N 551/Z^s περιϲταδόν: περιϊϲτάμενοι. ZYQXT^r

N 555/T^r ⌊ἐν πολλοῖϲ βελέεϲϲιν⌋ ἐν ἄλλαιϲ μάχαιϲ.

N 557/T^r ⌊οἱ ⟨ἔγχοϲ⟩⌋ αὐτοῦ τὸ ἔγχοϲ.

N 557/Z^s ϲτρωφᾶτο: ἀνεϲτρέφετο. ZYQX

N 558/Z^s ϲειόμενον: κινούμενον. ZYQX

N 558/Z^s ἐλέλικτο: εἰλεῖτο, ἐϲτρέφετο. ZYQX

N 559/Z^s ἤ τευ: ἤ τινόϲ. ZYQXT^r

N 560/T^r ⌊τιτυϲκόμενοϲ⌋ καταϲτοχαζόμενοϲ.

N 562/Z^s ἀμενήνωϲεν: ἀϲθενῆ γενέϲθαι ἐποίηϲεν. ZYQX

N 563/Z^s βιότοιο μεγήραϲ: φθονήϲαϲ τοῦ βίου, ὅ ἐϲτιν τῆϲ ζωῆϲ. ZYQXG

N **/Z^s περίτρεϲαν: διὰ δέοϲ ἔφυγον. ZYQX = Λ 676𝔇, cf N 515𝔇 τρέϲϲε.

N 564/$Z^{s}$ cκῶλοc: cκόλοψ, ἢ ¦ ἀκάνθηc εἶδοc, ἢ πυρωθεῖcα εὐτονωτέρα γίγνεται (= $A^{ts}$). 'πυρίκαυτοc' δὲ ὁ πυρὶ κεκαυμένοc, ὁ ἡμίφλεκτοc. ZYQX ~ $U^{m}I^{m}$+$I^{i}$G+$G^{i}$
1 cκῶλοc et ἢ om Y || cκόλοψ ἢ om Q || εὔτονοc $A^{t}$ || 2 πυρίκαυcτοc $Q^{\lambda}$ / πυρίκαυτοc $ZYX^{\lambda}$ = vv.ll. Hom. || lemma 'πυρίκαυτοc' pro δὲ YQX || περικεκαυμένοc {ὁ} QG ||

N 567/$Z^{s}$ μεταcπόμενοc: ἐπιδιώξαc, ἐπακολουθήcαc. $ZYQXT^{i}$
ἐπιδιώξαc ZYQX : ἐπιδραμών $T^{i}$ = E 80𝔇 ||

N 568-9/$Z^{s}$ ἔνθα μάλιcτα / γίνεται Ἄρηc ἀλεγεινόc: ὅπου ἀλγεινοτάτη καὶ δεινὴ γίνεται ἡ ¦ τρῶcιc. ZYX(Q$G^{i}$ ἀλγεινὴ)

N 569/$A^{ts}$ ὁ πόλεμοc κυρίωc, δι' ὃν ἡ ¦ τρῶcιc (=$T^{r}$). cf B 381𝔇

N 570/$Z^{s}$ cχόμενοc περὶ δουρί: καταcχεθεὶc καὶ περιπαρεὶc τῶι δόρατι. $ZYQXG^{i}$

N 571/$Z^{s}$ ἤcπαιρε (= 573): ἐcκάριζεν (=X), ἐκινεῖτο. ZYQ

N 572/$Z^{s}$ ἰλλάcιν: τοῖc ἐξ ἱμάντων πεπλεγμένοιc δεcμοῖc. ZYQG(X cυμπεπλεγμένοιc) ~$T^{i}$

N 577/$Z^{s}$ ἀπὸ δὲ τρυφάλειαν ἄραξεν: ἀπέκοψε δὲ τὴν περικεφαλαίαν. ZYQX

N 578/$Z^{s}$ ἀποπλαγχθεῖcα: ἀποκρουcθεῖcα. $ZYQXT^{r}$

N 583/$T^{r}$ ⸤ὁ δὲ⸥ ὁ Ἕλενοc.

N 584/$Z^{s}$ ὁμαρτήτην: ὁμοῦ ἀφῆκαν. $ZYQXT^{r}$. $A^{ti}$ ὁμοῦ cυνῆλθον.

N 587/$A^{ti}$ ⸤ἀπὸ δ' ἔπτατο⸥ ἀπεκρούετο. ≃ N 578𝔇

N 588/$Z^{s}$ πτυόφιν: πτύου (=$G^{i}$). πτύον δέ ἐcτιν, ἐν ὧι τὰ ἠλοημένα γεννήματα ἀναβάλλουcιν χωρίζοντεc τοῦ ἀχύρου. ὁ δὲ τύποc παράγωγοc. ZYQXG(A ἡλωμενα)

N 589/$Z^{s}$ θρώcκουcιν: ἀποπηδῶcιν. ZYQX

N 590/$Z^{s}$ λιγυρῆι: ὀξέωc περιπνεούcηι αὖραι. Z(YQX$G^{i}$ πνεούcηι)

N 595/$Z^{s}$ ἐλήλατο: ἐνεπάγη. ZYQX

N 599/$Z^{s}$ ἐϋcτρόφωι οἰὸc ἀώτωι: καλῶc περιεcτραμμένωι ἐρίωι (~ $U^{m}$), τουτέcτιν ἐρεᾶι cφενδόνηι. 'οἰὸc' γὰρ 'ἀώτωι' προβάτου ¦ ἄνθει, ὅ ἐcτιν ἐρίωι (~$T^{r}$). $ZYQXG^{i}$
ἐυcτρεφεῖ $Z^{\lambda}$ (= ξ 346) || 1 ἐρία Q ||

N 608/$Z^{s}$ cχέθεν (ἔcχεθε Hom.): ἐπέcχεν. (etiam post Ξ 98 YQ) ZYQ = A 219𝔇

N 612/$Z^{s}$ ἐλαΐνωι ἀμφὶ πελέκκωι: τῶι τοῦ πελέκεωc cτειλειῶι (~ ε 236), παρὰ τὸ πεπελεκῆcθαι. περὶ οὖν τῶι ἐλαΐνωι cτειλεῶι φηcιν. (ZY ἐλαϊνέω $^{\lambda}$) YQG

N 613/$Z^{s}$ ἅμα δ' ἀλλήλων ἐφίκοντο: ὑπὸ τὸ αὐτὸ δὲ ἔτυχον ἀλλήλων. (Z ἐτέτευχον) YQ~$G^{i}$

N 615/$Z^{s}$ λόφον: χαίτην. ZYQX ad 473 φρίccει .. νῶτον! tranp., hic $L^{s}$.

N 616/$Z^{s}$ ῥινὸc ὑπὲρ πυμάτηc: τὸν ὑπὲρ τὴν ῥῖνα τόπον, τὸ μέτωπον. ZYQ

N 616/$Z^{s}$ λάκε: ἐcχίcθη. ὀνοματοποιία ὁ τρόποc. ZYQXG. $T^{i}$ ἤχηcεν ≃ Y 277𝔇.

N 616/$Z^{s}$ τὼ δέ οἱ ὄccε πὰρ ποcὶν αἱματόεντα: τὸ δὲ ὑγρὸν τὸ κατὰ τοὺc ὀφθαλμοὺc ἐξερρύη αὐτοῦ μετὰ τοῦ αἵματοc. $ZYQXG^{i}$

N 620/$Z^{s}$ λείψετέ θην: καταλείψετε δή. ZYQX

N 622/$Z^{s}$ ἄλληc λώβηc: ἄλληc ὕβρεωc. ZYQX

N 622/$Z^{s}$ οὐκ ἐπιδευεῖc: οὐκ ἐνδεεῖc, ἀλλὰ πλήρειc ⸢ἐcτέ Q$G^{i}$ ~ $A^{t}$⸣. $ZYQXT^{r}G^{i}$

N 624/$Z^{s}$ ἐριβρεμέτεω: μεγάλωc ἠχοῦντοc. ZYQX

N 625/$Z^{s}$ διαφθέρcει: διαφθερεῖ, ἀπολέcει. ZYQXG

N 627/$Z^{s}$ ἐπεὶ φιλέεcθε: ὅτι ¦ φιλοφροcύνηc καὶ ξενίαc ἐτύχετε (=$G^{i}$). ZYQX
ἐπεὶ φιλέεcθε $Q^{\lambda}$ = Hom. : ἢ φιλέεcθαι $Z^{\lambda}$($Y^{\lambda}$ ἢ), ἢ φιλέεcθε $X^{\lambda}$ || 1 ἔτυχε Z ||

N 630/$Z^{s}$ ἀλλά ποθι cχήcεcθε: ἀλλὰ ἀφέξεcθε δήπου. ZX(YQ φεύξεcθε) ~G

N 630/$Z^{s}$+$Q^{s}$ ποθὶ ⸤cχήcεcθε⸥: cύνδεcμοc παραπληρωματικόc, ZYQXG | τουτέcτι πόρρω κρατηθήcεcθαι (~ M 107𝔇 "κωλυθῆναι"). Q~(G πόρρωθεν κρατηθήcεcθε)

N 631/$Z^{s}$ περὶ φρέναc ἔμμεναι ἄλλων: φρονήcει διαφέρειν τῶν λοιπῶν θεῶν. ZYQXG

N 632/$Z^{s}$ cέο δ' ἐκ τάδε πάντα πέλονται: ἐκ cοῦ δὲ πάντα ταῦτα γίγνονται. ZYQXG

N 634/$Z^s$ ἀτάcθαλον: ἄδικον. ZYQX

N 638/$Z^s$ ἐξ ἔρον εἶναι: προέcθαι τὴν ἐπιθυμίαν, κορεcθῆναι. (ZYQX εἶναι$^λ$)

N 641/$T^r$ ⌊cυλήcαc⌋ cκυλεύcαc. cῦλα γὰρ τὰ cκῦλα παρὰ τοῖc παλαιοῖc.

N 653/$T^r$ ⌊καταῦθι⌋ αὐτόθι.

N 656/$Z^s$ ἀμφεπένοντο: περὶ αὐτὸν ἠcχολοῦντο ZYQX | καὶ ἐνήργουν. ZYX

N 657/$Z^s$ ἀνέcαντεc: ἀναθέντεc, ἀναβιβάcαντεc. ZYQX

N 658/$Z^s$ μετὰ δέ cφι πατὴρ κίε δάκρυα λείβων: ἀντὶ τοῦ δακρύοιc καταρρεόμενοc. ZYQX | ζητεῖται πῶc ἀνωτέρω ἀνῃρημένοc ὑπὸ Μενελάου ὁ Πυλαιμένηc E 576) τὰ νῦν δύναται ἀκολουθεῖν τῶι παιδὶ καὶ κλαίειν. ἔcτι δὲ λέγειν, ὅτι δύο Πυλαιμένειc Παφλαγόνων ἡγεμόναc cυνίcτηcιν ὁ ποιητὴc ὡc Αἴαντac δύο καὶ Εὐρυβάταc δύο κήρυκαc, τὸν μὲν Ἀγαμέμνονοc, τὸν δὲ Ὀδυccέωc. ἔνιοι δὲ πιθανῶc μεταγράφουcιν 'μετὰ δ' οὔ cφι πατὴρ κίε δάκρυα λείβων. / ποινὴ δ' αὖ τιc παιδὸc ἐγίνετο τεθνειῶτοc', ἐπεὶ ὁ Ἀλέξανδροc χαλεπήναc ὑπὲρ τοῦ ἀνῃρημένου Εὐχήνορα τὸν Κορίνθιον ἀναιρεῖ. ZYQXAUG

1 μετ' αὐτοῦ δὲ ὁ πατὴρ ἐπορεύετο δάκρυcιν καταρρεόμενοc Q || 2 ζητεῖται ⟨δὲ⟩ YQXU || 5 ἀπιθάνωc Cobet Mnem. 4 (1876) 243 || 6 αὖ τιc Z : οὔ τιc YQXAU Hom. ||

N 659/$A^{ti}$ ⌊ποινὴ⌋ τὰ ὑποφόνια. ~ Σ 497𝔇

N 664/$Z^s$+$Q^s$ Κορινθόθι οἰκία ναίων: ἐν Κορίνθωι κατοικῶν, ZYQX$G^i$ | τὴν οἰκίαν ἔχων. Q$G^i$

N 669/$A^{ts}$ ⌊θωήν⌋ νῦν τὴν μέμψιν.

N 669/$Z^s$ θωήν: τὴν ζημίαν. ¦ λέγει δὲ τὸ τῆc cτρατείαc ἐπιζήμιον (~$T^r$). ZYQXG

N 678/$Z^s$ πρὸc δὲ cθένει αὐτὸc ἄμυνε: προcεβοήθηcε δὲ καὶ αὐτὸc τῆι δυνάμει αὐτοῦ. (Z ἀμύνει$^λ$) YQG. $A^{ti}$ ⌊cθένει⌋ τῆι οἰκείαι δυνάμει. $T^r$ → ἐκείνων καὶ →

N 679/$A^{ti}$ ⌊ἧι⌋ ἀντὶ τοῦ ὅπου. = Ψ 420𝔇

N 682/$T^r$ ⌊εἰρυμέναι⌋ εἱλκυcμέναι. Lex 190

N 683/$Z^s$ χθαμαλώτατον: κοιλότατον. ZYQX

N 683/$T^r$ ⌊ἔνθα⌋ ὅπου (= A 610𝔇).

N 684/$T^r$ ⌊ζαχρηεῖc⌋ ἰcχυροί.

N 685/$Z^s$ Ἰάονεc: Ἴωνεc. λέγει δὲ τοὺc Ἀθηναίουc (=X) ἀπὸ Ἴωνοc τῆc Κρεούcηc τῆc Ἐρεχθέωc καὶ Ξούθου τοῦ Ἕλληνοc. ZY$U^m$(Q ξάνθου). $A^{ti}$ Ἀθηναῖοι.

N 685/$Z^s$ ἑλκεχίτωνεc: βαθεῖc χιτῶναc ἔχοντεc, ἄζωcτοι. ZYQX

N 686/$Z^s$ Φθῖοι: οἱ τὴν ὑπὸ Πρωτεcιλάου Φθίαν πόλιν Θεccαλίαc οἰκοῦντεc, οἱ δὲ τὴν ὑπὸ Ἀχιλλέα Φθιῶται καλοῦνται. ZY(Q Ἀχιλλέωc) X ~ $U^m$

N 686/$Z^s$ φαιδιμόεντεc: ἐπιφανεῖc καὶ λαμπροὶ ταῖc πράξεcι. ZYQX$G^i$

N 687/$T^i$ ⌊cπουδῆι⌋ μόγιc (= E 893𝔇) ἐπεῖχον τὸν Ἕκτορα ὁρμῶντα.

N 689/$Z^s$ προλελεγμένοι: προκατηριθμημένοι. ZYQX

N 697/$Z^s$ ἣν ἔχ' Ὀϊλεύc: ἣν ἐγεγαμήκει Ὀϊλεύc. ZYQXG

N 699/$Z^s$ πρὸ Φθίων: πρὸ τῶν Φθίων. ZYQX

N 700/$Z^s$ ναῦφιν: ὑπὲρ τῶν νεῶν. ZYQX

N 703/$A^{ti}$ ⌊νειῶι⌋ ἠροτριαcμένηι γῆι. ≃ K 353𝔇

N 703/$Z^s$ βόε οἴνοπε: ἤτοι μέλανεc ἢ ξανθοί. ZYQX$G^i$. $A^{ti}$ μέλαιναι.

N 704/$Z^s$ τιταίνετον: τείνουcιν, ἕλκουcιν. ZYQX

N 705/$Z^s$ πρυμνοῖcιν κεράεccιν: τοῖc ἐcχάτοιc μέρεcιν τῶν κεράτων (=$G^i$) τοῖc πρὸc τὴν ἔκφυcιν. ZYQX

N 705/$Z^s$ ἀνεκήκιεν (ἀνακηκίει v.l. Hom.): ἀνεφέρετο. ZYQX ≃ H 262𝔇

N 706/$T^r$ ⌊τὼ .. ζυγὸν οἶον⌋ τούτουc .. τὸ→ .. μόνον.

N 706/$Z^s$ ἀμφὶc ἐέργει: διείργει, χωρίζει. ZYQX~$T^r$

N 707/$Z^s$ ὦλκα: τὴν αὔλακα. ZYQXE$T^r$

N 707/$Z^s$ τέμνει δέ τε τέλcον ἀρούρηc: τέμνεται δὲ εἰc βάθοc ἡ γῆ. Z(Y)QX ~ $E^s$

N 707/$Z^{s}$ τέλcον: τέλοc. ZYQX

N 710/$Z^{s}$ ἐξεδέχοντο: διεδέχοντο. (post 683) ZYQX$T^{i}$

N 713/$Z^{s}$ οὐ γάρ cφιν cταδίηι ὑcμίνηι μίμνε φίλον κῆρ: οὐ γὰρ ὑπέμενον τὴν cυcτάδην μάχην. (Z cταδίην) YQG

N 716/$T^{r}$ ˪ἀώτωι˩ ἤτοι τῆι cφενδόνηι.

N 717/$T^{i}$ ˪ἔπειτα˩ ἀντὶ τοῦ δη̅. = α 106𝔓

N 722/$Z^{s}$ cυνεκλονέοντο: cυνεταράccοντο, ZYQX | cυνεκινοῦντο. ZYX

N 723/$Z^{s}$ λευγαλέωc: ὀλεθρίωc (= $T^{i}$), ἀδόξωc. ZYQX

N 726/$Z^{s}$ παραρρητοῖcι: παραμυθητικοῖc (= ApS 128,26), παραινετικοῖc. ZYQX. $A^{ti}$ cυμβούλοιc = Suda.

N 728/$Z^{s}$ περιίδμεναι: περιccῶc εἰδέναι. ZYQX

N 729/$Z^{s}$ ἅμα: νῦν ἐπίρρημα χρόνου δηλωτικόν. ZYQX$I^{m}$G cf A 495𝔇.

N 733/$Z^{s}$ ἐπαυρίcκονται: ἀπολαύcωcιν. Z(Y ἀπολαύcουcιν) (Q ἀπολαύουcιν) X

N 734/$Z^{s}$ μάλιcτα δέ κ' αὐτὸc ἀνέγνω: ἐξαιρέτωc δὲ καὶ αὐτὸc ἐγνώριcεν τὸ τῆc cυνέcεωc ἀγαθόν. ZYQX~G

N 736/$Z^{s}$ πάντηι γάρ cε περὶ cτέφανοc πολέμοιο δέδηεν: πανταχόθεν γάρ cε περιεκυκλώcαντο οἱ πολέμιοι. ZYQG

N 741/$Z^{s}$ ἐπιφραcώμεθα (ἐπιφραccαίμεθα Hom. ~ $Q^{\lambda}$): ἐπινοήcωμεν. ZYQX

N 742/$Z^{s}$ πέcωμεν: ἐμπέcωμεν, εἰcέλθωμεν. ZYQX

N 745/$Z^{s}$ μὴ τὸ χθιζὸν ἀποτίcωνται .. χρεῖοc (ἀποcτήcωνται v.l. Hom.): μή πωc τὴν χθεcινὴν ἧτταν ἀποδώcωcιν ἡμῖν οἱ Ἕλληνεc, ὥcπερ cταθμῶι δεδανεικότεc (=X). μηδέπω γὰρ νομιcμάτων ὑπαρχόντων cταθμῶι ἐδάνειζον οἱ ἀρχαῖοι χρυcίον καὶ ἀργύριον καὶ τὰ παραπλήcια. ZYQAUG

2 ἀποδώcουcιν YQXAUG || 3 νομίcματοc ὑπάρχοντοc Y ||

N 745/$Z^{m}$ cχό˪λιον˩ ὅθεν καὶ ὀβολοcτάται οἱ δανειcταί· καὶ χρέοc τὸ δάνειον. καταcτρεφόμενα δὲ εἰc ἥττημα ἀλληγορικῶc. $Z^{m}$($U^{s}$ καταcτρέφει δὲ εἰc τὸ ἥττημα).

N 746/$Z^{s}$ χρεῖοc: δάνειον. ZYQX

N 747/$Z^{s}$ cχήcεcθαι: ἀποcχέcθαι, παύcαcθαι. ZY(Q ἀποπαύcαcθαι) X

N 748/$Z^{s}$ ἅδε: ἤρεcεν. ZY(Q ἤρεcκεν) X

N 752/$Z^{s}$ ἀντιόω: ὑπαντήcω, μεταλήψομαι. ZX(YQ ἀπαντήcω) etiam inter Ξ 445 et 447

N 755/$Z^{s}$ πέτετο: ἔτρεχεν ὑπερβολικῶc. (inter Ξ 445 et 447) ZYQX ≃ E 366𝔇

N 756/$T^{r}$ ˪Πανθοίδην˩ τὸν υἱὸν Πάνθου.

N 756/$Z^{s}$ ἀγαπήνορα: ἀγαπῶντα τὴν ἀνδρείαν, πολεμικόν. 'ἀπήμοναc' (761) δὲ ἀβλαβεῖc, ἀcινεῖc. Z(YQX lemma 'ἀπήμοναc' pro δὲ)

N 758/$T^{r}$ ˪βίην θ' Ἑλένοιο˩ τὸν Ἕλενον.

N 761/$Z^{s}$ τοὺc δ' εὗρεν οὐκέτι πάμπαν ἀπήμοναc οὐδ' ἀνολέθρουc: cυλληπτικῶc πέφρακεν ἀντὶ τοῦ τοὺc μὲν οὐκ ἀπήμοναc τοὺc τετρωμένουc, τοὺc δὲ οὐκ ἀνωλέθρουc τοὺc ἀνῃρημένουc. ZYQX$U^{m}I^{m}$G ~ Ak ὅτι ...

N 763/$Z^{s}$ κέατο: ἔκειντο. (Z κεῖντο) Y (X κεῖνται = Λ 659𝔇)

N 764/$Z^{s}$ βεβλημένοι οὐτάμενοί τε: ἀντὶ τοῦ οἱ μὲν ἀπὸ μήκουc βεβλημένοι δόρατι ἢ ἰῶι· οἱ δὲ ἐκ τοῦ ἐγγὺc τετρωμένοι ξίφει ἤ τινι τοιούτωι. ZY(Q περ$^{\lambda}$) XA$I^{m}$G

N 767/$Z^{s}$ θαρcύνοντα: παρορμῶντα. ZYQX

N 772/$A^{ti}$ ˪κατ' ἄκρηc˩ "κατὰ κράτοc" cf He κ 1186 "κατὰ κρατόc", O 557𝔇 "κατὰ κεφαλῆc".

N 773/$Z^{s}$ νῦν τοι cῶc αἰπὺc ὄλεθροc: νῦν οὐδὲν ἐλλείπει coι πρὸc ἀπώλειαν. Z(YQ αἰπὺc$^{\lambda}$ om) XG~$T^{r}$. $A^{td}$ "νῦν coι ζώcεται! αἰπὺc ὄλεθροc (ζήcεται Villoison, cώιζεται Erbse),

N 776/$Z^{s}$ ἄλλοτε: ἐν ἄλλωι καιρῶι. ZYQX

N 776/$Z^{s}$ ἐρωῆcαι πολέμοιο μέλλω: ἔοικα ἠμεληκέναι τοῦ πολέμου. ZYQX. $T^{r}$ ὑποχωρῆcαι.

N 777/L$^{s}$ ἀνάλκιδα: ἀϲθενῆ. ≃ E 349𝔇

N 781/T$^{r}$ ⌞οἴῳ⌟ μόνοι.

N 782/Z$^{s}$ τετυμμένῳ: τετρωμένῳ (~T$^{r}$) ἐκ χειρόϲ. ZYQX

N 786/A$^{ts}$ ⌞ἀλκῆϲ⌟ ἀντὶ ἀλεξήϲεωϲ καὶ βοηθείαϲ. ≃ Θ 140𝔇

N 786/Z$^{s}$ δευήϲεϲθαι: ἐνδεηθῆναι. ZYQX

N 793/Z$^{s}$ Ἀϲκανία (Ἀϲκανίηϲ Hom.): πόλιϲ Φρυγίαϲ. ZYQXG$^{i}$. T$^{r}$ πόλεωϲ.

N 793/Z$^{s}$ ἀμοιβοί: ἤτοι οἱ ἐξ ἀμοιβῆϲ καὶ ἐναλλάξεωϲ παραγεγονότεϲ (~ ApS 27,28) ϲυμμαχῆϲαι τοῖϲ Τρωϲὶν ἀντὶ τῶν πρότερον ϲυνεργούντων αὐτοῖϲ πολιτῶν (=X). διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεϲθαι οἱ πρῶτοι κεκμηκότεϲ κατὰ μάχην ἰϲαρίθμων αὐτοῖϲ ἄλλων ἀποϲτελλομένων ἀπεπέμποντο, ὡϲ εἰκὸϲ ἐξ ἀμοιβῆϲ ⌜ἀμύνοντεϲ. ἢ οἱ ἀμοιβὴν YQAG⌝ ἀποδιδόντεϲ τῶι Πριάμωι διὰ τὸ καὶ αὐτὸν ϲυμμαχῆϲαι Φρυξίν (cf Γ 188). (=I$^{m}$) | ἐπιφέρει γὰρ 'ἠοῖ τῆι προτέραι' (794)· λέγει γὰρ ἐν τῶι Καταλόγωι 'Φόρκυϲ δ' αὖ Φρύγαϲ ἦγε καὶ Ἀϲκάνιοϲ θεοειδήϲ' (B 862), οἷοι ἀμοιβοί. διὰ γὰρ τῆϲ ἀμοιβῆϲ τῶν ποδῶν γίνεται ἡ τῶν πεζῶν ἔφοδοϲ. ZYQAUG

2 αὐτοῖϲ : αὐτῶν ZQA || 6 προτέρηι Hom. = G || 7 δ' αὖ ZA : αὖ YQU Hom. || οἷοι ἀμοιβοί ZQAU (οἷον Vill., ἢ L) : οἵ ῥ ἐξ ἀϲκανίηϲ ἐριβώλακοϲ ἦλθον ἀμοιβοί (= 793) Y ||

N 794/Z$^{s}$ ἠοῖ τῆι προτέρηι: ἀντὶ τοῦ τῆι χθὲϲ ἡμέραι. (Z τῆι om) YQX

N 796/Z$^{s}$ ὑπὸ βροντῆϲ: ἀντὶ τοῦ μετὰ βροντῆϲ. ZYQX

N 796/Z$^{s}$ πέδον δέ: εἰϲ τὸ ἔδαφοϲ. ZYQX

N 797/Z$^{s}$ θεϲπεϲίωι ὁμάδωι: θείωι θορύβωι. ZYQX

N 797/Z$^{s}$ ἁλί: τῆι θαλάϲϲηι. ZYQX

N 798/Z$^{s}$ παφλάζοντα: ἠχοῦντα, ἀναζέοντα. ὀνοματοποιία ὁ τρόποϲ. ZYQ

ὠνοματοπεποίηται ὁ τρόποϲ Y ||

N 799/Z$^{s}$ κυρτά: ὑψηλά. ZYQ | 'φαληριόωντα' δὲ λευκανθίζοντα, τουτέϲτιν λευκαινόμενα ὑπὸ ἀφροῦ. ZG(YQX φαληριόωντα (lemma!)· λευκανίζοντα)

N 799/Z$^{s}$ πρὸ μέν τ' ἄλλα αὐτὰρ ἐπ' ἄλλα: ἄλλα πρὸ ἄλλων, τουτέϲτιν ἐπάλληλα, πυκνά. ZYQXG

N 800/T$^{r}$ (ἀρηρότεϲ) ἡρμοϲμένοι.

N 804/Z$^{s}$ ἐπελήλατο: ἐπικατεϲκεύαϲτο. ZYQX

N 805/Z$^{s}$ ἀμφὶ δέ οἱ κροτάφοιϲι φαεινὴ ϲείετο πήληξ: περὶ δὲ τοῖϲ κροτάφοιϲ αὐτοῦ ἐϲείετο ἡ περικεφαλαία ¦ ϲφοδρῶϲ ἐνεργοῦντοϲ (=G). (Z lemma om) YQ

N 808/Z$^{s}$ οὐ ϲύγχει: οὐκ ἐθορύβει, οὐκ ἐτάραττεν. ZYQX

N 809/Z$^{s}$ βιβάϲθων: διαβάϲ. ZYQX = Ξ 453𝔇. A$^{ti}$T$^{r}$ διαβαίνων ≃ Γ 22𝔇.

N 810/A$^{ti}$ ⌞τίη⌟ τί δή. = Z 55𝔇

N 810/Z$^{s}$ δειδίϲϲεαι: εἰϲ δέοϲ ἄγειϲ, ἐκφοβεῖϲ. ZYQX

διδείϲϲεο Z$^{\lambda}$ i.e. δειδίϲϲεο Δ 184 ||

N 811/Z$^{s}$ ἀδαήμονεϲ: ἀμαθεῖϲ. ZYQX

N 812/Z$^{s}$ Διὸϲ μάϲτιγι: τῆι ἐκ Διὸϲ πληγῆι, τῶι κεραυνῶι. ZYQX

N 813/Z$^{s}$ ἦ θην: ὄντωϲ (T$^{r}$) δή. ZYQX

N 813/L$^{s}$ ἐξαλαπάξειν: κενώϲειν, ¦ πορθήϲειν (~ A 129𝔇).

N 815/T$^{r}$ (ἦ κε) ὄντωϲ κεν.

N 815/Z$^{s}$ φθαίη: φθάϲηι. ZY(Q φθάϲει) X

N 815/A$^{ti}$ ⌞ὑμή⌟ ὑμετέρα. A$^{ti}$T$^{r}$ ≃ E 489𝔇

N 817/U$^{m}$ καὶ ϲοὶ αὐτῶι προλέγω ἐγγὺϲ τῆϲ πόλεωϲ εἶναι †πεφονευμένοϲ. U$^{m}$~I$^{i}$

N 819/Z$^{s}$ ἰρήκων: ἱεράκων. ἔϲτι δὲ εἶδοϲ ἀετοῦ. ZYQXG

N 820/Z$^{s}$ κονίοντεϲ: κονιορτὸν ἐγείροντεϲ. ZYQX

N 821/Z$^{s}$ δεξιόϲ: αἴϲιοϲ, ZQX | ἀγαθόϲ. ZYQX

N 823/Z$^{s}$ θάρϲυνοϲ: τεθαρρηκώϲ. ZYQX

N 824/Z$^{s}$ ἁμαρτοεπέϲ: ἁμαρτάνων τοῦ ϲκοποῦ τῶν λόγων. ZYQXG$^{i}$

N 824/Z$^s$ βουγάϊε: μεγάλως ἐπὶ cαυτῶι ἀλαζονευόμενε καὶ γαυριῶν. ἢ βουεργάτα. ZYQXI$^m$G

ἀλαζονευόμενε Z : ἀγλαϊζόμενε YQXI || βουεργέτα YQ, cf μυλεργάτηc AP 7,394,1 ||

N 829/Z$^s$ πεφήcεαι: ἀναιρεθήcηι, φονευθήcηι. ZYQX

N 829/Z$^s$ ταλάccηιc: τλῆιc, ὑπομείνηιc. ZYQX

N 830/Z$^s$ λειριόεντα: εὐανθῆ, τρυφερόν, ἢ λιπαρόν. ZYQX

τρυφερὰ ἢ λιπαρὰ YQ, τρυφερὰ ἢ ἁπαλά X ||

N 831/Z$^s$ δάψει: διακόψει, τρώcει. ZYQX

N 837/Z$^s$ Διὸc αὐγάc: τὰc Διὸc ἀπολάμψειc. ZYQX. T$^r$ ⌞Διὸc⌟ ἀέροc.

ΑΡΧΗ ΤΗϹ Ξ.

Ξ 0/$Z^{s}$ Ἀγαμέμνων ϲυμπαραλαβὼν τοὺϲ τραυματίαϲ καὶ Νέϲτορα ϲὺν αὐτοῖϲ ἔξειϲιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεϲτὸν λαβοῦϲα παρὰ τῆϲ Ἀφροδίτηϲ κατέρχεται καὶ τὸν Ὕπνον πείϲαϲα κοιμίζει τὸν Δία. Ποϲειδῶν δὲ τοῖϲ Ἕλληϲι βοηθεῖ καὶ πολὺϲ φόνοϲ γίνεται τῶν Τρώων. Αἴαϲ δὲ λίθωι βαλὼν Ἕκτορα πλήϲϲει, ὁ δὲ ἀναγαγὼν αἷμα λειποψυχεῖ. ἀριϲτεύει δὲ Αἴαϲ ὁ Λοκρόϲ. ZYQXUI, cf 𝔓Mich. 1315)

1 ϲυλλαβὼν Q, παραλαβὼν X || 3 πιάϲαϲα YQX ||

Ξ 0/$Z^{s}$ βοῆϲ αἰφνιδίου γενομένηϲ ἀμφοτέρων τῶν ϲτρατευμάτων ἠιϲθημένοϲ Νέϲτωρ πρόειϲι καὶ θεαϲάμενοϲ κατὰ πολὺ ἡττημένουϲ τοὺϲ Ἕλληναϲ ἀναλαμβάνει Θραϲυμήδουϲ τοῦ παιδὸϲ τὴν ἀϲπίδα καὶ πορεύεται. ϲυντυγχάνουϲι δὲ αὐτῶι οἱ περὶ τὸν Ἀγαμέμνονα τετρωμένοι, καὶ ἀναχωροῦντεϲ ἐκ τοῦ πολέμου γνώμαιϲ Νέϲτοροϲ ὑποϲτρέφουϲι πάλιν εἰϲ τὴν μάχην· οἱ δὲ Ἕλληνεϲ θεαϲάμενοι τοὺϲ ἀρίϲτουϲ θαρϲαλεώτεροι γίνονται. τότε Ἥρα βουλεύεται κατακοιμῆϲαι Δία· λαβοῦϲα δὲ χρυϲέαν ἐϲθῆτα καὶ τὸν κεϲτὸν ἱμάντα παρὰ τῆϲ Ἀφροδίτηϲ, ἔνθα πάντα ἐτύγχανε πεποικίλθαι τὰ δυνάμενα δι' ἀπάτηϲ ἑλεῖν τὸν θεαϲάμενον, δίειϲιν εἰϲ Λῆμνον. καὶ δεῖται Ὕπνου ὅπωϲ Δία κατακοιμήϲηι, ἐπαγγειλαμένη αὐτῶι μίαν τῶν Χαρίτων πρὸϲ γάμον δοῦναι Παϲιθέαν. ὁ δὲ ὑπιϲχνεῖται καὶ παραγίνεται εἰϲ τὴν Ἴδην· καὶ αὐτὸϲ μὲν κρύπτεται ἐπὶ ἐλάτηϲ ἀνελθών, ὁ δὲ εἰϲ ὕπνον τρέπεται. καὶ οὕτωϲ Ποϲειδῶν ϲφοδρότερον ἐβοήθηϲε τοῖϲ Ἕλληϲι, ὡϲ καὶ Αἴαντα λίθωι καταϲτοχαϲάμενον Ἕκτοροϲ τοὺϲ μὲν ἄλλουϲ εἰϲ φυγὴν τρέψαι Τρῶαϲ, τοὺϲ δὲ θαρραλεωτέρουϲ καταϲτῆϲαι τοὺϲ Ἕλληναϲ. ZYQXI

2 καὶ ἀναλαβὼν Q || 3 καὶ πορεύεται YX : ἐπορεύετο ZQ || 4 ἀναχωροῦντεϲ ἐκ i.e. ἀπεχόμενοι cf Ξ 129 ἐχώμεθα || 6 κατακοιμίϲαι YQX (cf l. 9) || 7 χρυϲεῖαν Q, χρυϲῆν Y || τῆϲ om YQX || 8 πεποικιλμένα Q || 12-3 καταϲτοχαϲάμενον λίθωι βαλεῖν ἕκτορα YQX || 13 ⟨καὶ⟩ τοὺϲ YX ||

Ξ 1/$Z^{s}$ Νέϲτορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπηϲ: ϲφόδρα ϲυνετῶϲ εἰϲάγεται ὁ Νέϲτωρ, μὴ νικώμενοϲ ὑπὸ μέθηϲ τὸν λογιϲμόν. ZYQXAU$I^{m}T^{r}$

1 ϲυνετῶϲ ZQA : ϲυνετὸϲ || 2 ⟨τὸν νοῦν⟩ τὸν λογιϲμόν Z || τῶν λογιϲμῶν A ||

Ξ 1/$Y^{s}$ ἔλαθε: ϲημαίνει καὶ τὸ ἐκ προαιρέϲεωϲ μαθόντα παραπέμψαϲθαι· 'καὶ τότ' ἐγὼ Κίρκηϲ λαθόμην' (μ 225). YQXAT$I^{m}$

1 παραπέμψαϲθαι ⟨ὡϲ τὸ⟩ Q(X)A ||

Ξ 1/$Z^{s}$ ἰαχή: ἠχή, κραυγή. ZYQX

Ξ 1/$T^{r}$ ⌊πίνοντα περ ἔμπηϲ⌋ τὸ 'περ' ἀντὶ τῆϲ καί· "καὶ πίνοντα {περ} ἔμπηϲ"

Ξ 1/$Z^{s}$ ἔμπηϲ: ὅμωϲ, ϲημαίνει δὲ καὶ τὸ ὁμοίωϲ (=$G^{i}$). ἐζήτηται δὲ πῶϲ ὁ Νέϲτωρ ἐπὶ τοϲοῦτον πίνει χρόνον, ἀρξάμενοϲ ἀπὸ τῶν ἐϲχάτων τῆϲ Λάβδα. καὶ ῥητέον, ὅτι οὐ τοϲοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηροϲ κατὰ παρέκβαϲιν ἀπαγγείλαϲ τὰϲ πράξειϲ βουληθείϲ τε ἐπὶ τὸν Νέϲτορα μεταβῆναι πάλιν, ἀπὸ ταύτηϲ τῆϲ πράξεωϲ ἤρξατο ἀφ' ἧϲπερ αὐτὸν κατέλειπεν ποιοῦντα. ZYQXAU$I^{m}$G($T^{r}$)

3 παρέκταϲιν Q || ἐπαγγελίαϲ Z, ἐπαγγείλαϲ A || 4 μεταβῆναι ZA : ἐπανελθεῖν Y, om QXU$T^{r}$ || ἀπὸ τῆϲ αὐτῆϲ Y || 5 ⟨καὶ⟩ κατέλιπε YQXA ||

Ξ 3/$Z^{s}$+$Q^{s}$ ὅπωϲ ἔϲται: ἀντὶ τοῦ ὅπωϲ γενήϲεται ZYQX$G^{i}$, G ad 61 ~$T^{i}$ | τὸ ἔϲται διαφέρει τοῦ γενήϲεται. τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντοϲ, ὡϲ "ἔϲται γέρων ὅδε", τὸ δὲ ἐπὶ τοῦ μὴ ὄντοϲ· "γενήϲεται παῖϲ". QA$U^{m}I^{m}G^{i}$, G ad 61 ~ Amm 193, B 252/Um.

Ξ 5/$Z^{s}$ αἴθοπα οἶνον: νῦν ἐρυθρόν. ZYQX$G^{i}$ cf A 462𝔇 "μέλανα, ἢ θερμαντικόν", sed μ 19 αἴθοπα οἶνον ἐρυθρόν.

Ξ 7/$Z^{s}$ λούϲηι ἄπο βρότον: ἀπολούϲηι ¦ τὸν μολυϲμὸν τοῦ ἀνθρωπίνου αἵματοϲ ($T^{r}$). ZYQX | ἀναϲτρεπτέον τὴν ἄπο· ἔϲτιν γὰρ ἀπολούϲηι. Z | 'αἱματόεντα' δὲ ἀντὶ τοῦ ἡιματωμένον. ZYQX

1 ἀνθρωπείου YQ$T^{r}$ || 2 lemma 'αἱματόεντα' pro δὲ ἀντὶ τοῦ YQX ||

Ξ 8/$Z^{s}$ τάχα: ταχέωϲ (~ Ak ὅτι ...). 'εἴϲομαι' δὲ γνώϲομαι, μαθήϲομαι. ZYQX

1 lemma 'εἴϲομαι' pro δὲ YQX || μαθήϲομαι Z : ἢ φανήϲομαιYQX ||

Ξ 8/$T^{i}$ ⌊εἴϲομαι⌋ ὄψομαι ἢ γνώϲομαι.

Ξ 8/Z$^{s}$+J$^{s}$ περιωπήν: τόπον ὑψηλόν, ἐξ οὗ περιωπήσασθαι καὶ περιβλέψασθαι ἔστι πάντα (ZYQXI$^{m}$~J, ApS 130,23), | ὅθεν ἔστι τὸ περιοπτεύειν, ἢ κρημνὸς ἢ πρύμνα νηός (Λ 600). ὄπτω δὴ ὀπή, ὡς κλέπτω κλοπή. JI$^{m}$ ~T$^{s}$

1 ὑπεροπήσασθαι XJ || περιβλέψαι Q || 2 ἐστὶ τὸ J : ἐστὶ T, καὶ τὸ I || περιοπεύειν J || ἢ$^{1}$ T : ἐν ᾗ JI || 3 ὄπτω (δὴ) T(I), ὀπωπὴ J || κλέπτω κλοπή : κόπτω κοπή EtM ||

Ξ 11/Z$^{s}$ ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο: πιθανῶς ὁ νέος εἰσῆκται κεχρημένος τῆι χρυσῆι ἀσπίδι. προείρηκεν γὰρ περὶ αὐτῆς ὁ ποιητής· 'ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα λάβοιμεν (=T$^{r}$) ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει, πᾶσαν χρυσείην ἔμεναι ZYQAU | κανόνας τε καὶ αὐτήν' (Θ 191-3). ZQAU

3 ὄφρα λάβοιμεν ZA : αἴ κε λάβωμεν YQUT$^{r}$ = v.l. Hom. || νῦν : νυ Z, νῦ A || 4 ἔμεν Z ||

Ξ 12/Z$^{s}$ ἀκαχμένον: ἐστομωμένον, ὠξυμμένον. ZYQX

Ξ 13/Z$^{s}$ ἀεικές: ἀπεοικός, ¦ ἀπρεπές (=A$^{ti}$). ZYQX

Ξ 14/Z$^{s}$ ὀρινομένου (ὀρινομένους Hom.): ταρασσομένου. ZYQX

Ξ 14/Z$^{s}$ κλονέοντας: ταράσσοντας. ZYQX

Ξ 15/Z$^{s}$+Q$^{s}$ ἐρέριπτο: κατεβέβλητο (=G), κατήριπτο. ZYQX | ἔστι δὲ ῥῆμα ἐρίπτω, ὃ σημαίνει τὸ πίπτω· 'ἤριπε δ' ὡς ὅτε τὶς δρῦς ἢ ἀχερωΐς' (N 389). σημαίνει δὲ καὶ τὸ καταβάλλω· ⌜'ῥεῖα ὄχθας .. βαθείας ποσσὶν ἐρίπτων' (~ O 356 ἐρείπων) ἀντὶ τοῦ καταρίπτων καὶ καταβάλλων, A~T$^{r}$⌝ οὗ γίνεται παθητικὸν ἐρίπτομαι ἀντὶ τοῦ καταβάλλομαι, καὶ ἤριμμαι παθητικὸς παρακείμενος, καὶ ἠρίμμην ὑπερσυντελικός, ⌜†ἤριφο A⌝ ἤριπτο, καὶ 'Αττικὸς ἀναδιπλασιασμὸς ἐρήριπτο, καὶ κατὰ συστολὴν ἐρέριπτο. QAG ~T$^{r}$, cf ApD Synt. 401,5.

1 καταβέβλητο Z || 2 σημαῖνον A || 5 παθητικὸς om A || 6 ἀττικῶς A || διπλασιασμὸς AT$^{r}$ ||

Ξ 16/Z$^{s}$ πορφύρηι: μελαίνηι, ταράσσηι. (Z μελαίνει, ταράσσει) YQX cf Ak

Ξ 16/Z$^{s}$ κύματι κωφῶι: τῶι δίχα ἀνέμου ἐπαιρομένωι, τῶι ἀψόφωι, καὶ μηδ' ἕνα ἦχον ἀποτελοῦντι. μήπω γὰρ ἀνέμου εὐκρινοῦς ὄντος τὸ κῦμα ἠρεμεῖ. Z(YQXI$^{m}$G μηδέπω) ~ Ak ὅτι .... T$^{r}$ μὴ ὑπὸ ἀνέμων ἐγειρομένωι.

Ξ 17/Z$^{s}$ ὀσσόμενον: ἤτοι προσδεχόμενον ἢ ¦ προσημαῖνον (=A$^{ti}$). ZYQX. T$^{r}$ προμαντευόμενον.

Ξ 17/Z$^{s}$ λιγέων: σφοδρῶς πνεόντων, ὀξέων. ZYQX(T$^{i}$)

Ξ 17/Z$^{s}$ λαιψηρά: ταχέα. 'κέλευθα' δὲ τὰς θαλασσίους ὁρμάς. Z(YQX lemma' pro δὲ)

Ξ 18/Z$^{s}$ αὔτως: νῦν ἀπράκτως. (Z αὔτωσ) YQXG$^{i}$, T$^{i}$ "ἀπράκτως". διαφέρει τὸ 'αὔτως', cf B 138𝔇 ὡσαύτως, ὁμοίως".

Ξ 18/Z$^{s}$ προκυλίνδεται: προσωτέρω κυλίεται, ἢ †ἀποκλείει. ZYQX

Ξ 18/Z$^{s}$ οὐδ' ἑτέρωσε: οὐδ' εἰς ἕτερον μέρος. ZYQX

↑ Ξ 18/L$^{s}$ οὐδ' ἑτέρωσε: οὐδ' ὄπισθεν, ἵν' ἦι ἀπὸ κοινοῦ τὸ κυλίνδεται, ὅ ἐστιν οὐδ' ὄπισθεν ἀνακάμπτει τὸ κῦμα. ~ E

Ξ 19/Z$^{s}$ κεκριμένον: ἀφωρισμένον. ἢ στερεὸν καὶ σφοδρόν. ZYQXG$^{i}$

Ξ 19/Z$^{s}$ ἐκ Διός: ἀντὶ τοῦ ἐκ τῶν νεφῶν. Z(YQG νεφελῶν)

Ξ 19/Z$^{s}$ οὗρον: τὸν ὁρμῆς αἴτιον. ZYQX

1 θοῦρον YQX$^{\lambda}$ cf E 355𝔇 θοῦρον· τὸν ὁρμητικὸν καὶ πολεμιστήν ||

Ξ 20/Z$^{s}$ ὥρμαινε: διενοεῖτο. ZYQX

Ξ 20/A$^{ti}$ πολεμούμενος.

Ξ 20/Z$^{s}$ δαϊζόμενος κατὰ θυμὸν: διχῆι μεριζόμενος τῶι σκέμματι τὸν λογισμόν (=X), τουτέστιν ἐπὶ πολλὰ τὸν λογισμὸν φέρων καὶ διασκεπτόμενος. ZYQAU$^{m}$G

1 τῶν λογισμῶν A ut ad Ξ 1𝔇, Γ 369𝔇 || 2 μεταφέρων καὶ διασκοπούμενος YQAU ||

Ξ 21/Z$^{s}$ ἴοι: πορεύοιτο. ZYQ

Ξ 23/Z$^{s}$ δοάσσατο: ἔδοξεν. ZYQ

Ξ 23/Z$^{s}$ κέρδιον: κρεῖσσον, ὠφελιμώτερον. ZYQ

Ξ 25/Z$^{s}$ λάκε: ἦχει (=T$^{r}$), ἐψόφει. ZYQ

Ξ 25/Z$^{s}$ ἀτειρής: ἄτρωτος, οὐ τειρόμενος ὑπὸ Ἄρεως. ZYQI$^{m}$G. T$^{r}$ ὁ ἀκαταπόνητος.

Ξ 27/$Z^s$ ξύμβληντο: cυνέτυχον. ZYQ

Ξ 28/$Z^s$ πὰρ νηῶν: ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. ZYQ

Ξ 28/$Z^s$ βεβλήατο: βεβλημένοι ἦcαν. ZYQ

Ξ 30/$Z^s$ πολλόν: πολύ. (Z πολύν Z = β 180𝔇) YQ

Ξ 34/$Z^s$ χαδέειν: χωρῆcαι. (Z χωρίc) YQ

Ξ 34/$Z^s$ cτείνοντο: ἐcτενοχωροῦντο διὰ τὸ πλῆθοc. $ZYQG^i$

Ξ 35/$Z^s$ προκρόccαc ἔρυcαν: ἄλλην πρὸ ἄλληc παραλλήλωc ἀνείλκυcαν κλιμακηδὸν καὶ ἀνθυπέταξαν αὐτὰc ἀλλήλαιc. κρόccαι γὰρ καλοῦνται αἱ τειχομάχοι κλίμακεc. $ZUI^mG$(YQ ἔρυccαν$^\lambda$ = A 485𝔇). $T^i$ κλιμακηδόν, τὴν ἑτέραν πρὸ τῆc ἑτέραc, ApS 135,26 ἄλλαc ἐπ' ἄλλαc. cf Ak.

Ξ 35/$Z^s$ πλῆcαν: ἐπλήρωcαν, ἐγέμιcαν. ZYQ

Ξ 36/$Z^s$ ἠϊόνοc cτόμα: τὴν ἀρχήν, καὶ τὴν εἰcβολὴν τοῦ αἰγιαλοῦ. $ZYQG^i$

Ξ 36/$Z^s$ ὅcον cυνεέργαθον ἄκραι: ὅcον ἦν διάcτημα, ¦ ὃ cυνέκλειον καὶ cυνεδέcμουν αἱ τοῦ Ἑλληcπόντου ἄκραι, τὸ Ῥοίτειον καὶ τὸ Cίγειον (=$T^r$, ~$U^m$). $ZYQAI^mG$

1 ὃ ZQ : ὅcον YA ||

Ξ 37/$T^r$ ⌞τῶ ῥ' .. αὐτῆc⌟ διὸ δὴ .. περὶ → .

Ξ 37/$Z^s$ ὀψείοντεc: ὀπτικῶc ἔχοντεc, ZYQT Ak, ApS 125,32 | ἰδεῖν θέλοντεc. ZQE

Ξ 38/$Z^s$ ἐρειδόμενοι: ἐπερειδόμενοι, ZYQ | cκηριπτόμενοι. ZQ

Ξ 40/$Z^s$ πτῆξε δὲ θυμόν: τὸ εὔρωcτον καὶ εὔθυμον τῆc ἑκάcτου ψυχῆc ¦ εἰc δέοc ἤγαγε (~$A^{ti}$). γράφεται δὲ καὶ 'πῆξε' (=$T^s$:Ze), ἵν' ἦι "ἀκίνητον ἐποίηcεν". $ZYQU^mI^mG$

Ξ 50/$Z^s$ ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον: ἀντὶ τοῦ ὀργίζονταί μοι. ZYG

Ξ 53/$Z^s$ ἑτοῖμα: εὔληπτα, φανερά. ZYQG

Ξ 53/$Z^s$ τετεύχαται: κατεcκεύαcται. ZYQ

Ξ 54/$Z^s$ παρετεκτήνατο (παρατεκτήναιτο Hom.): παρετεχνάcατο καὶ ἐπενόηcεν. ZY(Q παρετεχνᾶτο)

Ξ 55/$Z^s$ κατήριπεν (= E 92, κατερήριπε Hom.): κατηνέχθη, ¦ κατέπεcεν (= E 92𝔇+𝔓). (Z κατείρηπεν$^\lambda$) YQ

Ξ 55/$Z^s$ ἐπέπιθμεν: ἐπεποίθειμεν, ἐπεπιcτεύκειμεν. ZYQ

Ξ 56/$Z^s$ ἄρρηκτον: cτερεόν. ZYQ

Ξ 56/$T^i$ ⌞αὐτῶν⌟ λείπει "ἡμῶν".

Ξ 56/$Z^s$ εἶλαρ: ἀcφάλεια. ZYQ

Ξ 57/$Z^s$ ἀλίαcτον: ἀδιάλειπτον. ZYQ. $T^r$ ἄπαυcτον.

Ξ 60/$Z^s$ ἐπιμίξ: φύρδην καὶ ἀναμεμιγμένωc τοῖc πολεμίοιc. Z (ἀναμεμιγμένοc)

Ξ 66/$Z^s$ οὐκ ἔχραιcμεν: οὐκ ἐβοήθηcεν. ZYQ

Ξ 71/$Y^s$ ἤιδεα: ἤιδειν (=$T^r$), ἠπιcτάμην. YQ

Ξ 73/$Z^s$ κυδαίνει (κυδάνει Hom.): δοξάζει. ZYQ ≃ E 448𝔇

Ξ 75/$Z^s$ πρῶται: αἱ ἐν τῆι ἀρχῆι, αἱ ἄκραι. ZYQG

Ξ 75/$Z^s$ εἰρύαται: εἱλκυcμέναι εἰcίν. $ZYQA^{ti}$

Ξ 77/$Z^s$+$Q^s$ ὕψι: ἐφ' ὕψουc. $ZYQT^rI^iG^i$ | τὸ ὑγρὸν καὶ ὑψηλότερον τῆc γῆc. διὸ ἀνάπλουc μὲν ἡ ἀναγωγή, κατάπλουc δὲ ἡ προcόρμιcιc. $QTU^mG$

↑ Ξ 77/$U^m$ ⌞ὕψι δ' ἐπ' εὐνάων⌟ ἐφ' ὕψουc, ἢ ἀπὸ τοῦ αἰγιαλοῦ πρὸc τὴν θάλαccαν ¦ ἐπὶ τῶν ἀγκυρῶν (=$I^i$) ἐλλιμενίcωμεν τοὺc †Τρῶαc.

Ξ 78/$Z^s$+$Q^s$+$Z^s$+$U^s$ νὺξ ἀβρότη: ἀμβροcία, θεία, οἱονεὶ ἀμβρότη (=$T^r$). ἔcτι γὰρ ἱερὰ τῶν θεῶν ἡ νύξ (=$G^i$), ¦ ἐν ἧι βροτὸc οὐκ ἀναcτρέφεται (=G). $ZYQUI^m$ | ἢ βρότοc βαρυτόνωc, $QUI^m$ | τουτέcτιν ἐν ἧι φόνοc οὐ γίνεται. $ZUI^mG$ ~ Q | βρότοc γὰρ τὸ μετὰ κονιορτοῦ αἷμα.

1 οἱονεὶ ἀβρότη om Y || .. ἀμβρότη $I^mT^r$ : ἀβρότη ZQU, om. $G^i$ || 3 τουτέcτιν μολυcμὸc καὶ φόνοc οὐ γίνεται Q, cf B 248𝔇 βρότοc δὲ παροξυτόνωc τὸ μετὰ κόνεωc μιγὲν τοῦ ἀνθρώπου αἷμα ||

Ξ 78/$Z^{s}$ ἦν καὶ τῆι: ἐὰν ὅλως καὶ δι' αὐτῆς. ἐζήτηται δὲ πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατηγήτως φυγεῖν προστάσσει τοῖς Ἕλλησι λέγων 'νῆες ὅσαι πρῶται' (75). ῥητέον οὖν, ὅτι ὁ Ἀγαμέμνων γινώσκων αὐτοὺς μὴ φευξομένους διὰ τὴν οἰκείαν ἀρετήν. καὶ ὅτι οὐδὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξηι παρὰ δύναμιν κατέχειν αὐτοὺς ἕνεκεν τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι. τοὐναντίον δὲ εὔνοιαν ἑαυτῶι περιποιήσηται διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν, ἕνεκεν τῆς ἐκείνων σωτηρίας. ZYQAUI$^{m}$G

2 ἀστρατ⟨ηγ⟩ήτως I$^{m}$ (L.Dindorf = Appian. BC 1,47) || 4 οὐδὲ Q : οὔτε ZYAU || αὐτοὺς Y (= l. 5) || 6 αἴτιος YQU : αἰτίους ZA || περιποιήσηται Z : πορίσηται YQAU ||

Ξ 83/$Z^{s}$ ἕρκος ὀδόντων: περιφραστικῶς οἱ ὀδόντες. ἢ τροπικῶς αὐτὰ τὰ χείλη. ZYQI$^{m}$G

Ξ 84/$Z^{s}$ οὐλόμενε: ὀλεθριώτατε, ἢ ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ. ZYQU$^{m}$I$^{m}$

Ξ 84/$Z^{s}$ ἀεικελίου: εὐκαταφρονήτου (=T$^{r}$), ὅ ἐστιν ¦ εὐτελοῦς (=T$^{r}$), κακοῦ. ZYQ

Ξ 85/$Z^{s}$ σημαίνειν: νῦν ἄρχειν. ZYQ cf A 289𝔇 "προστάσσειν".

Ξ 86/$Z^{s}$ τολυπεύειν: κατεργάζεσθαι (≃A$^{ti}$) μεταφορικῶς. ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατειργασμένον ἔριον (~T$^{s}$). Z(Y κατεσκευασμένον) QU$^{m}$G

Ξ 87/$Z^{s}$ φθιόμεσθα: φθαρῶμεν, ἀπολούμεθα. ZYQ

Ξ 89/$Z^{s}$ καλλείψειν: καταλείψειν. ZYQ

Ξ 89/$Z^{s}$ ὀϊζύομεν: ἐκακοπαθοῦμεν. Z(YQ κακοπαθοῦμεν)

Ξ 91/$Z^{s}$ ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο: ὃν οὐκ ἂν εἴποι (~(A$^{ts}$) συνετὸς καὶ ἔμφρων ἀνήρ (=G). 'ἀνὰ στόμα' (B 250) γὰρ ἀντὶ τοῦ διὰ στόματος. ZYQU$^{m}$

2 σώφρων YQ || ἀνὰ ZQ (= B 250𝔇) : διὰ Y (= K 375𝔇) ||

Ξ 92/$Z^{s}$ ἄρτια βάζειν: ὑγιῆ καὶ ἁρμόζοντα λέγειν. ZY(Q ἁρμόδια)

Ξ 95/$Y^{s}$ ὠνοσάμην: ἐμεμψάμην. YQ

Ξ 96/$Z^{s}$ συνεσταότος: συνεστῶτος. ZYQ

Ξ 98/$Z^{s}$ εὐκτά: εὐχῆς ἄξια. ZYQ

Ξ 99/$Z^{s}$ ἐπιρρεπῆ (ἐπιρρέπηι Hom.): ἐπηρτημένα, καταρρεπῆ. ¦ ἡ μεταφορὰ ἀπὸ τῶν ζυγοστατουμένων σωμάτων (=I$^{i}$). Z(Y ἐπηρμένα) Θ(G καταρρέπη ἐπήρτηται)

Ξ 100/$Z^{s}$ σχήσουσιν: ὑπομενοῦσιν, ¦ ἀνθέξουσιν (=A$^{ti}$). ZYQ

Ξ 101/$Z^{s}$ ἀποπτανέουσιν (= codd. f. omnes): ἤτοι εἰς τὰς ναῦς ἀποβλέψουσιν ἢ ἀλλαχόσε, ὅ ἐστι φεύξονται. ZYQG$^{i}$. A$^{ti}$ περιβλέψονται φυγεῖν.

Ξ 101/$Z^{s}$ ἐρωήσουσιν: ὑποχωρήσουσιν, ἀμελήσουσιν. ZYQG

ἐρωήσωσι(ν) Z(YQ)$^{\lambda}$ || .. ὑποχωρήσωσιν, ἀμελήσωσιν YQ ||

Ξ 102/$Z^{s}$ δηλήσεται: βλάψει. ZYQ

Ξ 104/$Z^{s}$ καθίκεο: καθήψω, ἐλύπησας. ZYQI$^{i}$G

Ξ 104/$Z^{s}$ ἐνιπῆι: ἐπιτιμήσει, ¦ ἐπιπλήξει (=T$^{r}$I$^{i}$). ZYQG

Ξ 107/$Y^{s}$ εἴη: ἔστω, φαινέσθω. YQ

Ξ 107/$Z^{s}$ μῆτιν: γνώμην. ZYQ

Ξ 107/$Y^{s}$ ἐνίσποι: εἴποι, φράσοι. YQ

Ξ 108/$Z^{s}$ παλαιός: πρεσβύτερος, γέρων. ZYQ

Ξ 108/$Z^{s}$ ἀσμένωι: ἑκόντι, χαίροντι. ZYQ

Ξ 110/$Z^{s}$ ἐγγὺς ἀνήρ: ἀντὶ τοῦ ὁ συμβουλεύσων (~ G$^{i}$ ). ἐζήτηται δὲ διὰ τί νῦν Διομήδης συμβουλεύει καὶ οὐ Νέστωρ. ῥητέον δὲ ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστὶν ἐπισχετικόν, ἡ δὲ νεότης θαρσαλεώτερον. ἄλλως τε καὶ Διομήδης ἐν τῆι προτέραι συμβουλῆι θαυμασθεὶς (I 50-1) νῦν μᾶλλον τεθάρρηκεν καὶ προήρπακεν τῶν πρεσβυτέρων τοὺς λόγους. ZYQ(AUGI$^{m}$T$^{r}$)

Ξ 110/T$^{r}$ ⌞οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε⌟ οὐ πόρρω ἐπιζητήσομεν, ἐὰν θέλητε.

Ξ 110/$Z^{s}$ ματεύσομεν: ἤτοι ¦ ματαιοπραγήσομεν (=I$^{m}$). ἢ ἀντὶ τοῦ ζητήσομεν. ZYQ

Ξ 111/$Z^s$ κότωι ἀγάcηcθε: μετ' ὀργῆc ἢ φθόνου μέμφηcθε. Z(Y καὶ φθόνου) (G φόνου). $A^{td}$ νῦν φθόνωι φθονήcετε.

Ξ 112/$Z^s$ γενεῆιφι: ἡλικίαι. ZYQ$T^r$

Ξ 114/$Z^s$ ὃν Θήβηιcι χυτὴ κατὰ γαῖα κάλυψεν: ἀντὶ τοῦ ὃc ἐν Θήβαιc ἐτελεύτηcεν ἐν τῶι Θηβαϊκῶι πολέμωι (=G, ~$T^r$). χυτὴ γὰρ ¦ ἡ τοῖc τεθνεῶcιν ἐπιχεομένη γῆ (=$G^i$). ZYQ$U^m$$I^m$

Ξ 116/$T^r$ ⌊αἰπεινῆι⌋ θαυμαcτῆι!

Ξ 118/$Z^s$ ἀρετῆι: τῆι εὐδαιμονίαι. ZYQ

Ξ 119/$Z^s$ αὐτόθι μεῖνε: ἐν τῶι τόπωι ἔμεινε. ZYQX

αὐτόθι μεῖναι (~ X 5)· ἐν τῶι τόπωι μεῖναι ZYQX : corr. L ||

Ξ 119/$Z^s$ πατὴρ δ' ἐμὸc Ἄργεϊ νάcθη πλαγχθείc· ὣc γάρ που Ζεὺc ἤθελε καὶ θεοὶ ἄλλοι: εὐcχημόνωc ὁ Διομήδηc παρεcιώπηcεν τὴν τοῦ πατρὸc φυγήν· Τυδεὺc γὰρ ἀνελὼν Λυκωπέα καὶ Ἀλκάθουν †ἑαυτοῦ παῖδαc ἔφυγεν. ἡ ἀληθεcτέρα ἱcτορία αὕτη· Τυδεὺc ὁ Οἰνέωc Αἰτωλὸc μὲν ἦν τὸ γένοc, ἀνδρειότατοc δὲ τῶν κατ' ἑαυτὸν γενόμενοc ἔτι νέοc ὢν ἐθεᾶτο τὸν πατέρα διὰ γῆραc ὑπὸ τῶν Ἀγρίου παίδων τῆc βαcιλείαc ἐκβαλλόμενον. διόπερ ἀναιρεῖ τούc τε ἀνεψιοὺc καὶ cὺν αὐτοῖc ἀκουcίωc τὸν †ἀνεψιόν. φυγὼν δὲ εἰc Ἄργοc πρὸc Ἄδραcτον βαcιλέα τῆc χώραc, καθαρcίων τε τυγχάνει πρὸc αὐτοῦ καὶ λαμβάνει τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. ἡ ἱcτορία παρὰ Φερεκύδει (FGrHist 3F122b = Fowler). ZYQAUI$^m$G cf 114/$T^s$

3 ἀλκάνθουν Z || ἡ δὲ ἀληθὴc ἱcτορία αὕτη Y || 5 ἐθεάcατο YQAUI || 6 τούc τε ἀνεψιοὺc ZQAUI : τούτουc Y || 7 τὸν ἀνεψιόν : πατράδελφον μέλανα T, Ὠλενίαν ¦ ἀδελφὸν (=UL) ἴδιον Apd. bibl. 1,76 ||

Ξ 119/$Z^s$ νάcθη: ἀπωικίcθη. ZYQ$T^r$

Ξ 120/$Z^s$ πλαγχθείc: ἀποπλανηθεὶc καὶ ἐκπεcὼν τῆc πατρίδοc διὰ τὴν φυγήν. ZYQG

Ξ 121/$Z^s$ Ἀδρήcτοιο δ' ἔγημε θυγατρῶν: προcληπτέον τὸ μίαν, τὴν Δηϊπύλην (= $U^m$$G^i$ ~$T^i$). διὰ τί νῦν Διομήδηc ἑαυτὸν γενεαλογεῖ; ῥητέον ὅτι πάνυ ῥητορικῶc· ἀεὶ γὰρ ἐν ταῖc cυμβουλαῖc προαποδεικνύει, ὅτι εἰcὶν οὐχ οἱ τυχόντεc, ἀλλὰ πολλῶι κρείττουc, ἵν' οὕτωc ὡcὰν καλλίονοc εἰπόντοc πείθωνται. ZYQUI$^m$G

2-3 ἀεὶ .. ὅτι Z : δεῖ .. προαποδεικνύειν ὡc YQUG || 4 πείcωνται YQ, πείcονται UG ||

Ξ 122/$Z^s$ ἅλιc: δαψιλῶc, ἱκανῶc. ZYQX

Ξ 123/$Z^s$ πυροφόροι: cιτοφόροι. ZYQX

Ξ 123/$Z^s$ ὄρχατοι: αἱ ἐπὶ cτίχων φυτεῖαι, ¦ κῆποι (=$T^r$). ZYQX$G^i$

ἐπίcτιχοι Y, ἐπὶ cτίχον XG ||

Ξ 124/$Z^s$ πρόβατα: πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα, διὰ τὸ πρὸ τῶν ὀπιcθίων βάcεων ἑτέραc ἐμπροcθίουc ἔχειν (~ Ak ὅτι ..., ApS 136,11). καθὰ καὶ Ἡcίοδοc φηcὶν 'χαλεπὸc προβάτοιc, χαλεπὸc δ' ἀνθρώποιc' (Erga 558). ZYQX$U^m$$I^m$G

Ξ 124/$Y^s$ ἔcκε: ἦν, ὑπῆρχεν. YQX

Ξ 124/$Z^s$ ἐκέκαcτο: ἐκεκόcμητο, ¦ ἐνίκα (= $T^i$). ZYQX

Ξ 125/$Z^s$ τὰ δὲ μέλλετ' ἀκουέμεν: ταῦτα (=$T^r$) εἰκὸc ἀκηκοέναι ὑμᾶc. ZYQX ~$A^{td}$ ὅτι

Ξ 125/$Z^s$ ὡc ἐτεόν περ: ὡc ἀληθῆ. ZYQX

Ξ 126/$Z^s$ γένοc γε κακόν: δυcγενῆ. ZYQX

Ξ 126/$Z^s$ φάντεc: λογιcάμενοι, εἰπόντεc. ZYQX

Ξ 127/$Z^s$ πεφαcμένον: νῦν φανερῶc εἰρημένον. ZYQ cf Ξ 471𝔇 "πεφονεῦcθαι".

Ξ 128/$Y^s$ οὐτάμενοι: τετρωμένοι. YQX

Ξ 128/$Z^s$ ἀνάγκηι: διὰ τὴν ἀνάγκην. ZYQX

Ξ 129/$T^r$ ⌊ἔνθα δ' ἔπειτ'⌋ ἐκεῖ δὲ μετὰ ταῦτα.

Ξ 129/$Z^s$ ἐχώμεθα: ἀπεχώμεθα. ZYQX$T^r$ = ApS 80,24

Ξ 130/$Z^s$ ἐκ βελέων: ἔξω τῶν βελῶν. ZYQX

Ξ 130/$Z^s$ μή που τιc ἐφ' ἕλκεϊ ἕλκοc ἄρηται: μή τιc τραυματίαc ὑπάρχων τραῦμα ἕτερον λάβηι. ZYQX$U^m$. $T^r$ τῶι τραύματι τραῦμα.

Ξ 131/$Z^s$ ἐνήϲομεν: παρορμήϲομεν, ¦ ἐμβαλοῦμεν (=$T^r$) τοῖϲ πολεμίοιϲ. ZYQX

Ξ 132/$Z^s$ θυμῶι ἦρα φέροντεϲ: χαριζόμενοι τῆι ψυχῆι τὴν ἀργίαν. ZYQX$G^i$

Ξ 132/$T^r$ ⸤ἦρα⸥ ἐπιθυμητά. = γ 164𝔇

Ξ 135/$Z^s$ ἀλαοϲκοπιήν: μάταιον καὶ τυφλὸν τὸν ϲκοπόν. ἀλαὸϲ γὰρ ὁ τυφλόϲ. ZYQX$G^i$

Ξ 135/$Z^s$ ἐννοϲίγαιοϲ: κινηϲίγαιοϲ. ἔνοϲιϲ γὰρ ἡ κίνηϲιϲ. (Z ἔνωϲιϲ) YQX

Ξ 136/$Z^s$ μετ' αὐτοὺϲ ἦλθε: ἀντὶ τοῦ πρὸϲ (=$T^rG^i$) αὐτοὺϲ ἦλθε. ZYQX ~$T^s$

Ξ 139/$Z^s$ ὀλοόν: ὀλέθριον. ZYQX

Ξ 140/$Z^s$ γηθεῖ: χαίρει. ZYX

Ξ 140/$Z^s$ φύζαν: τὴν μετὰ δέουϲ ¦ φυγήν (=X). ZYQ$T^iG^i$, ~ ApS 164,8

Ξ 141/$Z^s$ δερκομένωι: ὁρῶντι. ZYQX

Ξ 141/$Z^s$ ἔνι: ἔνειϲιν, ὑπάρχουϲιν. ZYQX

Ξ 141/$Z^s$ οὐδ' ἠβαιαί: οὐδὲ ὀλίγαι. ZYQX

Ξ 142/$U^m$ ⸤ὡϲ ἀπόλοιτο⸥ ὡϲ βλέπει ἡμᾶϲ. ἢ ὡϲ θέλει ἰδεῖν ἡμᾶϲ. ἢ ἄδοξον. $U^m$ ~$T^s$

ἄδοξον U : ὡϲ ἔϲτιν ἀκλεήϲ T (ἀνελεήϲ Wilamowitz) ||

Ξ 142/$Z^s$ ϲιφλώϲειεν: τυφλώϲειεν, ἐπίψογον ποιήϲειεν. ¦ ϲιφλὸϲ γὰρ καλεῖται καὶ ὁ ψόγοϲ (~$T^r$). ZYQXA$I^i$~G

Ξ 145/$Z^s$ κονίϲουϲιν: κόνεωϲ πληρώϲουϲιν. ἐκ δὲ τοῦ παρακολουθοῦντοϲ νοεῖται τὸ φεύξονται (~ $T^i$). οἱ γὰρ φεύγοντεϲ κατὰ τὸν δρόμον ἐγείρουϲι κόνιν. ZYQXA$I^m$G

Ξ 145/$Z^s$ ὄψεαι (ἐπόψεαι Hom.): θεάϲηι. ZYQX = Δ 353𝔇

Ξ 148/$Z^s$+$J^s$ ἐννεάχιλοι: ἐννακιϲχίλιοι (=$G^i$). πῶϲ δέ, φηϲίν, ὁ Ποϲειδῶν ὁμοιωθεὶϲ πρεϲβύτηι ὑπὲρ τὴν ἡλικίαν φθέγγεται; καὶ ῥητέον ὅτι τῆι μὲν ὄψει πρεϲβύτηϲ ἐφαίνετο, τῆι φωνῆι δὲ τὴν τοῦ θεοῦ δύναμιν ἐνεδείκνυτο. ZYQXAUJ$I^m$G$T^r$ | λέγουϲί τινεϲ 'ἐννεάχειλοι', τὸ χ̅ε̅ι̅ δίφθογγον, ἤτοι ἐννέα ϲτόματα ἔχοντεϲ ἀπὸ̣ [μέρ]ο̣υ̣ϲ̣ Ἀρίϲταρχοϲ. $J^s$ cf $T^i$ Eust. 972,61

Ξ 148/$Z^s$ ἐπίαχον: ἐπεβόηϲαν. ZYQX

Ξ 150/$Z^s$ ἐκ ϲτήθεϲφιν: ἐκ τῶν ϲτηθῶν. ZYQX

Ξ 152/$Z^s$ ἄλληκτον: ἀκατάπαυϲτον. Z(YQX ἄληκτον$^{\lambda}$ = v.l. Hom. "ἄπαυϲτον")

Ξ 154/$Z^s$ ϲτᾶϲ': τὸ πλῆρεϲ ϲτᾶϲα. ZYQX$G^i$

Ξ 154/$Z^s$ ἀπὸ ῥίου: ἀπὸ τοῦ ἀκρωτηρίου (=$A^{ti}$) τοῦ ὄρουϲ. ZYQX$G^i$

Ξ 155/$Z^s$+$Q^s$ ποιπνύοντα: ἐνεργοῦντα (= Ak ὅτι ...). ZYQXA$G^i$ | γίνεται δὲ ἐκ τοῦ πονῶ, πονύω, πνύω καὶ ποιπνύω, ἀναδιπλαϲιαϲμόϲ. Q~AG($T^i$) = A 600$^T$, ~ Epim. A 600.

1 γέγονεν A || 2 ἀναδίπλωϲιϲ A ||

Ξ 156/$T^r$ ⸤αὐτοκαϲίγνητον⸥ ἀδελφὸν τοῦ Διόϲ.

Ξ 156/$Z^s$ δαέρα: ἀνδρὸϲ ἀδελφόν. ZYQX$A^{ti}T^r$

Ξ 156/$U^m$ ὁ Ζεὺϲ καὶ ὁ Ποϲειδῶν καὶ ὁ Πλούτων ἀδελφοί· ἡ δὲ Ἥρα γυνὴ καὶ ἀδελφὴ τοῦ Διόϲ.

Ξ 158/$Z^s$ ϲτυγερόϲ: καταπληκτικόϲ, μιϲητόϲ. ZYQXT$G^i$+G | ἢ ϲτυγνοποιόϲ· ¦ τὸ γὰρ μὴ κεχαριϲμένον αὐτῆι ἐποίει (=$I^m$). ZYQG

1 κατάπληκτοϲ Q || 2 μὴ om YQ || κεχωριϲμένον αὐτῷ Z (αὐτῷ etiam $T^r$) ||

Ξ 160/$Z^s$ ἐξαπάφοιτο: ἐξαπατήϲειεν. ZYQ$A^{ti}$ ~ ApS 70,4

Ξ 162/$Z^s$ ἐντύναϲα (ἐντύναϲαν Hom): παραϲκευαϲαμένη, κοϲμηϲαμένη. ZYQG

Ξ 163/$Z^s$ ἱμείραιτο: ἐπιθυμήϲειεν, ¦ ἐραϲθῆι (=$A^{ti}$). ZYQX

Ξ 163/$Z^s$ παραδραθέειν: παρακατακλιθῆναι, ZYQX | ϲυγκοιμηθῆναι. Z$A^{ti}$

Ξ 164/$Z^s$ ἧι χροιῆι: τῶι ἰδίωι αὐτῆϲ χρωτί. ZYQX

Ξ 164/$Z^s$ λιαρόν: θερμόν, ἡδύ (=X). τοῖϲ καθεύδουϲι ⌜γὰρ Y⌝ παρακολουθεῖ θερμαίνεϲθαι τὰ ἄκρα. Z(YQ+X ἱλαρόν$^{\lambda}$)

Ξ 165/$Z^s$ πευκαλίμηϲι: ϲυνεταῖϲ, πυκναῖϲ. ZYQX

Ξ 167/$Z^s$ πυκινάϲ: ἀϲφαλεῖϲ, πυκνάϲ. ZYQX

Ξ 167/Zs σταθμοῖcι: παραcτά⟨cε⟩cι νῦν. ZYQX cf Π 752𝔇 "νῦν τὴν ἔπαυλιν".

Ξ 167/Zs ἐπῆρcε: ἐφήρμοcε. ZY(QX ἐφώρμηcε)

Ξ 168/Zs κληῖδι κρυπτῆι: οὕτω καλοῦνται κληῖδεc κρυπταί (=G) 'ἐπέθηκεν' (169) δὲ ¦ ἐπέβαλεν, ἔκλειcεν (=Gi). ZYQX

1 lemma 'ἐπέθηκεν' pro δὲ YQX || 2 ἐνέβαλεν YQX, ἐνέβαλλεν G ||

Ξ 168/Zs ἄνωγεν: ἐκέλευεν (~ B 280𝔇). ἀνεώιγνυε δὲ ἡ ἀνάγνωcιc προπεριcπωμένωc. (post 135 YQX) ZYQX ~Tr

ἀνῶγεν(!) Zλ, ἀνώγει Yλ, ἀνῶγεν QXλ || ἐκέλευcεν YQX || ἀνεώγνυε δὲ Y : ἀνεώγνυεν QX, pro quibus ἢ ἀνεώιγνυεν Z sub fine ||

Ξ 170/Zs ἀμβροcίηι(= Hom., ἀμβροcίωι ZYQXλ = 172): θείωι (E 338𝔇) ἀλείμματι, μύρωι. οἱ δὲ θείωι λουτρῶι. ZYQXGi

Ξ 170/Zs ἱμερόεντοc: ἐπεράcτου, καλοῦ. ZYQX

Ξ 171/Zs λύματα: καθάρcια, ῥύπον. Z(YQX καθάρcιον)

YQX ||

Ξ 171/Zs κάθηρεν: ἐκάθαρεν. ZY(Q ἐκάθαιρεν) X

Ξ 172/Zs ἑδανῶι: ἡδεῖ, ὅ ἐcτιν εὐώδει, εὐόcμωι. ZYQX ~Ts, ApS 62,21

Ξ 172/Zs τεθυωμένον: τεθυμιαμένον. ZYQX

Ξ 173/Zs κινυμένοιο: cαλευομένου, κινουμένου. ZYQX

Ξ 173/Zs χαλκοβατέc: χαλκῶι βεβηκόc, cτερρόν. ἢ χαλκὸν ἔχον οὐδόν. ZYQXGi

cτερεόν XL || χαλκοῦν QL || ἔχον XL : ἔχοντιZYQG ||

Ξ 174/Zs ἔμπηc: νῦν ὁμοίωc. ZYQX ~Ts Ak ὅτι ...

ὅμωc Y = A 562𝔇 ||

Ξ 174/Zs ἀϋτμή: πνοή (= ApS 47,19). 'ἵκετο' δὲ ἀφικνεῖτο, ἐφέρετο. ZYQX

lemma 'ἵκετο' pro δὲ YQX ||

Ξ 175/Qs+Zs ἰδὲ χαίταc: καὶ τὰc χαίταc, Q | καὶ τὰc κόμαc. ZYQX

καὶ2 ZYX : ἤγουν Q ||

Ξ 176/Zs πεξαμένη: κτενιcαμένη. ZYQX~Tr | κατὰ τοῦτο δὲ Ὅμηροc εὖ ἀνεcτράφη μὴ προcαγαγὼν κομμώτριαν ἑταίραν (= Um) ⟨* * *⟩ ὄντι ἐπιμεμφίμωι. ZYXMs

2 ἑτέραν ὅτι ἐπιμέμφιμον Ms ||

Ξ 177/Zs ἐκ κράατοc: ἐκ τῆc κεφαλῆc. ZYQX

Ξ 178/Zs ἑανόν: νῦν πέπλον (~ Ats ὅτι ...), παρὰ τὸ ἕννυcθαι. ὅταν δὲ εἴπηι 'ἑανοῦ καccιτέροιο' (Σ 613), τοῦ εὐδιαχύτου καὶ ἁπαλοῦ λέγει. ZYQImG

Ξ 178/Zs ἕccατο (= K 334, ἕcαθ' Hom., ἑέccατο Qλ = K 177): περιεβάλετο. ἐνεπορποῦντο γὰρ τοῖc περιβολαίοιc. ZYQXGi

Ξ 179/Zs ἔξυcε: νῦν ἀντὶ τοῦ "κατεcκεύαcε" καὶ "λεπτὸν ἀπειργάcατο". Z(YQXGi εἰργάcατο). Ati ὕφηνε.

Ξ 179/Zs ἀcκήcαcα: μετ' ἐπιμελείαc καταcκευάcαcα. ZYQXG

Ξ 180/Zs ἐνετῆιcι: περόναιc· ¦ ἀπὸ τοῦ ἐνίεcθαι τοῖc ἱματίοιc (=Tr), ὅ ἐcτιν ἐμπορποῦcθαι (=G). ZYQXGi

Ξ 181/Zs θυcάνοιc: κροccοῖc (=TrGi). παρὰ τὸ θύcεcθαι, ὅ ἐcτιν κινεῖcθαι. ZYQXG

κρόccοιc Z, κροccίοιc Y, κροcίοιc QXG ||

Ξ 182/Zs ἕρματα: νῦν ¦ ἐνώτια (=AtiTr). ZYQXGi

Ξ 182/Tr ⌊ἧκεν⌋ ἐνέβαλεν. = T 37𝔇

Ξ 182/Zs+Qs ἐϋτρήτοιcι: καλῶc τετρημένοιc, ⌜τετρυπημένοιc QGi⌝. ¦ 'λοβοῖcι' δὲ τοῖc ἄκροιc τῶν ὠτίων τοῖc ἁπαλοῖc (~Tr). ZYQXG ApS 109,2 | παρὰ τὸ λαμβάνειν καὶ δέχεcθαι. QG ~ Orio 92,15

1 lemma 'λοβοῖcι' pro δὲ YQX || 2 ἁπαλοῖc : ἁπλοῖc Z ||

Ξ 183/Z$^{s}$ τρίγληνα: πολλῆς θέας ἄξια, τρίκοκκα (=A$^{ti}$), ἢ τριπρόσωπα. γλήνη γὰρ ἡ τοῦ ὀφθαλμοῦ κόρη. ἢ τρίκορα, ἔχοντα τρεῖς κόρας, τὰς Χάριτας. ZYQXAU$^{m}$I$^{m}$ | ἢ πολλῶν κοσμίων ἄξια· γλήνεα γὰρ τὰ κόσμια, ὡς καὶ ἀλλαχοῦ φησὶν 'ὃς γλήνεα πολλ' ἐκεχάνδει' (Ω 192). ZYQAU$^{m}$I$^{m}$G, cf T$^{s}$

2 τρεῖς κόρας τῆς χάριτος Q, τρία χαρίτων ἐκτυπώματα T || 3 πολλὰ ZYQAU || .. κεχάνδει YQU ||

Ξ 183/Z$^{s}$ μορόεντα: μετὰ μόρου καὶ κακοπαθείας εἰργασμένα (~A$^{ti}$), περὶ ἃ ἐμόρησεν ὁ τεχνίτης, τουτέστιν ἔκαμεν κατασκευάζων αὐτά. ZYQXU$^{m}$I$^{m}$G ~ Ak

Ξ 183/Z$^{s}$ χάρις: ἀρετή, καλλονή. ZYQX

Ξ 184/Z$^{s}$ κρηδέμνωι: κεφαλοδέσμωι (X 470𝔇). νῦν δὲ "καλύπτρηι". ZYQX(E)

κεφαλοδεσμίω Y || καλύπτρωι YQX ||

Ξ 185/Z$^{s}$ νηγατέωι: νεωστὶ γεγονότι (~T$^{r}$), λεπτῶι. ZYQX

Ξ 186/Z$^{s}$ λιπαροῖσιν: εὐτραφέσιν, λευκοῖς. ZYQX

Ξ 194/Z$^{s}$+Y$^{s}$ πρέσβα: ἐντιμοτάτη. ZYQXG$^{i}$ | συγκοπὴ τοῦ πρέσβεια. YQXTG$^{i}$

Ξ 195/Z$^{s}$ αὔδα: λέγε. ZYQXT$^{r}$

Ξ 195/Z$^{s}$ ὅ τι φρονέεις: ὅπερ βούλει. ZYQX. T$^{i}$ τὸ ὅ τι ἀντὶ τοῦ ὅ περ.

Ξ 196/T$^{r}$ ⌞τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί⌟ τοῦτο ὑστερολογία καὶ πρωθύστερον (~ Eust. 3,612,3 Valk).

Ξ 196/Z$^{s}$ τετελεσμένον: νῦν "δυνατόν". ZYQX, cf B 257𝔇 "γενήσεται".

Ξ 198/Z$^{s}$ ἵμερον: ἐπιθυμίαν. ZYQX

Ξ 199/Z$^{s}$ δαμνᾶι: δαμάζεις. ZYQX

Ξ 200/Z$^{s}$ εἶμι: πορεύομαι, ἄπειμι. ZYQX

Ξ 200/Z$^{s}$ πολυφόρβου: πολυτρόφου. 'πείρατα' δὲ πέρατα, τέλη. ZYQX

lemma 'πείρατα' pro δὲ YQX || ἐτελη Z ||

Ξ 201/Z$^{s}$ θεῶν γένεσιν: θεῶν πατέρα, ἐπεὶ πρῶτον στοιχεῖον τινὲς τῶν φυσικῶν εἶπον τὸ ὕδωρ, καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία, ὅθεν καὶ ὁ Πίνδαρος 'ἄριστον' εἶπε τὸ ὕδωρ (Ol. 1,1). ZYQXAU$^{m}$I$^{m}$G | 'Τηθύν' δὲ φησὶν τὴν γῆν οἷον τιθήνην τινὰ οὖσαν καὶ τροφὸν πάντων. ZYQAU$^{m}$I$^{m}$G cf Ξ 246𝔇

2 ὅθεν {καὶ} YQ || 3 τὴν γῆν φησὶν A || οἱονεὶ YQA ||

Ξ 202/Z$^{s}$ σφοῖσιν: τοῖς ἑαυτῶν. ZYQX

Ξ 202/Z$^{s}$ ἀτίταλλον: ἐπαιδοτρόφουν. ZQXT$^{r}$ | 'ἐῢ τρέφον' δὲ ¦ "μετ' ἐπιμελείας ἀνῆγον" (=T$^{r}$). Z(YQX lemma 'ἐῢ τρέφον' pro δὲ)

Ξ 203/Z$^{s}$ Ῥείης: τῆς Ῥέας. ZYQXA$^{ti}$G$^{i}$. T$^{r}$ περὶ τῆς →

Ξ 203/Z$^{s}$ εὐρύοπα: μεγαλόφθαλμος ἀπὸ τοῦ πάντα ἐποπτεύειν, ἢ ὁ μεγαλόφωνος. ZYQ~G

Ξ 204/Z$^{s}$ καθεῖσεν: καθίδρυσεν. (Z καθισεν) YQ. T$^{r}$ ἀντὶ τοῦ κατέπεμψεν, ἀφῆκεν.

Ξ 205/Z$^{s}$ καί σφ' ἄκριτα νείκεα λύσω: καὶ τὰς πολλὰς αὐτῶν καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω. ZYQG$^{i}$

Ξ 208/Z$^{s}$ κείνω: ἐκείνους δυϊκῶς. ZYQXG$^{i}$

Ξ 208/Z$^{s}$ παραιπεπιθοῦσα: παραπείσασα, ἐξαπατήσασα. (Z παρπεπείθουσα) YQX

Ξ 209/Z$^{s}$ ὁμωθῆναι: ὁμοιωθῆναι (~ Ak ὅτι ...), οἰκειωθῆναι, (Z)YQXG$^{i}$ | εἰς ὁμόνοιαν ἐλθεῖν. ZQXG$^{i}$ ~T

1 ὁμοιωθήμεναι Z$^{\lambda}$ (= A 187𝔇) || οἰκισθῆναι Z ||

Ξ 210/Z$^{s}$ αἰδοίη: αἰδοῦς ἀξία, ZYQ | αἰδέσιμος. ZQ

Ξ 212/Z$^{s}$ οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι: οὔτε δυνατὸν οὔτε πρέπον ἀρνήσασθαι περὶ ὧν ἀξιοῖς. ZYQXG$^{i}$. U$^{i}$ οὐ δίκαιον δέ.

οὐκ ἔστε δ' οὐδε Z$^{\lambda}$ || 1 οὔτε πρέπον οὔτε δυνατὸν QG ||

Ξ 212/Z$^{s}$ ἔοικε: προσήκει, πρέπει. ZYQX

Ξ 213/Z$^{s}$ ἀγκοίνῃσιν: ἀγκάλαις. ZYQX

Ξ 213/Z$^{s}$ ἰαύεις: κοιμᾶσαι. ZYQX

Ξ 214/Z$^{s}$ κεcτὸν ἱμάντα: ζωcτῆρα οὕτω καλούμενον ἀπὸ τοῦ πολυκέντητον αὐτὸν εἶναι ταῖc ῥαφαῖc. (Z οὕτωc pro αὐτὸν) YQI$^{m}$G$^{i}$, ~ Ak ὅτι ..., ApS 98,17

Ξ 216/Z$^{s}$ ἔν: τὸ πλῆρεc ἔνεcτιν (~G). 'θελκτήρια' (215) δὲ ¦ τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺc ἀνθρώπουc (~G$^{i}$). ZYQ

ἐν Z$^{\lambda}$ = Hom. : ἔνι YQ$^{\lambda}$ = Hom. || 1 ἔνεcτι τὸ πλῆρεc QG || lemma 'θελκτήρια' pro δὲ YQ ||

Ξ 216/Z$^{s}$ φιλότηc: νῦν φιλία, πρὸc μίξιν ὄρεξιc (~ B 232𝔇). (Z προcμιξιc) YQXG$^{i}$, ~ Γ 445𝔇 "φιλίαι, cυνουcίαι"

Ξ 216/Z$^{s}$ ἐν δ' ὀαριcτὺc / πάρφαcιc: ἔνεcτι δὲ καὶ ¦ ὁμιλία παραλογιcτική (=T$^{r}$). ZQX | "τεῶι δὲ ἐγκατάθεο καὶ κρύφον κόλπωι" (~219) φηcὶν διὰ τὴν πρὸc τὸν Δία ἐπιβουλήν. ZYQX

παρφάcειc Z$^{\lambda}$ || 1 παραλογιcτική ZX : παραινετική Q || 2 τεῶι δὲ ... novum scholium YQX || καὶ κατάκρυφον Y κατάκρυφον τῶ ἰδίω Q(X) ||

Ξ 217/Z$^{s}$ ἔκλεψεν: ἐξέκλεψεν, ⌜ἔκρυψεν Q⌝, παρελογίcατο. (Z ἔκλεψεν) YQX

Ξ 217/Z$^{s}$ πύκα: νῦν cυνετῶc φρονούντων. ZYQX cf E 70𝔇 "ἐπιμελῶc".

πυκνα Z$^{\lambda}$ || φρονούντων Z : φρονοῦντοc Y, φρονίμωc QX ||

Ξ 219/Z$^{s}$ τῆ: ἄγε, ZQX | λάβε. ZYQX = Ak ὅτι ..., ApS 152,3

Ξ 219/Z$^{s}$ ἐγκάτθεο: ἐγκατάθου. ZYQX

Ξ 220/Z$^{s}$ τετεύχαται: ἔγκειται καὶ ἐγκατεcκεύαcται. Z(YQX κατεcκεύαcται)

Ξ 221/T$^{r}$ ⌞ὅ τι⌟ εἴ τι. = ε 89/M$^{i}$.

Ξ 221/Z$^{s}$ μέμοναc (μενοινᾶιc Hom.): προθυμῆι, cπεύδειc. (Z προθυμεῖ) YX ≃ Ξ 264𝔇

Ξ 225/Z$^{s}$ ῥίον: ὄρουc ἀκρωτήριον· παρὰ τὸ ῥαΐζειν καὶ καταλήγειν εἰc ὀξύ. ZYQXG

Ξ 226/Z$^{s}$ Πιερίην: χώραν ἐπὶ τὴν Μακεδονίαν, οἱ δὲ ὄροc. Μακεδὼν ὁ Διὸc καὶ Αἰθρείαc καταcχὼν τὴν χώραν οὖcαν τῆc Θράικηc ἀφ' ἑαυτοῦ προcηγόρευcεν. γήμαc δὲ μίαν τῶν ἐγχωρίων τεκνοῦται δύο παῖδαc, Πίερον καὶ Ἄμαθον, ἀφ' ὧν δύο πόλειc ἐν Μακεδονίαι, Πιερία καὶ Ἀμαθία. ἡ ἱcτορία παρὰ Μαρcύαι (FGrHist 135F13). ZYQXAUG ~T$^{s}$ | νῦν δὲ Ἠμαθίην καταχρηcτικῶc καὶ ὅλην Μακεδονίαν φηcίν, Πιερίαν δὲ ὄροc Μακεδονίαc, ἱερὸν Μουcῶν. ZYQAUI$^{m}$G ~T$^{s}$

1 περιερίην· περὶ το ὴν μακεδονίαν Z || 2 αἰθρίαc QXU, αἰθυίαc T, θυίαc Hes. fr. 7 M.-W. || 3 τεκνοῦνται Z || 4 περιερία Z || πιερία καὶ ἀμαθία ἐν μακεδονίαι A || 5 καὶ om YQA || τὴν μακεδονίαν ὅλην Y || 6 φαcὶν ZA || 6 ἱερεῖον Z ||

Ξ 227/Z$^{s}$ cεύατο: ὥρμηcεν. ZYQX

Ξ 227/Z$^{s}$ ἐφ' ἱπποπόλων: περὶ ἵππουc ἀναcτρεφομένων, ZYQXG$^{i}$ | ἱππικῶν. ¦ 'Θρηικῶν' δὲ 'ὄρεα' τὸν Ἄθω (~G). (Z θρηικῶν om) X

Ξ 227/Z$^{s}$ νιφόεντα: χιονιζόμενα, κατανιφόμενα. Z(YQX νιφόμενα)

Ξ 228/Z$^{s}$ οὐδὲ χθόνα μάρπτε ποδοῖϊν: οὐδὲ τοῖc ποcὶν αὐτῆc ἐπέβαινε τῆc γῆc. ZYQG$^{i}$

Ξ 229/Z$^{s}$ ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήcατο: Ἄθωc ὄροc ἐν Θράικηι (~T$^{r}$) μέγα τε καὶ ὑψηλὸν ἐξέχον εἰc θάλαccαν, τὸν ἰcθμὸν ἔχον χερρονηcώδη cταδίων ιβ̅. τοῦτο Ξέρξηc ἀγανακτήcαc ὁ Περcῶν βαcιλεύc, ὅτι πρὸc αὐτὸ νῆεc αὐτοῦ διεφθάρηcαν, διακόψαc θάλαccαν ἐποίηcεν. ἡ ἱcτορία παρὰ Ἡροδότωι (7,22-3). ZYQAUG

1 τε om YQ || 2 χερόννηcον YA || τοῦτον L || 3 ὁ περcῶν βαcιλεὺc ἀγανακτήcαc QU || πρὸc αὐτῶ Z || αὐτοῦ AL : αὐτῶι ZYQU || 4 θάλαccαν ἐποίηcεν ZYAU : ἀνεποίηcεν Q, βατὸν ἐποίηcεν L || ἱcτορεῖ ἡρόδοτοc Y ||

↑ Ξ 229/Z$^{s}$ ἐξ Ἀθόω δέ: ἐκ τοῦ Ἄθω, ὅ ἐcτιν ὄροc τῆc Θράικηc ὑψηλόν. ZYQX | τὸ δὲ 'ἐπὶ πόντον ἐβήcατο' ¦ ἀντὶ τοῦ θαλάccηc ἐπέβη (=G$^{i}$). ZYQX

1 ἐκ τοῦ ἀθώοc ἐcτὶν ὄροc ἐcτὶν τῆc θρ. Z || lemma 'ἐπὶ πόντον ἐβήcατο' pro τὸ δὲ X ||

Ξ 229/Z$^{s}$ κυμαίνοντα: κύματα ἔχοντα, ταραccόμενον. ZYQX

κυμαιπάντα Z$^{\lambda}$ || ταραccόμενα ZQ ||

Ξ 230/Z$^{s}$ πόλιν: ἀντὶ τοῦ νῆcον. ZYQXG$^{i}$

Ξ 230/Z$^{s}$ Λῆμνον δ' εἰcαφίκανε πόλιν θείοιο Θόαντοc / ἔνθ' Ὕπνωι ξύμβλητο: cυνέτυχεν. διὰ ποίαν δὲ αἰτίαν ἐν τῆι Λήμνωι μάλιcτα ὁ Ὕπνοc διατρίβει; ῥητέον ὅτι

Λήμνου μὲν ἦν δεσπότης ὁ Ἥφαιστος, γυνὴ δὲ τούτου Χάρις. Πασιθέας δὲ τῆς Χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβεν· ταύτην οὖν αὐτῶι ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα. δύναται δὲ καὶ φυσικώτερον λυθῆναι, ὅτι οἰνοφόρος ἡ Λῆμνος, καθὼς λέγει 'νῆες δ' ἐκ Λήμνοιο παρέσταςαν οἶνον ἄγουσαι' (Η 467)· τοῖς δὲ πολυποτοῦσιν μάλιστα ὁ Ὕπνος παρέπεται. (inter 262 et 264) ZYQXAUI$^{m}$G

εἰς ἀφίκανες Z$^{\lambda}$ || 2 ῥητέον ⟨οὖν⟩ A || 3 λῆμνος Z || 5 ἡ om ZA || 6 δ' om A || φέρουσαι A || 7 ἕπεται Z ||

Ξ 231/Z$^{s}$ ξύμβλητο: ἀπήντητο, συνέτυχεν. (Z ἀπήντετο) (YQX ἀπήντησε)

Ξ 232/Z$^{s}$ φῦ: ἐνέφυ, συνέπλεξεν. Z(Y ἐνέφυσεν ἔπλεξεν) Q

↓ Ξ 235/A$^{ti}$ ⌞ἰδέωι⌟ ὁμολογῶ. cf He ι 182 " γνώσομαι"

Ξ 235/Z$^{s}$ εἰδέω χάριν: γνώσομαι καὶ προσομολογήσω σοι χάριν. ZYQXG$^{i}$

Ξ 240/Z$^{s}$+Q$^{s}$ θρῆνυν: ὑποπόδιον ZYQX | ἀρσενικῶς QT.

Ξ 240/Z$^{s}$ ἧισι (ἥσει Hom.): τοῖς ἑαυτοῦ. ZYQX ≃ B 588𝔇

↑ Ξ 240/A$^{td}$ ⌞ἥσει⌟ ἐμβαλεῖ (≃ Π 449𝔇). T$^{r}$ ὑποθήσει.

Ξ 241/Z$^{s}$ εἰλαπινάζων: εὐωχούμενος. ZYQX

Ξ 246/Z$^{s}$ Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται: ἐπεὶ ἐξ ὑδάτων αἱ αὐξήσεις ὑπάρχουσιν (=I$^{m}$). πῶς Ἡσιόδου πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ Χάος (Theog. 116) Ὅμηρός φησιν Ὠκεανόν; ῥητέον οὖν ὅτι ἕκαστος μὲν εἴρηκεν ὡς ἐβούλετο, Ὅμηρος δὲ φιλοσοφώτερον. τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωὴ καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅλα ὄν. ὅθεν καὶ ὁ Πίνδαρος 'ἄριστον' αὐτό φησιν (Ol. 1, 1). (inter 262 et 264) ZYQAUI$^{m}$G, cf Ξ 201𝔇

ὅς πέρ ⟨τε⟩ YQ$^{\lambda}$ || 1 ὕδατος Q || 4 {ὧν om A || δ̄ Z || 5 ὁ om A ||

Ξ 249/Z$^{s}$ ἄλλο: νῦν ἄλλοτε, ZYQX | ἵν' ἧι ἐπίρρημα χρόνου δηλωτικόν. ZQX

Ξ 249/Z$^{s}$ τεῆι: τῆι σῆι. ZYQX

Ξ 249/Z$^{s}$ ἐπίνυσσεν: ἐσωφρόνισεν. 'ἐφετμῆι' δὲ τῆι ἐντολῆι (~ A 495𝔇), νῦν δὲ ἀπειλῆι. (Z ἀπειλή) (YQX lemma 'ἐφετμῆι' pro δὲ ) G$^{i}$

↑ Ξ 249/Q$^{s}$ ἤδη γάρ με καὶ ἄλλοτε: ἢ ἵνα ἧι "καὶ κατ' ἄλλο ἡ σὴ ἐσωφρόνισεν ἐντολή", καὶ λείπει ἡ κατά. Q~G ~T$^{s}$

↑ Ξ 249/L$^{s}$ ἤδη γάρ με καὶ ἄλλο τεή: ἢ κατ' ἄλλο, ἵν' ἧι ἤδη γάρ με καὶ κατ' ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόσταξις, ἢ 'ἄλλοτε ἧι ἐπίννυσεν ἐφετμῆι', τουτέστι τῆι ἰδίαι ἐσωφρόνισε καὶ ἐνουθέτησεν ἐντολῆι καὶ ἀπειλῆι. ~ E$^{s}$

Ξ 250/T$^{r}$ ⌞Διὸς υἱός⌟ ὁ Ἡρακλῆς.

Ξ 252/Z$^{s}$ ἔλεξα: κατεκοίμησα. Z(YQX ἔλεξας· κατεκοίμισας)

Ξ 253/Z$^{s}$ ἀμφιχυθείς: περιχυθείς. ZYQX

Ξ 253/Z$^{s}$ ἐμήσαο (μήσαο Hom.): ἐμηχανεύσω, ἐβουλεύσω. ZYQX ≃ Z 157𝔇

ἐμήσω Y$^{\lambda}$ || ἐμηχανήσω YQX ||

Ξ 254/Z$^{s}$ ὄρσασα: εἰς ὁρμὴν ἀγαγοῦσα, διεγείρουσα. 'ἀήτας' δὲ τὰς τῶν ἀνέμων πνοάς. ZYQX

1 διεγείρασα QX || lemma 'ἀήτας' pro δὲ YQX ||

Ξ 255/T$^{r}$ ⌞μιν⌟ τὸν Ἡρακλῆα.

Ξ 255/Z$^{s}$ Κόων δέ: εἰς τὴν Κῶν νῆσον. γράφεται δὲ σὺν τῶι ν̄ κατ' αἰτιατικήν. Ἡρακλῆς δὲ ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενος δὲ κατὰ τὸ Αἰγαῖον πέλαγος βουλήσει Ἥρας σφοδρῶι συνεσχέθη χειμῶνι. κατασυρεὶς δὲ εἰς Κῶν τὴν Μεροπίδα ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτῆς. βιασάμενος δὲ ὡς ληιστὴς ἐπιβὰς ἀνεῖλεν τόν τε Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ, μιγεὶς δὲ τῆι θυγατρὶ αὐτοῦ Χαλκιόπηι Θεσσαλὸν ἐγέννησεν. ZYQXAUT$^{r}$I$^{m}$G | ἡ ἱστορία παρὰ Φερεκύδει (FGrHist 3F78 = Fowler). ZYXAI$^{m}$G cf A 590𝔇

1 κόννησον Z || γράφει Z || 2 δὲ et δὲ Z, om Y : ... τε QXAU (primo δὲ omisso) || αἴγειον A || 3 κῶν X : κὼν YQU, κῶ ZA || 5 αὐτῆς om Z || δὲ XA : τε Y, δὲ καὶ Q, om Z || ⟨αὐτόν τε⟩ τὸν εὐρύπυλον Y || 7 ἱστορεῖ φερεκύδης Y, om U ||

Ξ 255/Z^m^ cχό(λιον). φηcὶ]ν ἀπὸ τοῦ Θεc[cαλοῦ] τούτου τὸ γέ[νοc κ]ατάγειν Ἱπ[ποκρ]άτηc ὁ ἰατρόc. ὅ[ ]τὸ τῆc ἱcτορί[αc] καὶ τῶν γρα[μμ]άτων το[..]πε-κρά[.]ουc γε[ν]ουc.

verba litteris maiusculis scripta a bibliopego praecisa ||

Ξ 255/Z$^s$ ἀπένεικαc: ἀπήνεγκαc. ZYQX

Ξ 256/T$^r$ ˪ὁ δ'˩ ὁ Ζεύc.

Ξ 256/Z$^s$ ἐπεγρόμενοc: διϋπνίcαc, ἐπαναcτάc. ZYQX. A$^{ti}$ ἐπεγειρόμενοc.

ἀπεγρόμενοc Z$^λ$, ἐπεγειρόμενοc Y$^λ$ omissso lemmate scilicet || ἐπαναcτήcαc Z ||

↑ Ξ 256/Q$^s$ ὁ δ' ἐγρόμενοc χαλέπαινε ῥιπτάζων: ἀντιcτροφή ἐcτιν ἀντὶ τοῦ χαλεπαίνων ἔρριπτε (= U$^m$). μήποτε οὖν τιc ἀφ' ἑτέραc ἀρχῆc ἀναγινώcκηι τὸ 'ῥιπτάζων'. QAG cf β 315/M$^t$ ἀντιcτροφή ἐcτιν ἀντὶ τοῦ πυνθανόμενοc ἀκούω.

2 ἐρίπταζεν A || μήποτε οὖν τιc Q : cυναπτέον οὖν καὶ μή τιc ... ἀναγινώcκοι A ||

Ξ 256/Z$^s$ χαλέπαινεν: ὠργίζετο. ZYQX

Ξ 257/Z$^s$ ῥιπτάζων: ῥίπτων, cυνελαύνων. ZYQX

Ξ 257/Z$^s$ ἔξοχα: μάλιcτα. ZYQX

Ξ 258/Z$^s$ καί κέ μ' ἄϊcτον ἀπ' αἰθέροc: καὶ ἂν ἰδών με ἀνιcτόρητον καὶ ἀφανῆ ἐποίηcεν βαλὼν (~T$^i$) ἀπ' οὐρανοῦ εἰc θάλαccαν. ZYQXAG

1 ἀνιδών A || 2 λαβὼν A || ἀπὸ τοῦ οὐρανοῦ εἰc τὴν θάλαccαν YQXA ||

Ξ 259/Z$^s$ δμήτειρα θεῶν: ἡ δαμάcτρια (~ E), ὅ ἐcτιν ἡ ἄρχουcα. ZYQXG

Ξ 260/Z$^s$ ἱκόμην: ἱκετεύων παρεγενόμην. ZYQX, T$^i$ ἱκέτευcα

ἱκοίμην· .. παραγενοίμην YX = Δ 171𝔇 || ἱκέτευον Z = Λ 130𝔇 ||

Ξ 261/Z$^s$ ἅζετο: ἐνετρέπετο. ZYQXT$^r$ | 'ἀποθύμια' δὲ ἀηδῆ καὶ ἐχθρὰ πράξηι. Z

Ξ 261/Z$^s$ θοῆι: ἢ ὅτι διὰ τὸν ὕπνον δοκεῖ θᾶττον ὡc πρὸc τὴν ἡμέραν παριέναι, ἢ θεία. ZYQG

Ξ 261/Y$^s$ ἀποθύμια: ἀηδῆ καὶ οὐκ ἀρεcτά. YQX

Ξ 261/Y$^s$ ἀποθύμια ἕρδοι: ἐχθρὰ πράξοι. YQX

Ξ 262/Z$^s$ ἀμήχανον: ἄπορον, ἀδύνατον. ZYQX

Ξ 262/T$^i$ ˪ἀμήχανον ἄλλο˩ πρὸc ὃ μηχανὴν cωτηρίαc οὐκ ἂν εὑροίμην.

Ξ 264/Z$^s$ μενοινᾶιc: προθυμῆι, cπουδάζειc. (Z προθυμεῖc cπουδάζει) YQX

Ξ 265/Z$^s$ Ζῆν': τὸ πλῆρεc Ζῆνα. ZYQX

Ξ 265/J$^m$ 'φῆc' Ἀρίcταρχοc περιcπᾶι, ἵν ἦι ἐκ τοῦ ἔφηc· διὸ καὶ χωρὶc τοῦ ῑ γράφεται (= E 473/EtG). cημαίνει δὲ τὸ λέγειc τὸ φῆc cὺν τῶι ῑ· φημὶ φή‹ι›c. ἔχει καὶ τὸ ἰῶτα κατὰ ἱcτορίαν ἤγουν κατὰ παράδοcιν (~ EtM 791,48). J$^m$

Ξ 267/Z$^s$ ὁπλοτεράων: τῶν νεωτέρων. ZYQX

Ξ 268/Z$^s$ ὀπυιέμεναι: γῆμαι. Z(YQX ὀπυέμεν$^λ$ = β 207𝔇)

Ξ 270/Z$^s$ χήρατο: ἐχάρη. ZYQX

Ξ 271/Z$^s$ ἀάατον: ἤτοι ἀβλαβέc, ἢ πολυβλαβέc. ZYQXU$^m$

ἄατον YQ$^λ$ cf E 863𝔇 ἄατοc πολέμοιο· ὁ ἀπλήρωτοc, ἢ βλαπτικὸc ἐν πολέμωι ||

Ξ 271/Z$^m$ ἀβλαβὲc τοῖc εὐόρκοιc, πολυβλαβὲc δὲ τοῖc ἐπιόρκοιc. Z$^m$G ~ U$^m$

ἀβλαβὲc μὲν τὰ εὔορκα, πολυβλαβὲc δὲ τὰ ἐπίορκα U ||

Ξ 272/Z$^s$ χειρὶ δὲ τῆι ἑτέρηι μὲν ἕλε χθόνα πουλυβότειραν, τῆι δ' ἑτέρηι ἅλα μαρμαρέην: τὰ βαρύτατα τῶν cτοιχείων ὄμνυcιν, καθάπερ ἐν τῆι cυνηθείαι λέγομεν "ξηρὸν καὶ ὑγρόν". (Z πολυβότειραν) YQAU$^m$I$^m$G cf Ξ 308

Ξ 273/Z$^s$ μαρμαρέην: λευκήν. ZYQX

Ξ 274/Z$^s$ θεοὶ Κρόνον ἀμφὶc ἐόντεc: οἱ περὶ τὸν Κρόνον θεοί· λέγει δὲ τοὺc Τιτᾶναc. οὗτοι δέ εἰcιν Οὐρανοῦ παῖδεc, Κρόνοc, Κρεῖοc, Ὑπερίων, Ἰαπετόc, Κοῖοc. (Z κοῖοc om) YQXAU$^m$I$^m$G

Ξ 278/Z$^s$ ὀνόμηνεν: ὠνόμαcεν. ZYQX

Ξ 280/Y$^s$ τελεύτηcεν: ἐπλήρωcεν. YQX

Ξ 281/T$^{r}$ ⸤τῷ⸥ οὗτοι.

Ξ 281/Z$^{s}$ Ἴμβρος (Ἴμβρου Hom.): νῆcoc Θράικης. ZYQXT$^{r}$

Ξ 282/Z$^{s}$ ἠέρα: ὁμίχλην, cκότος. (ZYX ὁμίχλη) QG

Ξ 282/T$^{r}$ ⸤πρήccοντε⸥ κόπτοντε. ≃ ν 83/M$^{i}$ "τέμνουcι, διαπερῶcιν"

Ξ 283/Z$^{s}$ μητέρα θηρῶν: μητέρα θηρίων. ZYQ | θηροτρόφος γὰρ ἡ Ἴδη διὰ τὸ πολὺ τῆc ὕλης. Z(YQ θηριοτρόφος) XG~I$^{m}$

Ξ 284/Z$^{s}$ Λεκτόν: ἀκρωτήριον τῆc Ἴδης κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῶι κατακλιθῆναι Δία καὶ Ἥραν. τρία δὲ τὰ πάντα ἀκρωτήρια τῆc Ἴδης, Λεκτόν, Γάργαρον, Φαλάκρη (= Θ 48𝔇). ZYQXAU$^{m}$I$^{m}$GT$^{r}$

Ξ 284/Z$^{m}$ ἀφορᾶι τὸ Λεκτὸν ἐπὶ τὸ Αἴγειον πέλαγος. Z$^{m}$AU$^{m}$

Ξ 284/A$^{ti}$ ⸤λιπέτην⸥ κατέλιπον. ≃ Δ 292𝔇

Ξ 284/Z$^{s}$ ἐπὶ χέρcου: ἐπὶ τῆc γῆc. ZYQX

Ξ 286/A$^{ti}$ ⸤ἔμεινε⸥ ἔμιμνε.

Ξ 287/Z$^{s}$ περιμήκετον: πάνυ ὑψηλήν. ZYQX

Ξ 287/Z$^{s}$ ἣ τότ' ἐν Ἴδηι μακροτάτη πεφυυῖα: διὰ τούτου (scil. τότ') ἀνήιρηκε τὸ ψεῦδος, ὥcτε μὴ ζητεῖν. ZYQI$^{m}$G

πεφυϊα Z$^{\lambda}$ || 1 τούτου Z : τοῦτο YQG, τοῦ τότε Nicole ||

Ξ 289/Z$^{s}$ πεπυκαcμένος: ἐcκεπαcμένος. ZYQXG

Ξ 289/Z$^{s}$ εἰλατίνοιcιν: ἐλατίνοιc. ZYQX

Ξ 290/Z$^{s}$ λιγυρῆι: ὀξείαι. 'χαλκὶc' (291) δὲ εἶδος ὀρνέου, ἥτιc καλεῖται καὶ κύμινδιc ἀπὸ τῆc φωνῆc. Z(YQX lemma 'χαλκὶc' (χαλκίδα Hom.) pro δὲ)

Ξ 291/U$^{m}$ 'χαλκὶc' εἶδος ὀρνέου, ἥτιc καλεῖται καὶ κύμινδιc, ἀπὸ τῆc φυγῆc (cf EtM "οἱονεὶ κρύμινδιc"). U$^{m}$I$^{m}$~G

Ξ 291/Q$^{s}$ κύμινδιν: ὁ κύμινδιc οἰκεῖ μὲν ὄρη, ἔcτι δὲ μέλαc, χαλκίζων τὴν χροιὰν καὶ μέγεθος ὅcον ἱέραξ φαccοφόνος, ὥc φηcιν Ἀριcτοτέλης (Hist.an. 615b5)· παρὰ δέ τιcι θηλυκῶc λέγεται. εὐεπίφορον δὲ εἰc ὕπνον τὸ ὄρνεον, ἀεὶ δὲ τὴν κεφαλὴν ὑπὸ τοὺc κλάδουc κρύπτει. QAU$^{m}$G ~T

3 λέγεται ⟨ἡ κύμινδιc⟩ A || 3-4 ἀεὶ ... κρύπτει Q : κύμινδιc δὲ λέγεται διὰ τὸ ἀεὶ τὴν κεφαλὴν ὑπὸ τοὺc κλάδουc κρύπτειν A ||

Ξ 294/Z$^{s}$ ὥc: νῦν εὐθέωc, ἢ τότε. ZYQXG$^{i}$ cf A 33𝔇 "οὕτωc".

Ξ 294/Z$^{s}$ πυκινάc: cυνετάc. ZYQX

Ξ 295/Z$^{s}$ οἷον ὅτε πρῶτον ἐμιcγόμεθα (= α 209, πρώτιcτον ἐμιcγέcθην Hom.): Ἥραν τρεφομένην παρὰ τοῖc γονεῦcιν εἷc τῶν Γιγάντων Εὐρυμέδων βιαcάμενος ἔγκυον ἐποίηcεν, ἡ δὲ Προμηθέα ἐγέννηcεν. Ζεὺc δὲ ὕcτερον γήμαc τὴν ἀδελφὴν καὶ γνοὺc τὰ γενόμενα τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωcεν, τὸν δὲ Προμηθέα προφάcει τοῦ πυρὸc δεcμοῖc ἀνήρτηcεν. ἡ ἱcτορία παρὰ Εὐφορίωνι (fr. 99 Powell). ZYQXAUI$^{m}$G$^{i}$ ~T ad 296

1 πρῶτον περ ἐμίcγεcθην A+A$^{\lambda}$ A$^{t}$/Ar T$^{i}$/Ar || 5 τοῦ om YQXU || ἱcτορεῖ εὐφορίων Y ||

Ξ 296/Z$^{s}$ εἰc εὐνὴν φοιτῶντε φίλουc λήθοντε τοκῆαc: καὶ Ἀπολλόδωροc ἱcτορεῖ κρύφα τὸν Δία τῆι Ἥραι cυγκεκαθευδηκέναι (FGrHist 244F119). (inter 316 et 317) ZX(YG cυγκαθευδηκέναι) (QU$^{m}$I$^{m}$ cυγκαθευδῆcαι)

Ξ 298/Z$^{s}$ πῆ μεμαυῖα: ποῦ ὁρμήcαcα. ZYQX

Ξ 298/Z$^{s}$ τόδε: εἰc τοῦτον τὸν τόπον. 'ἱκάνειc' δὲ παραγίνηι. ZYQX

lemma 'ἱκάνειc' pro δὲ YQX ||

Ξ 307/Z$^{s}$ πρυμνωρείηι: πρυμνωρείαc καλοῦcι τὰ κατώτατα καὶ ἔcχατα μέρη τῶν ὀρῶν. ZYQXI$^{m}$~G

Ξ 308/Z$^{s}$ τραφερήν τε καὶ ὑγρήν: γῆν καὶ θάλαccαν. ZYQX ~ ApS 154,5

Ξ 313/Z$^{s}$ κεῖcε: εἰc ἐκεῖνον τὸν τόπον. ZYQX

Ξ 315/Z$^{s}$ ἔροc: ἔρωc ¦ Αἰολικῶc (=G$^{i}$). 'περιπροχυθεὶc' (316) δὲ περιπεcών, καταcχών. Z(YQX lemma 'περιπροχυθεὶc' pro δὲ)

Ξ 316/$Z^s$ δάμασεν (= X 446, ἐδάμασσεν Hom.): ὑπέταξεν. ZYQX

Ξ 317/$Z^s$ ἠρασάμην: ἠράσθην (=$G^i$). ''Ἰξιονίης' δὲ 'ἀλόχοιο' τῆς Ἰξίονος γυναικὸς Δίας. ἦν δὲ αὕτη θυγάτηρ Ἰονέως, μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διὸς ὕστερον Ἰξίονι ἐζεύχθη. ZYQXA$U^mI^m$G, de Ixione cf A 268𝔇

lemma ''Ἰξιονίης' pro δὲ YQX || 1 .. τῆς ἰξιόνης Z, τῆς ἰξιονίης A || 2 ἰηονεως A, οἰνέως U, Δηϊονέως Heyne ("Deionis filia") = sch. Pi. Py. 2,40a || 2 αὐτὴν : αὐτὸν A, om Y ||

Ξ 318/$T^i$ ⌞θεόφιν⌟ θεῶι ἢ θεοῖς. ¦ τὸ γὰρ ἴσος ὅμοιος ἀλίγκιος δοτικῆι συντάττεται, ~ B 478𝔇+$A^{ts}$.

ἀλίγκιος Wilamowitz : ἀνγύιος T

Ξ 319/$Z^s$ οὐδ' ὅτε περ Δανάης: Δανάη Ἀκρισίου θυγάτηρ Διὶ συγκοιμηθεῖσα Περσέα ἐγέννησεν. χρωμένωι γάρ φησιν τῶι Ἀκρισίωι περὶ γενέσεως ἀρρένων παίδων ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς ὃς αὐτὸν κτείνηι· δείσας δὲ ὁ Ἀκρίσιος τοῦτο κατὰ γῆν θάλαμον χαλκοῦν κατασκευάσας τὴν Δανάην ἐφρούρει. αὕτη δέ, ὥς φησι Πίνδαρος (fr. 284) καὶ ἕτεροι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη. ὡς δὲ ἔνιοί φασιν, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰς τὸν Δανάης ῥυεὶς κόλπον συνῆλθεν. αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς θάλασσαν. διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδέκτηι, ἢ ὡς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδέκτου. φυγόντος δὲ ὕστερον Ἀκρισίου τὴν Ἀργείων βασιλείαν παρέλαβεν Περσεύς. ZYQXAU$I^m$G ~ Apd. bibl. 2,4,1 (aliter 𝔓Oxy 3003)

ὅτι $Z^\lambda$ || 1 ⟨ἢ⟩ διὶ Q || 2 φασι de Marco || 3 ὃς αὐτὸν κτείνηι (Z)Y : καὶ αὐτὸν κτεῖναι QU, αὐτὸν κτείνειν X, καὶ αὐτὸν κτείνει A || 4 τούτωι A || γῆς UL || 5 ἕτεροι ZYQXU : ἄλλοι A || 6 φασιν ὅτι ZAU || 7 ῥυεὶς κόλπον ZA : κόλπον χυθεὶς Y, κόλπον QXU || 10 συνέβη ⟨μιᾷ τῶν κυκλάδων⟩ A ||

Ξ 319/$Z^s$ καλλισφύρου: καλοὺς πόδας ἐχούσης, ἀπὸ μέρους καλῆς (=$G^i$). ὁ δὲ τρόπος συνεκδοχή. ZYQ$U^iI^m$

Ξ 320/$Z^s$ ἀριδείκετον: μεγάλως ἐκπρεπέστατον ZYQX | καὶ ἀσπαστόν. ZQX

Ξ 321/$Z^s$ Φοίνικος κούρης: θυγατρός· λέγει δὲ τῆς Εὐρώπης. ἔνιοι δὲ αὐτὴν οὐ Φοίνικος, ἀλλ' Ἀγήνορος εἶπον. τὰ δὲ περὶ αὐτῆς ἀκριβῶς εἴρηται ἐν τῆι M ῥαψωιδίαι ἐν τοῖς περὶ Σαρπηδόνος (M 397𝔇). ZYQ$U^mI^m$G

Ξ 321/$Z^s$ τηλεκλειτοῖο: μέχρι πόρρω καὶ πολλοῦ ἐνδόξου, ἢ πάνυ ἐνδόξου. ZYQX

Ξ 323/$Z^s$ οὐδ' ὅτε περ Σεμέλης: Σεμέλης τῆς Κάδμου θυγατρὸς Ζεὺς ἐρασθεὶς Ἥρας κρύφα συνηυνάζετο. ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας ἐπινεύσαντος αὐτῆι Διὸς πᾶν τὸ αἰτηθὲν ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθεν μνηστευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι παραγίνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος ἀστραπαῖς καὶ βρονταῖς ὁμοῦ, καὶ κεραυνὸν ἵησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλειπούσης ἑξαμηνιαῖον τὸ βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραφεν τῶι μηρῶι. ἡ ἱστορία παρὰ Εὐριπίδηι ἐν Βάκχαις (88-98, sed v. Apd. bibl. 3,4,3). ZYQAUG

5 ἀστραπὰς καὶ βροντὰς A || ἵησιν ZYQU : ἀφιεὶς A || ἱστορεῖ εὐριπίδης Y ||

Ξ 323/$Z^s$+$Q^s$ οὐδ' Ἀλκμήνης ἐνὶ ¦ Θήβῃς (= δ 126 : θήβῃ Hom.: Ἀλκμήνης τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀγκαίου ἠράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρύονα βοῶν ἀμφισβητήσεως χάριν ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας, σὺν αὐτῶι δὲ καὶ Ἀλκμήνῃ. ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλευόντων τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης τιμῆς ἐτύγχανον μεγίστης. οὐ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσιν Τηλεβόαι, {διὸ} κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς καὶ Λοκροὺς ἔτι δὲ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας. ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ τε καὶ Ἀλκμήνης, τῆι αὐτῆι νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς καὶ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη καὶ υἱὸν ἐποίησεν· ὁμοίως δὲ καὶ ὁ Ἀμφιτρύων τῆι αὐτῆι νυκτί. ἤδη δὲ ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. ZYQAU$I^m$G | φασὶ Δία

συγκοιμώμενον Ἀλκμήνηι πεῖcαι τὸν ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖc ἡμέραc. ὅθεν καὶ ἐπὶ τρεῖc νύκταc cυγκοιμηθεὶc αὐτῆι ὁ Ζεὺc τὸν τριέcπερον Ἡρακλέα ἐποίηcεν. QAUT cf Apd. bibl. 2,4,8 (FGrHist 3F13c = Fowler, cf λ 266𝔇-Pherecydes)

2 Ἀλκαίου Luetke (= Apd. bibl. 2,4,5), sed est pater Amphitryonos Scut. 26, Paus. 8,14,2 || 6 τηλεβόαι om Q || διὸ om G || 7 προcλαβόμενουc Z || 8 ⟨καὶ⟩ φωκεῖc Q || 11 ἤδη δὲ ... δεκα om A in rasura ||

Ξ 325/Z$^{s}$ χάρμα βροτοῖcιν: χαρὰν τοῖc ἀνθρώποιc ¦ διὰ τὸ εὑρεῖν cυκῆν καὶ ἄμπελον (= U$^{m}$G$^{i}$). ZYQX

Ξ 326/Z$^{s}$ καλλιπλοκάμοιο: ἀλληγορικῶc 'πλοκάμουc' τοὺc cτάχυαc δεῖ νοεῖν, ὡc καὶ ἱcτοροῦcιν αὐτὴν ἐcτεμμένην τοῖc cτάχυcιν. ZYQXG~I$^{i}$

Ξ 327/Z$^{s}$ Λητώ: Κοίου θυγάτηρ ἑνὸc τῶν Τιτάνων, ἧc καὶ Διὸc Ἀπόλλων καὶ Ἄρτεμιc. ZYQXI$^{m}$G

1 Κοίου : καλοῦ Z || Διόc: δύο παῖδεc Q ||

Ξ 331/Z$^{s}$ λιλαίεαι: ἐπιθυμεῖc, προθυμῆι. ZYQX

Ξ 332/Z$^{s}$ προπέφανται: προφανῆ ἐcτίν, ZYQX | φανερά. ZQX

Ξ 333/Z$^{s}$ πῶc κ' ἔοι: πῶc ἂν γένοιτο, τί ἂν εἴη. ZYQXG$^{i}$

Ξ 334/Z$^{s}$ ἀθρήcειεν: ἴδοι. τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ 'διαδράκοι' (344. T$^{r}$ κατοπτεῦcαι). ZYQXG$^{i}$

Ξ 335/Z$^{s}$ πεφράδοι: φράcειε, δηλώcειε, εἴποι. ZYQX

Ξ 340/Z$^{s}$ κείοντεc: κοιμηθηcόμενοι. ZYQX

Ξ 340/Z$^{s}$ εὔαδεν: ἤρεcεν. Z(YQX ἤρεcκεν (= Μ 80𝔇)

Ξ 344/T$^{r}$ ⌞διαδράκοι⌟ κατοπτεύcαι.

Ξ 345/A$^{ti}$ ⌞εἰcοράαcθαι⌟ βλέπειν. ≃ Γ 342𝔇

Ξ 346/Z$^{s}$ ἀγκάc: εἰc τὰc ἀγκάλαc. ZYQX

Ξ 346/Z$^{s}$ ἔμαρπτεν: cυνελάμβανεν. ZYQX

Ξ 347/L$^{s}$ τοῖcι δ' ὑπὸ χθών: ἐκπεcὼν εἰc φορτικοῦ πράγματοc διήγηcιν ἐφ' ἕτερα τὸν λόγον μετήγαγε, τὰ ἀπὸ τῆc γῆc φυόμενα ἄνθη καὶ τὸ νέφοc, δι' ὧν ἀπέκλειcε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶc. ἀνθηρῶc δὲ γράφει τὴν εὐνὴν καὶ προθεὶc τὸ γένοc 'ποίην' ἐπιφέρει τὸ εἶδοc (348), οὐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδεc. 'νεοθηλέα' δὲ ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτηcε τὰ ζῶια. κατὰ cυλλογιcμὸν ἡ ὑπεροχὴ εἴ γε καὶ τὰ ἄψυχα αἰcθάνεται τῆc δυνάμεωc τοῦ θείου. L(E l.1 ἐμπεcὼν) ~T

Ξ 347/Z$^{s}$ δῖα: ἡ μεγάλη καὶ θαυμαcτή. ZYQX

Ξ 347/Z$^{s}$ φῦε: ἀνέφυcεν, ἀνέδωκεν. ZYQX

Ξ 347/Z$^{s}$ νεοθηλέα: νεωcτὶ θάλλουcαν, ¦ χλωράν. 'ποίην' δὲ βοτάνην (=T$^{r}$). ZYQXG$^{i}$

χλωράν om X || lemma 'ποίην' pro δὲ YQX, sed τε Z ||

Ξ 348/Z$^{s}$ λωτόc (λωτόν Hom.): εἶδοc χόρτου (=T$^{r}$) ἐλείου, διὸ καὶ 'θ' ἑρcήεντα', ὅ ἐcτιν δροcώδη ⌜φηcὶν αὐτόν Y⌝. Z(YQXA θ' om)

Ξ 348/Z$^{s}$ κρόκοc (κρόκον Hom.): εἶδοc ἄνθουc (=G$^{i}$), ὡc καὶ ὁ 'ὑάκινθοc'. ZYQXI$^{m}$

Ξ 349/T$^{r}$ ⌞πυκνὸν⌟ ὥcτε ποιῆcαι cτρῶμα.

Ξ 349/Z$^{s}$ μαλακὸν: ἁπαλόν, ZYQX | ἡδύ. Z. T$^{r}$ ἀναπαύcιμον.

Ξ 349/Z$^{s}$ ὃc ἀπὸ χθονὸc ὑψόc' ἔεργε: ὃc αὐτοὺc οὐκ εἴα ἐπὶ γῆc θλίβεcθαι, ἀλλ' ¦ ἀνεῖχεν (=T$^{r}$) καὶ ἀπεκώλυεν αὐτούc. ZU$^{m}$G(YQX ἐέργει$^{\lambda}$ = Ν 706)

↑ Ξ 349/Z$^{s}$ ὑψόc' ἐέργει (ἔεργε Hom.): εἰc ὕψοc βαcτάζει. ZYQX. T$^{r}$ ἔεργε "αὐτοὺc ἀνεῖχεν".

Ξ 350/Z$^{s}$ λεξάcθην: κατεκοιμήθηcαν. ZYQX ≃ Θ 519/Ak ὅτι...

Ξ 351/Z$^{s}$ cτιλπναί: cτίλβουcαι, λαμπραί. ZYQXT$^{r}$

Ξ 351/Z$^{s}$ ἔερcαι: δρόcοι, cταλαγμοί. ZYQX

Ξ 358/Z$^{s}$ ὄπαζε: περιεποίει. ZYQX = Ο 327𝔇, immo imperat. "περιποίει" G$^{i}$, Η 205𝔇.

Ξ 359/Y$^{s}$ κῶμα: τὸ κοίμημα. YQX

Ξ 360/Z$^{s}$ παρήπαφεν: παρηπάτηcεν, παρέπειcεν. ZYQX

Ξ 362/T^r ⌊τὸν δ'⌋ τὸν Ποcειδῶνα.

Ξ 363/Z^s προθορών: προαλόμενος, προπηδήcαc. Z(YQX προαλλόμενοc)

Ξ 363/A^ti ⌊ἐκέλευcεν⌋ παρώρμηcεν.

Ξ 364/Z^s Ἀργεῖοι καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην: μεθίετε, παραχωρεῖτε. ZYQG | ταῦτα δὲ καὶ τὰ ἑξῆc κατ' ἐπερώτηcιν ἀναγνωcτέον. ZYQAU^mI^mG

μεθίεμεν A^λ = Hom. : μεθίετε sim. Z^λ,Y^λQ^λ || 1 μεθείεται Z, μεθείετε Y || 2 καθ' ὑπερώτηcιν Z ||

Ξ 365/Z^s ἄρηται: καρπώcηται, λάβηι. ZYQX

Ξ 368/Z^s ποθή: ἐπιζήτηcιc, χρεία. ZYQX

Ξ 372/Z^s ἑccάμενοι: λαβόντεc, καθοπλιcάμενοι. ZYQX

Ξ 372/Z^s παναίθηιcιν: πάνυ cτιλπναῖc, ἢ λαμπραῖc. ZYQX~G

Ξ 376/Z^s μενέχαρμοc: ὑπομονητικὸc ἐν μάχηι. ZYQX

Ξ 376/Z^s ὀλίγον cάκοc: ἀντὶ τοῦ μικρὰν ἀcπίδα (=XG^i). ἔcτι δὲ ¦ ποcότηc ἀντὶ πηλικότητοc (=G). ZYQ(A)I^i+I^m

Ξ 377/Z^s χείρονι: ἐλάττονι. ZYQX

Ξ 379/Z^s ἐκόcμεον: διέταccον. ZYQX

Ξ 381/Z^s οἰχόμενοι δ' ἐπὶ πάνταc: πάνταc ἐπερχόμενοι. ZYQX

Ξ 381/Z^s ἄμειβον: νῦν ἤλλαccον. (Z ἤλαcαν) YQXT^rG^i ≃ Λ 547𝔇

Ξ 382/Z^s ἐcθλά: γενναῖα. ZYQX

Ξ 382/Z^s δόcκον (δόcκεν v.l. Hom.): ἐδίδουν. ZYQX

Ξ 383/Z^s νώροπα: λαμπρόν. ZYQXE

Ξ 385/Z^s τανύηκεc: ἐπὶ μῆκοc ἠκονημένον, μακρὰν καὶ παρατεταμένην ἔχον τὴν ἀκμήν. (Z ἔχων) YQU^iG^i

Ξ 386/Z^s ἀcτεροπῆι: ἀcτραπῆι. ZYQ

Ξ 386/Z^s τῶι δ' οὐ θέμιc ἐcτὶ μιγῆναι / ἐν δαῒ λευγαλέηι: τούτωι δὲ ἀδύνατον ἐναντιωθῆναι καὶ ἀντιcτῆναι κατὰ πόλεμον. ZYQXU^i~G

Ξ 387/Z^s ἰcχάνει: κατέχει, λαμβάνει. ZYQX

Ξ 387/Z^s ἀλλὰ δέοc ἰcχάνει ἄνδραc: πεποίηται γὰρ εἰc φόβον, οὐκ εἰc φόνον. ZYQXU^mGT^r

Ξ 390/Z^s κυανοχαῖτα: μελανόθριξ. ZYQX

Ξ 394/Z^s βοάαι: βοᾶι, ἠχεῖ (=G^i). 'ποτὶ χέρcον' δὲ ¦ προcρηγνύμενον τῆι γῆι (=G^i). Z(YQX lemma 'ποτὶ χέρcον δὲ')

Ξ 395/Z^s ποντόθεν: ἐκ τῆc θαλάccηc ὁρμῶν. ZYQXG^i

Ξ 396/Z^s βρόμοc: κυρίωc ὁ τοῦ πυρὸc ἦχοc. ZYQXAU^mI^mG^i | ὅθεν καὶ τὸν Διόνυcον ὄντα ἔφορον τοῦ πυρὸc ⌜καὶ αὐτὸν Βρόμιον καλοῦcιν ἀντὶ τοῦ τὸν ἐπὶ τοῦ πυρόc A⌝, ἐν οἷc οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλαcαν, ὅτι ἐκ Διὸc καὶ Cεμέληc ὢν ἐβλήθη τῶι κεραυνῶι καὶ ὅτι πυρογενήc ἐcτιν. ZQAU^mI^mG

Ξ 397/Z^s ὤρετο: ὥρμηcεν. ZYQX

Ξ 399/Z^s ἠπύει: βοᾶι, ἠχεῖ. ZYQX

Ξ 402/Z^s Αἴαντοc ἀκόντιcε: ἀντὶ τοῦ κατὰ Αἴαντοc ἔβαλεν. ZYQG^i

Ξ 403/Z^s πρὸc ἰθύ οἱ: προορμᾶι κατ' αὐτοῦ. ZYQXG^i ~ T^i

προϊθύοι ZY^λ || προcορμᾶ G^i || καθ' αὐτοῦ Z ||

Ξ 404/A^ti ⌊τῆι ῥα⌋ ὅπου (=T^r) δή. = O 448𝔇 ἧι ῥα

Ξ 404/Z^s τελαμῶνεc (τελαμῶνε Hom.): οἱ ἀναφορεῖc. ZYQXT^r

Ξ 404/Z^s τετάcθην: ἐξετέταντο. ZYQX

Ξ 406/Z^s τώ οἱ ῥυcάcθην τέρενα χρόα: ἀντὶ τοῦ οἵτινεc τελαμῶνεc ἐφύλαξαν αὐτοῦ τὸ cῶμα {ἄτρωτον}. διὰ δὲ τοῦτο παραδίδωcιν τρωτὸν αὐτὸν ὁ ποιητὴc καὶ οὐχ ὡc οἱ νεώτεροι αὐτὸν ἱcτοροῦcιν ἄτρωτον (Aesch. fr. 83 Radt). ZYQXU^mI^mG (~ 404/T^s)

2 ἄτρωτον om G, cf Ξ 25𝔇 ἀτειρήc· ἄτρωτοc ||

Ξ 406/Z^s χώcατο: νῦν ἐλυπήθη. ZYQXG^i cf A 80𝔇 "ὅτ' ἂν ὀργιcθῆι".

Ξ 409/Z$^{s}$ τὸν μὲν ἔπειτ᾿ ἀπιόντα κατὰ cτῆθοc: πῶc φηcὶν φεύγοντοc τοῦ Ἕκτοροc τὸ cτῆθοc αὐτοῦ τιτρώcκει; ῥητέον οὖν ὡc οὐχ ὑπεcτραμμένοc, ἀλλ᾿ ἀναποδίζων καὶ ὑποχωρῶν βέβληται. (Z1 φαcίν de Marco)

Ξ 411/Z$^{s}$ ἀείραc: ἄραc. ZYQX

Ξ 413/Z$^{s}$ cτρόμβον: ὡc ῥόμβον περιφερῆ. λέγει δὲ τὸν καλούμενον βέμβηκα. δίκην οὖν cτρόμβου ἐποίηcεν αὐτὸν cτρέφεcθαι ZYQXAU$^{m}$I$^{m}$G | cφοδρῶc πλήξαc. ZQXAU$^{m}$I$^{m}$G (βέμβηκα· βέμβικα Dindorf)

Ξ 413/Z$^{s}$ ἔccευε: κινεῖcθαι ἐποίηcεν. ZYQX. T$^{r}$ ἐκίνηcεν.

Ξ 413/Z$^{s}$ περὶ δ᾿ ἔδραμε: περιῆλθεν δὲ πέριξ. ZYQX

Ξ 414/Z$^{s}$ πληγῆc πατρὸc Διόc: τοῦ κεραυνοῦ. ZYQXT$^{r}$

Ξ 414/Z$^{s}$ ἐξερίπηι: ἐκπέcηι. ZYQ. T$^{r}$ πέcηι.

Ξ 414/Z$^{s}$ πρόρριζοc: μέχρι ῥιζῶν. ZYQ

Ξ 415/Z$^{s}$ θεείου: θείου. ZYQXG$^{i}$ | προcληπτέον δὲ κεραυνοῦ. ZQXG$^{i}$ | 'ὀδμὴ' δὲ ποιότηc πνοή. ZG(Q lemma 'ὀδμὴ' pro δὲ)

Ξ 416/Z$^{s}$ τὸν δ᾿ οὔ περ ἔχει θράcοc ὅc κεν ἴδηται: ἅπαντεc δὲ καταπλήccονται οἱ ἰδόντεc. Z(YQXGU$^{i}$ πάντεc)

Ξ 419/Z$^{s}$ ἐπ᾿ αὐτῶι δ᾿ ἀcπὶc ἑάφθη: ἐπικατήφθη δὲ αὐτῶι ἡ ἀcπίc, ὅ ἐcτιν ἐπικατηνέχθη αὐτῶι ἡ ἀcπίc. ZYQXA~G

1 nolui ἐπικαθήφθη : ἐπικατήχθη N 543𝔇, ἐπικατεκάμφθη Q || 1-2 κατηνέχθη {αὐτῶι ἡ ἀcπίc} YQX ||

Ξ 423/Z$^{s}$ αἰχμάc: ἀκόντια. ZYQX

Ξ 424/Z$^{s}$ περίβηcαν: ὑπερεμάχηcαν. ZYQX

Ξ 427/Z$^{s}$ οὔ τιc εὖ ἀκήδεcεν: οὐδεὶc δὲ ¦ αὐτοῦ ἠμέληcεν (=T$^{r}$), ZYQXG | ἠφροντίcτηcεν. (Z ἡ φροντιcτηc ἦν) (QXG ἀκήδηcεν$^{\lambda}$)

Ξ 433/Z$^{s}$ πόρον ἷξον: παρεγένοντο εἰc τὸ διαβατὸν καὶ πορεύcιμον μέροc τοῦ ποταμοῦ. (Z πόροι$^{\lambda}$) YQU$^{i}$G(X καὶ πορεύcιμον om) ~E

Ξ 434/Z$^{s}$ Ξάνθου δινήεντοc, ὃν ἀθάνατοc τέκετο Ζεύc: ἰδίωc τὸν μὲν cωματικὸν Ξάνθον Διὸc γενεαλογεῖ, τὸν δὲ ποταμὸν Ὠκεανοῦ, λέγων 'ἐξ οὗ περ πάντεc ποταμοὶ καὶ πᾶcα θάλαccα (πᾶcαι θάλαccαι codd.) / καὶ πᾶcαι κρῆναι καὶ φρείατα μακρὰ νάουcιν' (Φ 196-7). ZYQXAU$^{m}$I$^{m}$G ~ Φ 2𝔇

Ξ 435/Z$^{s}$ πέλαcαν χθονί: ἔθεcαν εἰc γῆν. ZYQX

Ξ 436/Z$^{s}$ ἀμπνύνθη: ἀνεcωφρόνηcεν λιποθυμήcαc. ZYQ(X ἀνεcωφρονίcθη ἀνεκτίcθη)

Ξ 436/Z$^{s}$ ἀνέδρακεν: ἀνέβλεψεν. ZYQX

Ξ 437/Z$^{s}$ ἑζόμενοc δ᾿ ἐπὶ γοῦνα: διαναcτὰc ἐπὶ γόνατα. ZYQX

Ξ 437/Z$^{s}$+Q$^{s}$ ἀπέμεccεν: ἀπήμεcεν, ZYQX | ἀπέμει. QG$^{i}$

ἀπέμεccεν Q$^{\lambda}$ / ἀπέμαccεν Z$^{\lambda}$ = vv.ll. Hom., ἀπόμαccεν YX$^{\lambda}$ ||

Ξ 438/Q$^{s}$ πλῆτο: προcεπελάcθηcαν. QG$^{i}$ = Ξ 468𝔇 πλῆντο

Ξ 438/T$^{r}$ ⸤πλῆτο⸥ ἐπληcίαcεν, προcεπελάcθη.

Ξ 439/A$^{ti}$ ⸤νύξ⸥ ἀοραcία. ≃ E 506𝔇

Ξ 439/Z$^{s}$ βέλοc: ἡ ἀπὸ τῆc βολῆc ὀδύνη, ἢ ¦ ὁ βεβλημένοc τόποc (≃ A$^{t}$ ὅτι ...). ZYQXU$^{m}$I$^{m}$G

Ξ 439/Z$^{s}$ ἐδάμνα: κατεπόνει. ZYQX

Ξ 441/Z$^{s}$ θόρον: ὥρμηcαν. ZYQX

Ξ 443/Z$^{s}$ μετάλμενοc: μεταλλόμενοc, ἐπιπηδήcαc. ZY(Q ἐπιπηδῶν) X

Ξ 444/T$^{r}$ ⸤Ἠνοπίδην⸥ τὸν υἱὸν Ἤνοποc.

Ξ 445/Z$^{s}$ Cατνιόεντοc: Cατνίου ποταμοῦ. ZYQXG$^{i}$

Ξ **/Z$^{s}$ ἀντιόω: μεταλήψομαι. ZYQX = N 752𝔇

Ξ **/Z$^{s}$ πέτετο (= N 755): ἔτρεχεν ὑπερβολικῶc. ZYQX ≃ E 366𝔇

Ξ 447/Z$^{s}$ καλ λαπάρην: κατὰ τὴν λαγόνα. ZYQXG$^{i}$

Ξ 447/Z$^{s}$ ἀνετράπετο: εἰc τοὐπίcω ἀνετράπη. ZYQXG$^{i}$. A$^{ti}$ ἔπεcεν ≃ Z 64𝔇.

Ξ 449/$Z^{s}$ ἀμύντωρ: βοηθός. ZYQX

Ξ 452/$Z^{s}$ ἔϲχεν: διῆλθεν. ZYQX

Ξ 452/$Z^{s}$ ἀγοϲτῶι: ἀγκάλαιϲ. Z(Y τῶι ἀγκῶνι Y = Λ 425𝔇) QX

Ξ 453/$Z^{s}$ ⌞μακρὰ⌟ βιβάϲθων (μακρὸν ἀΰϲαϲ v.l. Hom. = Ξ 478): διαβάϲ. ZYQX = N 809𝔇

Ξ 454/$Z^{s}$ οὐ μὰν αὖτ' ὀΐω μεγαθύμου Πανθοΐδαο: ἑαυτὸν λέγει (=$G^{i}$, cf $T^{s}$). 'πηδῆϲαι' δε 'ἄκοντα' (Ξ 455) ¦ ἀντι τοῦ πεπηδηκέναι καὶ ἐξωρμηκέναι (~ $U^{i}$). ZYQX

οὐκ ἄν τοι μεγαθύμου $YQX^{\lambda}$ || 1 ἑαυτῶι YQG ||

Ξ 455/$Z^{s}$ ἄκοντα: ἀκόντιον. ZYQX

Ξ 456/$Z^{s}$ κόμιϲεν: ὑπεδέξατο, ἐτρώθη (= 463𝔇). 'χροΐ' δὲ τῶι ϲώματι. ZYQX

lemma 'χροΐ' pro δὲ YQX ||

Ξ 457/$Z^{s}$ ϲκηπτόμενον: ϲκηριπτόμενον, ἐπερειδόμενον. ZY(Q ἐρειδόμενον) XG

Ξ 460/$T^{r}$ ⌞πέϲεν ἄγχι scil.⌟ ὁ Προθοήνωρ .. πληϲίον.

Ξ 463/$Z^{s}$ λικριφὶϲ ἀΐξαϲ: εἰϲ πλάγιον ὁρμήϲαϲ (~ Ak), ὅ ἐϲτιν ἐκκλίναϲ. ZY(Q ἐγκλίναϲ) X ~ ApS 108,25. $T^{r}$ πλαγίωϲ.

Ξ 463/$Y^{s}$ κόμιϲεν: ὑπεδέξατο, ἐτρώθη. YX = 456𝔇. $T^{r}$ → τὴν κῆρα.

Ξ 465/$Z^{s}$+$Q^{s}$ ἐν ϲυνεοχμῶι: ἐν τῆι ϲυναφῆι τοῦ ἰνίου, ἐν τῶι ϲυνδέϲμωι. ¦ 'ἀϲτράγαλον' (466) γὰρ νῦν φηϲὶ τὸν ϲφόνδυλον τὸν ἐν τῶι ἰνίωι (~ $U^{m}$). ZYXQAG (cf T et ApS 45,1) | εἴρηται δὲ ἀϲτράγαλοϲ κατὰ ἀντίφραϲιν· πολύϲτρεπτοϲ γὰρ ὑπάρχει. $QAZ^{m}U^{m}$~G, cf EtM 159,44

2 γὰρ Z : δὲ YQXA || νῦν om A || φηϲὶ A : φαϲὶν Z, om YQX || ϲπόνδυλον Q || τὸν ἐν τῶι ἰνίωι om Q || 3 δὲ om $Z^{m}$, δὲ ἀϲτράγαλοϲ om Q ||

Ξ 466/$Z^{s}$ ἀπὸ δ' ἄμφω κέρϲε τένοντε: καὶ ἀπέτεμεν ἀμφότερα τὰ κατατείνοντα αὐτοῦ νεῦρα. $ZYQXG^{i}$~$I^{m}$

Ξ 468/$Z^{s}$ πλῆντο: προϲεπελάϲθηϲαν. ZYQX

Ξ 470/$Z^{s}$ φράζεο: νῦν ὅρα. $ZYQXG^{i}$ = δ 71𝔇, ~ A 554𝔇 φράζεαι· διενοοῦ, ἐβουλεύου.

Ξ 471/$Z^{s}$ Προθοήνοροϲ ἀντὶ πεφάϲθαι: ἀντὶ τοῦ Προθοήνοροϲ πεφονεῦϲθαι. ¦ ἀναϲτροφὴ ὁ τρόποϲ (=$G^{i}$). ZYQG

Ξ 471/$Z^{s}$ πεφάϲθαι: πεφονεῦϲθαι. ZYQ

Ξ 472/$Z^{s}$ εἴδεται: φαίνεται. ZYQX = ApS 63,24

Ξ 472/$Z^{s}$ κακῶν ἔξ: ἀντὶ τοῦ ἐκ κακῶν. $ZYQXG^{i}$

Ξ 474/$Z^{s}$ ἐώικει: ὡμοιοῦτο. (Z ὡμοιοῦται) YQX($G^{i}$ ὡμοίωτο = B 58𝔇)

Ξ 475/$Z^{s}$ γινώϲκων: εἰδώϲ. ZYQ

Ξ 476/$A^{ti}$ ⌞Πρόμαχον⌟ ὄνομα κύριον· υἱὸϲ 'Αλεγήνοροϲ. cf B 704𝔇, Γ 31𝔇

Ξ 479/$Z^{s}$ ἰόμωροι: οἱ περὶ τοὺϲ ἰούϲ, ὅ ἐϲτιν τὰ βέλη, κακοπαθοῦντεϲ, πολεμικοί. $ZYQU^{m}G^{i}$

Ξ 479/$Z^{s}$ ἀπειλάων: καυχήϲεων. ZYQX

Ξ 480/$Z^{s}$ οὔ θην οἴοιϲιν: οὐ δὴ μόνοιϲ. ZYQX

Ξ 480/$Z^{s}$ πόνοϲ: κακοπάθεια. 'ὀϊζὺϲ' δὲ ταλαιπωρία. Z(YQX lemma 'ὀϊζὺϲ' pro δὲ)

Ξ 482/$Z^{s}$+$Q^{s}$ δεδμημένοϲ: ἀνῃρημένοϲ. ZYQX | 'γνωτὸν' (485) δὲ ἀντὶ τοῦ ἀδελφοῦ.Q

Ξ 483/$Z^{s}$ ποινή: ἀντέκτιϲιϲ, τιμωρία. ZYQG. $A^{ti}$ ἐκδικία.

Ξ 484/$Z^{s}$ ἄτιτοϲ: ἀτιμώρητοϲ. ZYQ

Ξ 484/$T^{r}$ ⌞τῶ⌟ διό (B 250𝔇).

Ξ 485/$Z^{s}$ γνωτόν: νῦν ἀδελφόν (~ Ak ὅτι ...). ZYX, cf H 401𝔇 "γνώριμον, φανερόν".

Ξ 485/$Z^{s}$ Ἄρεωϲ ἀλκτῆρα: τοῦ πολέμου ἀλεξητῆρα καὶ βοηθόν (=$I^{m}$), ἢ ὥϲ τινεϲ ¦ φόνου τιμωρόν (=$T^{r}$). $ZYQXG^{i}$

Ξ 488/$T^{i}$ ⌞'Ακάμαντοϲ⌟ λείπει ἡ κατά. ~ Ξ 402𝔇

Ξ 490/$Z^{s}$ πολυμήλου: νῦν πολλὰ πρόβατα ἔχοντοϲ (cf I 151𝔇 "εὔκαρπον"). 'κτῆϲιν' (491) δὲ τὰ κτήματα. Z(YQ duo scholia). $A^{ti}$ περιουϲίαν, α 160𝔇 βίοτον.

Ξ 493/$Z^s$ θέμεθλα: ῥίζας, βάσεις, ¦ ἐφ᾽ ὧν ἥδρασται ὁ ὀφθαλμός (= $U^m$). (Z ἥδραται) $YQG^i$

Ξ 494/$Z^s$ γλήνην: τὴν τοῦ ὀφθαλμοῦ κόρην. $ZYQXG^i$

Ξ 494/$T^i$ ⌊γλήνην⌋ τὴν κόρην, παρὰ τὸ γλαύσσειν. cf Orio 39,29-40,3

Ξ 494/$Z^s$ διαπρό: διαμπάξ, διόλου. ZYQXG = E 66𝔇

Ξ 494/$Z^s$ πετάσσας: ἁπλώσας. ZYQX

Ξ 495/$T^r$ ⌊ἰνίου⌋ τοῦ νευροῦ.

Ξ 497/$Z^s$ αὐχένα: σφόνδυλον, τράχηλον. 'ἔλασσε' δὲ νῦν ἀντὶ τοῦ ἀπέτεμεν, ἔκοψεν (cf E 41𝔇 "διήλασεν, ἔπληξεν"). Z(Y lemma 'ἔλασσε δὲ') (QX duo scholia) ~$G^i$

Ξ 497/$Z^s$ ἀπήραξεν: ἀπετίναξεν (=$T^r$), ἀπέκοψεν. ZY(QG ἀπέτεμεν pro ἀπετίναξεν)

Ξ 498/$Z^s$ σὺν πήληκι: σὺν τῆι περικεφαλαίαι. ZYQX

Ξ 498/$Z^s$ κάρη: κεφαλή (= B 259𝔇). Z(YQ κεφαλῆ)

Ξ 499/$Z^s$ ὁ δ᾽ ἔφη κώδειαν ἀνασχών: ἐλλείπει τὸ $\overline{\text{ως}}$ (~ $T^r$E), ἵν᾽ ἦι ὡς κώδειαν ἀνατείνας (=$G^i$, ~ $T^rT^s$, Hd-Ze, $A^{ts}$ ὅτι ...). κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλή, ἥ ἐστιν εἶδος βοτάνης. $ZYQXI^mG$ | οὕτως οὖν φησίν· "εἶπεν τὴν κεφαλὴν ἀνατείνας". $ZYQI^mG$ ~ $A^t$, ApS 106,4 ()

δ᾽ ἔφη (Z)Q$X^\lambda$ / δὲ φῆ $Y^\lambda$ = vv.ll. Hom. || 2 ἥ ZX : ἥτις Y, ὅ Q ||

Ξ 500/$Z^s$ πέφραδε: νῦν σήμηνον, δεῖξον (=X). ὁτὲ δὲ εἰπέ. (Z πέφραδε νῦν$^\lambda$) (YQX νῦν om) ~ $U^mG^i$, θ 142𝔇, cf α 444𝔇 "εἶπεν, ἐσήμανεν".

Ξ 500/$Z^s$ εὐχόμενος: μεγαληγορῶν, καυχώμενος. ZYQX

Ξ 501/$A^{ti}$ ⌊εἰπέμεναι⌋ ἀντὶ τοῦ ¦ εἴπατε (=$T^r$).

Ξ 502/$Z^s$ γοήμεναι: θρηνῆσαι. 'δάμαρτι' (503 δάμαρ Hom.) δὲ γυναικί. ZYQX

1 lemma 'δάμαρτι' (Γ 122𝔇) pro δὲ YQX ||

Ξ 504/$Z^s$ γανύσσεται: ἡσθῆι, χαρῆι. (Z γανύσεται$^\lambda$) YQX

Ξ 507/$Z^s$ αἰπύν: νῦν ¦ χαλεπόν (=G). ZYQX = O 223𝔇, Π 283𝔇, cf Z 57𝔇 "νῦν ὑψηλόν".

Ξ 508/$Z^s$ ἔσπετε: λέγετε. ZYQX

Ξ 509/$Z^s$ ἀνδράγρια: ἀνδρῶν ἀγρεύματα, σκῦλα. $ZYQXG^i$ ~$T^s$, ApS 33,21

Ξ 510/$Z^s$ ἤρατο: ἀπηνέγκατο, ἐκτήσατο. ZYQ

Ξ 510/$Z^s$ ἔκλινεν: ἑτεροκλινῆ ἐποίησεν (= $U^i$), ἔτρεψεν. $ZYQG^i$

Ξ 512/$Z^s$ καρτεροθύμων: ἰσχυρῶν τῆι ψυχῆι, ἀνδρείων. ZYQX

Ξ **/$Y^s$ ἀνείρετο: ἀνηρώτησεν. YQX ≃ η 21𝔇 "ἐπερώτησεν".

Ξ 515/$Z^s$ ἐνήρατο: ἀνήιρησεν. Z(YQ ἀνήρατο)

Ξ 517/$Z^s$ ⟨διὰ .. ἄφυσσε⟩ διήφυσεν, διέκοψεν, διήντλησεν. ZYQX ≃ τ 450𝔇, N 507𝔇

lemma supplevi, cf introd. p. 6,a || διήφυσεν $YQ^\lambda$ = τ 450𝔇 : διήφυσσεν $ZX^\lambda$ ||

Ξ 518/$Z^s$ δηιώσας: διακόψας, τρώσας. ZYQX

Ξ 518/$Z^s$ ὠτειλήν: τραῦμα. ZYQX

Ξ 519/$Z^s$ ἔσσυτο: ὥρμησεν. ZYQX

Ξ 521/$Z^s$ ἐπισπέσθαι: ἐπακολουθῆσαι, ZYQX | τρῶσαι. ZX

Ξ 522/$Z^s$ τρεσσάντων: διὰ δέος φυγόντων. (ZYQX τρεσάντων$^\lambda$) $QG^i$ ~ Ak ὅτι ...

Ξ 522/$Z^s$ φόβον: φυγήν. $ZYQXT^i$

Ξ 522/$Z^s$ ὄρσηι: ἐμβάληι. ZYQX

ΑΡΧΗ ΤΗϹ Ο.

O 0/Z$^{s}$ Ζεὺϲ ἐξεγερθεὶϲ καὶ θεαϲάμενοϲ τοὺϲ Τρῶαϲ νικωμένουϲ Ἥραι ἐπιπλήϲϲει καὶ Ἶριν μεταπέμπει πρὸϲ Ποϲειδῶνα κελεύων ἀφίϲταϲθαι τοῦ πολέμου, Ἀπόλλωνα δ' ὅπωϲ ἀνδρώϲηι τὸν Ἕκτορα. ὃϲ ἀναλαβὼν αἰγίδα τοὺϲ Ἕλληναϲ εἰϲ φυγὴν τρέπει καὶ μέχρι τῶν νεῶν ϲυνδιωχθέντων Αἴαϲ ὁ Τελαμώνιοϲ πολλοὺϲ ἀναιρεῖ τῶν πολεμίων τοὺϲ ταῖϲ ναυϲὶ πῦρ ἐπιφέρονταϲ. ZYQXUI. cf 𝔓Mich. 1315)

1 ἐγερθεὶϲ YQX || 3 ἀναρρώϲηι de Marco ex paraphrasi Bekkeri ||

O 0/Z$^{s}$ φυγῆϲ γενομένηϲ τῶν Τρώων διεγερθεὶϲ ὁ Ζεὺϲ θεαϲάμενόϲ τε κείμενον Ἕκτορα καὶ ἐμοῦντα αἷμα ἐκ τῆϲ ἐναντίαϲ πληγῆϲ, Ποϲειδῶνα δὲ ϲυλλαμβανόμενον Ἕλληϲιν ὑποπτεύει Ἥραν αἰτίαν τοῦ τοιούτου γεγενῆϲθαι ἐπιπλήϲϲει τε αὐτῆι. τῆϲ δὲ ὀμοϲάϲηϲ μηδὲν ὧν ὑπενόει πεποιηκέναι τὴν μὲν ἀποπέμπει εἰϲ τὸν Ὄλυμπον μεταπεμψομένην ὡϲ αὐτὸν Ἶριν καὶ Ἀπόλλωνα· ἣ δὲ τὸ κελευϲθὲν μὴ μελλήϲαϲα ἔπραξεν. τότε δὴ Ζεὺϲ πέμπει Ἶριν πρὸϲ Ποϲειδῶνα κελεύουϲαν ὑποϲτρέφειν, Ἀπόλλωνα δὲ βοηθήϲοντα Ἕκτορι. ὁ δὲ θεραπεύει τε αὐτὸν καὶ γενναιότερον ἐπὶ τὸν πόλεμον καθίϲτηϲιν καὶ οὕτωϲ διώκει ἐπὶ τὰϲ ναῦϲ τοὺϲ Ἕλληναϲ ὡϲ ἀπελπίϲαι τὴν ϲωτηρίαν τοὺϲ προειρημένουϲ. καὶ δὴ ἐμπιπράναι βουλομένων τῶν Τρώων τὴν Πρωτεϲιλάου ναῦν ἐπιφερόμενοι τὸ πῦρ πολλοὶ ὑπὸ Αἴαντοϲ φονεύονται. ZYQXUI

2 αἱμοῦντα Z || 5 μεταπεμψαμένην Z || 6 δὴ ZU : δὲ YQX || 9 τοὺϲ προειρημένουϲ καὶ δὴ ἐμπιπράναι om YQX || .. 10 ναῦν ⟨ἐμπρῆϲαι⟩ YQX ||

O 1/Z$^{s}$ αὐτὰρ ἐπεὶ διά τε ϲκόλοπαϲ καὶ τάφρον ἔβηϲαν: τὸ ἑξῆϲ διέβηϲαν τούϲ τε ϲκόλοπαϲ καὶ τὴν τάφρον. ὑπερβατὸϲ γὰρ ὁ τρόποϲ (sc. διά .. ἔβηϲαν). ZYQXAG$^{i}$

1 τὸ ἑξῆϲ YQXAG : καὶ τὰ ἑξῆϲ Z$^{\lambda}$ || 2 ὑπερβατὸν YQG ||

O 3/Z$^{s}$+Q$^{s}$ ἐρητύοντο: κατείχοντο. 'ὑπαὶ δείουϲ' (4) δὲ ὑπὸ τοῦ δέουϲ, ὅ ἐϲτιν τοῦ φόβου. Z(YQX lemma 'ὑπαὶ δείουϲ' pro δὲ) | τὸ 'ὑπαὶ δείουϲ' δύναται καὶ 'χλωροὶ ὑπαὶ δείουϲ' (4) καὶ 'πεφοβημένοι ὑπαὶ δείουϲ (~4). QU$^{m}$G ~ O 4/ex+Ni

O 4/Z$^{s}$ πεφοβημένοι: εἰϲ φυγὴν τετραμμένοι. ZYQXG$^{i}$

O 4/Z$^{s}$ ἔγρετο: ἐγρηγόρηϲεν, ἀνέϲτη. ZYQX

O 6/Z$^{s}$ ἀναΐξαϲ: ἀνορμήϲαϲ, ἀναϲτάϲ. ZYQX

O 7/Z$^{s}$ ὀρινομένουϲ: ταραϲϲομένουϲ. 'κλονέονταϲ' δὲ ταράϲϲονταϲ. Z(YQX lemma 'κλονέονταϲ' pro δὲ)

O 10/Z$^{s}$ ἔχετ' ἄϲθματι: ὑπὸ ἄϲθματοϲ ϲυνείχετο, ὅ ἐϲτιν ὑπὸ πολλοῦ πνεύματοϲ καὶ ϲυνεχοῦϲ ἀναπνοῆϲ. ZYQG

O 10/Z$^{s}$ κῆρ ἀπινύϲϲων: ἐξεϲτηκὼϲ τῆι ψυχῆι (=G$^{i}$, A$^{ti}$ τὴν ψυχήν) καὶ οὐ διακείμενοϲ ϲυνετῶϲ, ἀλλὰ ἀϲυνέτωϲ. ZYQT$^{r}$

O 11/Z$^{s}$ οὐκ .. ἀφαυρότατοϲ: οὐκ ἀϲθενήϲ. ZYQX

O 14/Z$^{s}$ ἦ μάλα δὴ κακότεχνοϲ ἀμήχανε ϲὸϲ δόλοϲ Ἥρη: ὄντωϲ δὴ ὁ ἐπὶ κακῶι ϲου δόλοϲ τετεχναϲμένοϲ, ὦ Ἥρα, τὸν Ἕκτορα ἔοικε πεπαυκέναι (=G) τῆϲ μάχηϲ. 'ἀμήχανοϲ' δὲ πανοῦργοϲ, πρὸϲ ὃν οὐδέν ἐϲτι μηχανήϲαϲθαι καὶ ἐπινοῆϲαι (=G$^{i}$, ~ Ak T$^{s}$). ZYQXI$^{i}$. A$^{ti}$ κακομήχανε.

3 lemma (ἀμήχανε Hom.) pro δὲ YQX || οὐδέν ἐϲτι : οὐ δύναταί τιϲ QG || ἐπινοῆϲαί ⟨τι⟩ Q ||

O 16/A$^{ti}$ ⸤οἷδ'⸥ ὁ δόλοϲ ϲου δηλονότι.

O 16/Z$^{s}$ κακορραφίηϲ: κακοϲυνθεϲίαϲ, κακοβουλίαϲ. ZYQX

O 17/Z$^{s}$ ἐπαύρηι (= Λ 391𝔇, ἐπαύρηαι Hom.): ἐπιψαύϲηι, ἀπολαύϲηιϲ. (Z ἐπὶψαυϲηϲ) YQX

O 17/Z$^{s}$ ἱμάϲϲω: μαϲτίξω. ZYQX

O 18/Z$^{s}$(a) ἦ οὐ μέμνηι ὅτε τ' ἐκρέμω ⸤ὑψόθι YQX⸥ ἐκ δὲ ποδοῖϊν ἄκμοναϲ ἧκα δύο καὶ τὰ ἑξῆϲ: τοὺϲ τῆϲ Ἥραϲ δεϲμοὺϲ νοητέον φυϲικὴν τοῦ ἀέροϲ πρὸϲ τὸν αἰθέρα ϲυμπλοκήν. διὰ τοῦτο οὖν φηϲὶν 'χρύϲεον ἄρρηκτον' (20), ἵν' ἦι δυϲδιαχείριϲτον, ἐπεὶ καὶ τὸ πῦρ χρυϲαυγὲϲ καὶ δυϲδιάλυτον, 'ἄκμοναϲ' δὲ 'δύο' (19) τὰ βαρύτατα τῶν ϲτοιχείων, γῆν καὶ θάλαϲϲαν. ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν οὕτωϲ ἀϲχήμωϲ

ὑβρίζει τὴν Ἥραν ὁ Ζεὺϲ διὰ θνητὸν Ἡρακλέα· φηcὶ γὰρ 'ἦ οὐ μέμνηι ὅτε τ' ἐκρέμω ὑψόθεν'. ῥητέον οὖν ὅτι νῦν φιλοϲοφεῖ Ὅμηροϲ· μυθικῶϲ γὰρ Ζεὺϲ ἐνταῦθα ὁ αἰθήρ {οὐρανοῦ τοῦ περὶ τὸν ἀέρα δεϲμόϲ} ἐϲτιν ὁ ἄγων τὰ ὑγρά, καὶ ἐξ αὐτοῦ δεϲμεύονται πάντα. μετ' αὐτὸν δέ ἐϲτιν ἀὴρ μέϲοϲ γῆϲ καὶ αἰθέροϲ, ὃν δεῖ νοεῖν ἡμᾶϲ τὴν Ἥραν ὑπάρχειν, τοῦ δὲ ἀέροϲ ἐκκρέμαται ὕδωρ τε καὶ γῆ, οὓϲ δὴ νῦν ἄκμοναϲ λέγει παρὰ τὸ ἀκοπίατα εἶναι τὰ ϲτοιχεῖα. καλῶϲ οὖν οὐ δύνανται οἱ θεοὶ τὸν δεϲμὸν λῦϲαι· ἰϲχὺϲ γὰρ τῶν ὅλων τὸ ϲυνδεδέϲθαι. ZYQXAUI$^{m}$G

4 χρυϲοαυγὲϲ Z || 5 ἀϲχημόνωϲ QU || 6 ἡρακλέα om QU || 7 ὑψόθεν YX = Hom. : ὑψόθι QU, om ZA ut in lemmate || οὖν ZU : δὲ YQXA || Ζεὺϲ YA : ὁ Ζεὺϲ QXU, καὶ Ζεὺϲ Z || 8 delevi || 8-9 δεϲμεύων τὰ A || 9 ἐϲτιν ἀὴρ Z : ὁ ἀὴρ YQXU || αἰθέροϲ Villoison ≃ B 412𝔇 458/Ak : ἀέροϲ codd., cf 18b3 διάπυρον ἀέρα || ὃν ZX : ὃ YQAU || 11 ἀκοπίαϲτα QU || 12 ϲυνδέδειϲθαι Z ||

O 18/$Z^{s}$(b) ἦ οὐ μέμνηι ὅτε τ' ἐκρέμω: καὶ ἔμπροϲθεν περὶ τούτου εἴρηται ἱκανῶϲ (18a), ἀκριβέϲτερον δὲ καὶ νῦν. διὰ γὰρ τούτων ὁ ποιητὴϲ τὴν κοϲμικὴν αἰνίττεται φύϲιν. Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενοϲ διάπυρον ἀέρα, Ἥραν δὲ τὸν δεύτερον· καὶ ταύτην φηϲὶν ὑπὸ Ὠκεανοῦ τετράφθαι, ἐπειδὴ ἐκ τῆϲ τῶν ὑγρῶν ἀναθυμιάϲεωϲ γίγνεται ὁ ἀήρ. ἄκμοναϲ δὲ γῆν καὶ θάλαϲϲαν λέγει, χρυϲοῦν δὲ δεϲμὸν τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῶι ἀνωτάτωι μέρει ϲυνῆπται αὐτῶι ὁ ἀήρ. καὶ ῥιπτόμενον τὸν Ἥφαιϲτον εἰϲ θάλαϲϲαν, παρόϲον μεταβάλλει εἰϲ ἄλληλα τὰ ϲτοιχεῖα· πῦρ μὲν εἰϲ ἀέρα, ἀὴρ δὲ εἰϲ ὕδωρ (cf Chrys. fr. log. 579). χαλκεύοντα δὲ ἐν Ὠκεανῶι, ὅτι τὰ ϲτερεὰ τῆϲ δι' ὕδατοϲ καὶ πυρὸϲ ἐργαϲίαϲ τυγχάνει. καὶ Ἡϲίοδοϲ δὲ οὐρανὸν μὲν λέγει τὴν ἐκπύρωϲιν, Κρόνον δὲ τὸν ἄνωθεν κρουνηδὸν ἐπιφερόμενον ὄμβρον, Ῥέαν δὲ τὴν ἐπιρρεομένην ὕδαϲι ⟨γῆ⟩ν. ἐκτομὴν δὲ Οὐρανοῦ τὴν τοῦ πυρώδουϲ ἐξ ὑγρῶν ϲβέϲιν, λίθον δὲ καταπινόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῶν ὑγρῶν εἰϲ ϲτερρότητα πήγνυται. κρύπτεϲθαι δὲ τὸν Δία διὰ τὸ τοῦ ζῆν ἐπικρατεῖν τῶι τῶι χειμῶνι τοὺϲ καρποὺϲ ἀφανίζεϲθαι πλεοναζόντων τῶν ὑγρῶν. ZYQXAU (inter 378 et 381 Z, post 340 YQXG, ad 189 A, q.v.)

ἦ$^{λ}$ (= Ω, non ἦ) post 16 εἰ, cf Ilias$^{2}$ p. XV || 3 καὶ ζῆνα ZQXU : τὸν ζῆνα Y, om A || τὰ ἀνωτάτω Z || 4 ταύτην φηϲὶν : τὴν φύϲιν Z || ὑπὸ : ὑπ' YA || τῶν om A || 7 μεταβάλλη Z || 9-10 καὶ ἡϲίοδοϲ μὲν οὐρανὸν λέγει A || 11 ⟨γῆ⟩ν Dindorf || 13 δὲ om Z ||

O 18/$Z^{s}$(c) ἐκρέμω: ἐκρέμαϲο. ZYQX

O 18/$Z^{s}$(d) ὑψόθι (ὑψόθεν Hom.): ἐκ τοῦ αἰθέροϲ, ἀπὸ ὕψουϲ. ZYQXG$^{i}$

O 19/$Z^{s}$ ἄκμοναϲ: βάρη, ϲίδηρα καθέλκοντα. ZYQX. T$^{r}$ κανόναϲ καὶ ῥάβδουϲ.

O 19/$Z^{s}$ ἧκα: ἀπεκρέμαϲα. ZYQX. T$^{r}$ ἐτάνυϲα.

O 19/$Z^{s}$ ἴηλα: περιέβαλον. ZYQX

O 20/$Z^{s}$ ἄρρηκτον: ϲτερεόν. ZYQX

O 21/$Z^{s}$ ἠλάϲτεον: ἐδεινοπάθουν, ϲυνήλαυνον. Z(YQX ϲυνέλαυνον, L ϲυνήλγουν)

O 22/$Z^{s}$ παραϲταδὸν ὃν δὲ λάβοιμι: ὃν δ' ἂν λάβοιμί ϲοι παρεϲτῶτα. (Z παρέϲτω· τὰ) QG$^{i}$ | ἀντὶ τοῦ ὃν δὲ ἔλαβον ¦ παριϲτάμενόν ϲοι. δῆλον δὲ ὅτι λέγει τὸν Ἥφαιϲτον (= U$^{m}$I$^{i}$). ZYQG$^{i}$

O 23/$Z^{s}$ ῥίπταϲκον: ἐρρίπτουν. παράγωγοϲ ὁ τύποϲ (= A 65𝔇). ZY(QG$^{i}$ τρόποϲ)

O 23/$L^{s}$ βηλοῦ: βαθμοῦ. = T$^{s}$, ≃ A 591𝔇

O 23/$Z^{s}$ ὄφρ' ἄν: ἕωϲ ἄν. ZYQX

O 24/$Z^{s}$ ὀλιγηπελέων: ὀλιγοδρανῶν, ὀλίγον ἰϲχύων, ZYQXG$^{i}$ | λειποψυχῶν. ZQ

λειποψυχῶν Z : καὶ ὀλιγοψυχῶν Q = ε 457𝔇 ||

O 24/$Z^{s}$ ἀνίει: εἶα, κατελίμπανεν. ZYQXT$^{r}$

O 25/$Z^{s}$ ἀζηχήϲ: ἀδιάλειπτοϲ, ¦ ἢ κακὸν ἦχον ἀποτελοῦϲα (= U$^{i}$). ZYQXG$^{i}$

O 26/$Z^{s}$ πεπιθοῦϲα: πείϲαϲα. 'θυέλλαϲ' δὲ ϲυμβολὰϲ ἀνέμων. ZG$^{i}$(YQ duo scholia)

O 27/$Z^{s}$ μητιόωϲα: βουλευομένη, ἐργαζομένη. ZYQ

O 28/$Z^{s}$ ἀπένεικαϲ: ἀπαχθῆναι ἐποίηϲαϲ. ZYQG$^{i}$

O 29/$Z^{s}$ αὖτιϲ: ἐκ δευτέρου, πάλιν. ZYQX

O 30/$Z^{s}$ ἀθλήϲαντα: κακοπαθήϲαντα. ZYQX

O 31/$Z^s$ ἀπολήξηιϲ: παύϲηι. ZYQX

O 32/$Z^s$ ἤν τοι: ἐάν ϲοι. ZYQX

O 36/$Z^s$ ἴϲτω: γινωϲκέτω. ZYQX

O 37/$Z^s$ κατειβόμενον: καταρρέον. 'Cτυγὸϲ' δὲ 'ὕδωρ' ἐπεὶ ἡ Cτὺξ καὶ κατὰ τὸν Ἡϲίοδον (Theog. 383sqq, 776) ἐϲτὶν ἱερὰ πηγή, θυγάτηρ Ὠκεανοῦ (~$T^r$), ἢ ὥϲ τινεϲ φαϲίν, ὅτι ὁμώνυμοϲ ταύτηι ἐϲτὶν ἡ πηγή, ἣν ἐν Ἅιδου ὅρκον φρικτὸν οἱ θεοὶ πεποίηνται βουλήϲει Διόϲ. ZYQA$U^mI^m$G

1 lemma 'Cτυγὸϲ ὕδωρ' pro δὲ YQA || 3 ἐϲτι πηγὴ ἐν ἅιδου ἣν ὅρκον ... Y || πηγὴ ἡ ἐν ἅιδου ὅρκον αὐτὴν φρικτὸν οἱ θεοὶ ... QU || φρικτὸν YIG : φρικτὸν ⟨αὐτῶν⟩ A, φρικτὸν ⟨αὐτὸν⟩ Z ||

O 39/$Z^s$ νωΐτερον: ἡμέτερον. ZYQX. $T^r$ ἡμῶν.

O 40/$T^r$ ⌊κουρίδιον, τὸ μὲν ..⌋ τὸ ἐκ παρθενίαϲ, τοῦτο →.

O 40/$Z^s$ μάψ: ψευδῶϲ, ματαίωϲ. ZYQX

O 41/$Z^s$ μὴ δι' ἐμήν: οὐ δι' ἐμήν. 'ἰότητα' δὲ βούληϲιν. Z(YQX duo scholia) ~ Ak

O 42/$Z^s$ πημαίνει: βλάπτει, κακοῖ. ZYQX

O 42/$T^r$ ⌊τοῖϲι⌋ τοῖϲ Ἕλληϲιν.

O 45/$Z^s$ παραμυθηϲαίμην: ϲυμβουλεύϲαιμι, εἴποιμι. (Z ϲυμβουλεύϲοιμι) YQX

O 46/$Z^s$ τῆι ἴμεν: ταύτην ἔρχεϲθαι, καὶ προαίρεϲιν καὶ γνώμην ὁμοίαν ϲοι ἔχειν. ZYQX$U^mI^m$G

ἐκεῖϲε ἔρχεϲθαι· τὴν αὐτήν ϲοι γνώμην καὶ προαίρεϲιν ἔχειν Y ||

O 49/$Z^s$ εἰ μὲν δή: ἐὰν ὅπου δή. ZYQX

εἰ μὲν Hom. : ἡ μὲν $Z^\lambda$ = B 798𝔇, ἣ κεν $Y^\lambda$, ἣ κεν $QX^\lambda$ ||

O 50/$Z^s$ ἶϲον ἐμοὶ φρονέουϲα: ὅμοια καὶ τὰ αὐτὰ φρονοῦϲα ἐμοί. ZYQX$G^i$ ~$T^s$

O 51/$Z^s$ ἄλληι: ἄλλωϲ, ἢ ἀλλαχοῦ. ZYQX

O 52/$Z^s$ μεταϲτρέψοιϲ (μεταϲτρέψειε Hom.): μεταβάλοιϲ. (Z μεταϲτρέψειϲ$^\lambda$ = O 203𝔇) YQX

O 52/$Z^s$ μετὰ ϲὸν καὶ ἐμόν: ἐπὶ τὸ ϲοὶ καὶ ἐμοὶ ἀρέϲκον. ZYQXG

O 53/$Z^s$ ⌊εἰ ..⌋ ἐτεόν γε καὶ ἀτρεκέωϲ ἀγορεύειϲ: ⌜ἀλλ' ἐὰν δή φηϲιν Q$U^m G^{i}$⌝ ἀληθῆ λέγειϲ (=$G^i$). ¦ δὶϲ δὲ τὸ αὐτό φηϲιν ἐπιτάϲεωϲ χάριν (=$I^m$G). ZYQX$U^m$

⟨ἀλλ' εἰ δή ῥ'⟩ ἐτεόν γε $YQX^\lambda$ (γὰρ $Z^\lambda$) || 1 λέγηιϲ Q ||

O 54/$Z^s$ ἔρχεο: ἔρχου. ZYQX

O 54/$Z^s$ δεῦρο: εἰϲ τοῦτον τὸν τόπον. ZYQX$G^i$ = ApS 57,33

O 58/$Z^s$ τὰ ἅ: τὰ ἑαυτοῦ, τὰ ἴδια. ZYQX

O 60/$Z^s$ ἐμπνεύϲηι (ἐμπνεύϲηιϲι Hom.): ἐμβαλῆι. (Z ἐμπνεύϲει· ἐμβάλει) YQX

O 60/$Y^s$ λελάθοι: εἰϲ λήθην ἀγάγοι (=$T^rG^i$), λήθην ποιήϲειεν. YQX

λελάθηι / λελάθοι $YQX^\lambda$ vv.ll. Hom., cf Theog. 471 λελάθοιτο ||

O 62/$Z^s$ φύζαν: δειλίαν, φυγήν. ZYQX

O 62/$Z^s$ ἐνῶρϲα (ἐνόρϲαϲ Hom.): ἐνέβαλον. ZYQX ≃ He ε 3256

ἐνῶρϲα $YQX^\lambda$ ≃ O 366 : ἐνόρϲα $Z^\lambda$ ||

O 68/$Z^s$ τοῦ δὲ χολωϲάμενοϲ: ὑπὲρ δὲ τούτου ὀργιϲθείϲ. Z(YQX$G^i$ δὲ om)

O 68/$T^r$ ⌊τοῦ δὲ⌋ τοῦ Πατρόκλου.

O 69/$Z^s$ ἐκ τοῦ δ' ἄν: ἀπὸ τούτου τοῦ χρόνου. ZYQX$G^i$

O 69/$Z^s$ παλίωξιν: τὴν ἐξ ὑποϲτροφῆϲ τῶν φευγόντων δίωξιν, ὅταν οἱ πρότερον φεύγοντεϲ ὕϲτερον πάλιν αὐτοὶ διώκωϲι θαρρήϲαντεϲ. (Z διώκουϲι) YQX$U^mI^m$G$T^r$ ~ ApS 127,5

O 69/$T^r$ ⌊παρὰ νηῶν⌋ ἀπό.

O 71/$Z^s$ Ἴλιον αἰπὺ ἕλοιεν: ϲημειοῦται τοῦτο, ὅτι οὐδετέρωϲ τὸ Ἴλιον ἐνθάδε κέκληκεν μόνον· διὸ καὶ ἀθετεῖται ὁ ϲτίχοϲ οὗτοϲ. (inter 167 et 170 Z, post 104 et 106 YQ) (Z αἰπὺν$^\lambda$) Y$I^m$(Q φηϲὶ pro κέκληκεν) ($U^m$G ϲημείωϲαι)

O 74/$Z^s$ τελευτηθῆναι: τελεϲθῆναι. ZYQ(X τελειωθῆναι)

O 80/$Z^s$ ὡς δ’ ὅτ’ ἂν ἀΐξηι νόος ἀνέρος καὶ τὰ ἑξῆς: ὥςπερ δὲ νοῦς ἀνδρὸς πολλῆι ἐπεληλυθότος γῆι καὶ πολλὰ ἱςτορηκὼς ἐν ὑπομνήςει ποιεῖται τὰ ἱςτορημένα, καὶ ταχέως ἄλλοτε ἐπ’ ἄλλα μεταβαίνει, οὕτως καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης ὀξέως παρεγένετο εἰς τὸν Ὄλυμπον. (inter 167 et 170, post 104 et 106 YQ) ZYQXA$I^m$G

1-2 πολλὴν ... γῆν A || 2 ἱςτορηκότος QXA || 3 ἄλλα Z : ἄλλο YQXA || ἥρα : ἡμέρα A || ὀξέως ZA: εὐθέως YQX || 4 τὸν om Z ||

O 81/$Z^s$ πευκαλίμηςι: ςυνεταῖς. ZYQX

O 82/$Z^s$ ἔνθα ἢ ἔνθα: ἐνταῦθα ἢ ἐκεῖ. ZYQX

↑ O 82/$Q^s$ ἐνθ’ εἴην ἢ ἔνθα: τὸ εἴην ςὺν τῶι ν̅ Ἀριςτάρχειοι· καὶ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου οἷον πορευοίμην. ὁ δὲ λόγος· εἰς ἐκείνην τὴν χώραν πορευθείην ἢ πορευοίμην. Q$U^m$G = T

O 82/$Z^s$ μενοινήςει (μενοινήςειε Hom.): ἐνθυμηθῆι ἢ διανοηθῆι. ZYQX ≃ β 34𝔇

μενοινήηιςι $A^t$/Ar || ἐνθυμηθεῖ ἢ διανοηθεῖ Z ||

O 83/$Z^s$ διέπτατο: διέπτη. ZYQX

O 84/$T^r$ ˪ὁμηγερέεςςι˩ ςυνηθροιςμένοις.

O 86/$Z^s$ δεικανόωντο: ἐδεξιοῦντο. ZYQX$A^{ti}$

O 87/$Z^s$ Θέμιςτι: ἀντὶ τοῦ παρὰ Θέμιδος, = $A^{ts}$ ὅτι ... ¦ Θέμις δὲ μία τῶν Τιτανίδων (=$I^m$G$T^r$). (post 105) ZYQX

O 90/$Z^s$ ἀτυζομένη: τεταραγμένη (=$A^{ti}$), ἠπορημένη. ZYQX. $T^r$ ταραςςομένη.

O 91/$Z^s$ ἦ μάλα δή ς’ ἐφόβηςε: ἀκριβῶς δή ςε ἐπτόηςε. ZYQX

O 91/$Y^s$ ἀκοίτης: ἀνήρ. YQX

O 93/$Z^s$ διείρεο: διερώτα. ZYQX

O 94/$Z^s$ ὑπερφίαλος: ὑπερήφανος (=$T^r$), ἄδικος. ZYQXG

O 94/$Z^s$ ἀπηνής: χαλεπός, ςκληρός. ZYQX

O 97/$Z^s$ πιφαύςκεται: ἐμφανίζει, λέγει, μηχανᾶται. ZYQXG

O 98/$Z^s$ κεχαρηςέμεν: χαρῆναι. ZYQX

O 99/$Z^s$ εὔφρων: εὐφραινόμενος, ἐν εὐφροςύνηι καὶ θυμηδίαι ὑπάρχων. ZYQXG+$G^i$ $A^{ti}$ ἱλαρός.

O 101/$Z^s$ γέλαςςε / χείλεςιν: οὗτος ὁ γέλως ςαρδάνιος καλεῖται, ὅταν τις μὴ ἐκ διαθέςεως καὶ κρίςεως γελᾶι. (Z γέλαςςαν$^{\lambda}$) (YQ καὶ κρίςεως om) A$U^m$$I^m$

O 103/$Z^s$ ἰάνθη: διεχύθη (= $T^s$), εὐφράνθη. ZYQ$A^{ti}$

O 103/$Z^s$ νεμεςςηθεῖςα: μεμφαμένη. ZYQX

O 104/$Z^s$ μενεαίνομεν: προθυμούμεθα (=$A^{ti}$), ¦ ὀργιζόμεθα (=$T^r$). ZYQ

O 104/$Z^s$ ἀφρονέοντες: μωραίνοντες. ZYQ

O 105/$Z^s$ μέμαμεν: προθυμούμεθα. ZYQX

O 106/$Z^s$ ἀφήμενος: ἀποτέρω καὶ πόρρω καθήμενος. Z(YQXG καθεζόμενος) ApS 49,5

O 106/$T^r$ ˪ἀφήμενος˩ ἤτοι ἀπὸ ἡμῶν ἥμενος, ἤτοι καθήμενος.

O 107/$L^s$ οὐδ’ ὄθεται: οὐδ’ ἐπιςτρέφεται. = E 403𝔇

O 108/$Z^s$ κάρτεϊ: ἰςχύϊ, κράτει. ZYQX

O 108/$Z^s$ διακριδόν: διακεκριμένως, κεχωριςμένως. (Z κεχωριςμένος) YQX

O 109/$Z^s$ τῶ ἔχετε: διὸ ἀνέχεςθε (=$T^r$), ὑπομένετε. ZYQXG

O 110/$Z^s$ πῆμα: βλάβη, πένθος. 'τετύχθαι' δὲ γεγενῆςθαι. ZYQX

duo scholia YQX || γεγονέναι YQX ||

O 113/$Z^s$ θαλερώ: θάλλουςιν, ἰςχυροῖς δυϊκῶς. ZYQX- L θάλλοντας ἰςχυροὺς δυϊκῶς

O 113/$Z^s$ πεπλήγετο: ἔπληξεν. ZYQX

O 114/$Z^s$ καταπρηνέςςι: κατεςτραμμέναις, ¦ καταφερέςιν (=$A^{ti}$). ZYQX

O 114/$Z^s$ ὀλοφυρόμενος: νῦν ὀδυρόμενος. ZYQX$G^i$ cf Θ 202𝔇 "ἐλεεῖ, οἰκτείρει".

O 115/$Z^s$ νεμεςήςετε: μεμφθήςεςθε. ZYQX$G^i$$T^r$

νεμεςςήςεται· μεμφήςεται Z || μέμφεςθε $YT^r$ ||

O 119/$Q^{s}$ Δεῖμον: ὄνομα δαίμονος. $QG^{i}$, cf 119𝔇 et Δ 440𝔇

O 119/$Z^{s}$ Φόβον: νῦν ὄνομα δαίμονος. $ZYQXG^{i}$ cf Ξ 522𝔇 "φυγήν".

O 121/$X^{s}$ ἔνθα κ' ἔτι μείζων: ποίου μείζων; τοῦ ἐν τῆι Α πρὸς 'Αθηνᾶν καὶ Ἥραν καὶ Ποςειδῶνα (Α 400). XG

O 123/$Z^{s}$ πᾶςι περιδείςαςα θεοῖςιν: περὶ πάντων εὐλαβηθεῖςα θεῶν. $ZYQG^{i}$

περιδδείςαςα / περιδείςαςα $ZYQ^{\lambda}$ = vv.ll. Hom. || ⟨τῶν⟩ θεῶν Y ||

O 124/$Z^{s}$ θάαςςεν: ἐκαθέζετο. ZYQX

O 127/$Z^{s}$ καθάπτετο: νῦν ¦ ἐπέπληττεν (=$G^{i}$; ≃ β 240𝔇, cf Α 582𝔇 "καταπραΰνειν"). ZYQ(X ἔπληττεν)

O 128/$Z^{s}$ φρένας ἠλέ: ἀνόητε καὶ μάταιε τὰς φρένας. ZYQXG

O 128/$Z^{s}$ διέφθορας: διέφθαρςαι. ZYQ

O 128/$U^{m}$ τὸ η̅ ἀντὶ τοῦ και̅. U = Α 117𝔇

O 128/$Z^{s}$ ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ⸢ἐςτίν YQ⸣: ἢ ματαίως πάρεςτί ςοι τὰ ὦτα πρὸς τὸ ἀκούειν. ZYQG

O 129/$Z^{s}$ νόος: νῦν τὸ τῆς ψυχῆς κυριώτατον, ὧι νοοῦμεν. $ZYQI^{m}$ cf Ι 104𝔇 "νῦν γνώμην".

ὧι νοοῦμεν : ὄνομα Y ||

O 129/$Y^{s}$ αἰδώς: νῦν τὸ αἰδεςθῆναι. YQ~$G^{i}$ cf O 657𝔇 "ἡ αἰςχύνη".

O 130/$Z^{s}$ οὐκ ἀΐεις: οὐκ ἀκούεις. ZYQ. $T^{i}$ αἰςθάνηι = Κ 160𝔇.

O 130/$Z^{s}$ ἅ τε: ἅτινα. ZYQ

O 130/$Z^{s}$ φηςί: λέγει. ZYQ

O 132/$Z^{s}$ ἀναπλήςας: ἀναπληρώςας. ZYQ

O 134/$Z^{s}$ φυτεῦςαι: καταςκευάςαι, ἐμβαλεῖν. ZY

O 136/$Z^{s}$ εἶςι: ἐλεύςεται. ZYQ

O 136/$Z^{s}$ κυδοιμήςων: θορυβήςων, ταράξων. ZY(Q nihil nisi ςυνταράξων)

O 137/$Z^{s}$ μάρψει: ςυλλήψεται ἐπὶ τιμωρίαι. (Z τιμωρίαν) $YQG^{i}$

O 138/$Z^{s}$ ἑῆος: ἀγαθοῦ, ἰδίου. ZYQ

O 138/$U^{m}$ 'Απολλώνιος φηςὶν ἐν τῶι Περὶ ἐπιρρημάτων ἠὺς καὶ ἡ γενικὴ ἠέος καὶ ἐν ὑπερθέςει τοῦ ε̅ ἑῆος. U = $G^{s}N^{s}$, sec. Epim. Α 393 ἑῆος, Apollonius laudatur more Orionis, e.g. s.v. τηλοῦ.

O 139/$T^{r}$ ⌞τοῦ γε⌟ τοῦ υἱοῦ ςου.

O 140/$Z^{s}$ πέφανται (πέφατ' Hom.): ἀνήιρηνται, πεφόνευνται (~ O 563𝔇). 'πεφήςεται' δὲ φονευθήςεται. ZYQ. $T^{r}$ ἐφονεύθη.

1 πεφόνευται Y || lemma 'πεφήςεται' pro δὲ YQ ||

O 141/$Z^{s}$ ῥῦςθαι: ςώζειν. Z. $T^{r}$ φυλάττεςθαι ≃ Ι 396𝔇.

O 141/$Z^{s}$+$Q^{s}$ γενεήν τε τόκον τε: τοὺς γονεῖς καὶ τὸ γένος. $ZYQAU^{m}G$ | διςςολογεῖ δι' ἀμφοτέρων τὴν γένεςιν. ὁ δὲ νοῦς· οὐ δυνατόν ἐςτι θεῶι ῥύςαςθαι τὴν ἐξ αὐτοῦ ἀνθρωπίνην γένεςιν. τὸ γὰρ 'ἀργαλέον' (140) νῦν ἀντὶ τοῦ "ἀδύνατον" (=$G^{i}$) κεῖται "καὶ τοῦ θανάτου ῥύεςθαι". $QAU^{m}I^{m}G$ ~ $140^{T}$, cf Α 589/$Z^{s}$ ἀργαλέος· "χαλεπός".

1 τὸ γένος : τὸν τόκον Y || 2 οὐ δυνατόν QU : ἀδύνατον AG || ἑαυτοῦ A ||

O 146/$Z^{s}$ ςφῶϊ (ςφὼ Hom.): ὑμᾶς. ZYQ = Δ 286𝔇

O 146/$Z^{s}$ ὅττι τάχιςτα: ςφόδρα ταχέως. ZYQ. $T^{i}$ ὡς τάχιςτα ~ Δ 193𝔇 ὡς τάχος.

O 147/$Z^{s}$ εἰς ὦπα ἰδέςθαι (ἴδηςθε Hom.): εἰς ὄψιν ἐλθεῖν. (Z ϊδειςθε$^{\lambda}$) $YQG^{i}$ = Ι 373𝔇

O 150/$Q^{s}$ τὼ δ' ἀΐξαντε πετέςθην: ὑπερβολικῶς εἴρηται ἢ ςυλληπτικῶς. οὐ γὰρ 'Απόλλων πτερωτός. $QU^{m}I^{m}G$ ~$T^{i}$, cf Υ 210/$Q^{s}$

O 151/$Z^{s}$ πολυπίδακα: πολύϋδρον. 'Γάργαρον' (152) δὲ τὸ ἀκρωτήριον τῆς Ἴδης. $ZI^{m}G^{i}$(YQ lemma 'γάργαρον' pro δὲ)

Σ 526/Z$^{s}$ οὔ τι προνόηϲαν: οὐ προεϲκόπηϲαν. ZYQXS

Σ 528/Z$^{s}$ τάμνοντ' ἀμφί: περιέταμνον, περιήιρουν, ἀπεχώριζον. ZYQXSG$^{i}$ | 'πώεα' δὲ ¦ τὰ ποίμνια (=G$^{i}$). Z(YQX lemma 'πώεα' pro δὲ

Σ 529/Z$^{s}$ μηλοβοτῆραϲ: βοϲκήτοραϲ, νομέαϲ. ZYQXS

Σ 531/Z$^{s}$ ἱράων προπάροιθεν: πρὸ τῶν ἀγορῶν, ὅ ἐϲτιν ἐκκληϲιῶν. ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖϲ καὶ λέγειν. ὅθεν καὶ Ἶριϲ. ZYQXSU$^{m}$G ~ Ak ὅτι ..., ApS 92,22

εἰράων (= S$^{\lambda}$) / ἱράων vv.ll. Hom. || 2 αὐτοῖϲ Z ||

Σ 532/Z$^{s}$ ἀερϲιπόδων: αἰρόντων εἰϲ ὕψοϲ τοὺϲ πόδαϲ ἐν τῆι πορείαι. ZYQXSU$^{i}$G$^{i}$

Σ 532/Z$^{s}$ μετεκίαθον: μετήρχοντο. 'ὁμίλεον' (535) δὲ ἀνεϲτρέφοντο. ZYQX

emma 'ὁμίλεον' pro δὲ Y(QX ὡμίλεον$^{\lambda}$) ||

Σ 536/Z$^{s}$ νεούτατον: νεωϲτὶ τετρωμένον. 'ἀνούτατον' δὲ τὸν ἄτρωτον. ZYQXSG$^{i}$

1 lemma 'ἀνούτατον' (~ Δ 540, ἄουτον Hom.) pro δὲ YQX ||

Σ 538/$Z^s$ δαφοίνεον: ἤτοι φοινικοῦ χρώματος πεποιημένον, ἢ αἵματι διάβροχον, πεφοινιγμένον. (Z διαβρόχου) YQG

Σ 539/$Z^s$ ὡμίλευν: ἀντιπαρετάσσοντο, συνανεστρέφοντο. ZYQ

ὡμίλεον $YQ^{\lambda}$ = 535/$QX^{\lambda}$ || ἀντεπαρετάσσοντο Y || ἀνεστρέφοντο $YT^r$ ||

Σ 540/$Z^s$ ἔρυον: εἷλκον. ZYQXS

Σ 541/$Z^s$ νειόν: τὴν λεγομένην νεατόν, ὅ ἐστι νεωστὶ ἠροτριασμένην, ἁπαλὴν καὶ διακεχυμένην (=X). ὡς γὰρ νέα φαίνεται ἡ τοιαύτη. $ZYQSAU^mI^m$~G

Σ 541/$Z^s$ πίειραν ἄρουραν: λιπαρόγειον χώραν. Z(YQX$G^i$ χωρίον) S

Σ 542/$Z^s$ τρίπολον: τρὶς ἐστραμμένην (=$A^{ti}$) καὶ ἠροτριασμένην. ZYQXS$G^i$ ~$T^r$

Σ 543/$Z^s$ δινεύοντες: στρέφοντες τὴν ἄνω κάτω. ZYQS$G^i$(X τὴν om)

Σ 543/$Z^s$ ἠλάστρεον (ἐλάστρεον Hom.): ἤλαυνον. ZYQXS$T^r$

Σ 544/$Z^s$ τέλσον: τέλος, ZYQXS$T^r$ | πέρας. ZQXS

Σ 546/$Z^s$ ἐπιών: ἐπερχόμενος. ZYQXS

Σ 546/$T^r$ ⸤στρέψασκον⸥ ἤτοι ἐστρέφοντο.

Σ 546/$Z^s$ ὄγμους: τὰς ἐπ' εὐθείας τοῦ ἔργου διεξόδους, τοὺς ¦ αὔλακας (=G$T^r$). ZS (Y τὰς αὔλακας) (Q (φησὶ τὰς αὔλακας)

Σ 548/$Z^s$ μελαίνετο: βαθεῖα ἐγίνετο (~$T^r$). 'ἀρηρομένη' δὲ ¦ ἠροτριασμένη (=$T^r$, ApS 44,5). Z$G^i$(S ἐγένετο) (YQX lemma 'ἀρηρομένηι' (Hom.) pro δὲ)

Σ 550/$Z^s$ τέμενος: χωρίον (= $T^r$, ~ B 696𝔇) εἰς τιμὴν ἀποτετμημένον τινί. (post 546) ZYQXS$G^i$ ~ Ak ὅτι ..., Z 194𝔇

Σ 550/$Z^s$ ἔριθοι: νῦν ἐργάται (= $U^iI^m$), ¦ γεωργοί (=$T^r$), παρὰ τὴν ἔραν (~T), ἥ ἐστιν γῆ, ἢ παρὰ τὸ ἐρίζειν ἐν τῶι ἔργωι. ZYQXSA

1 νῦν ἐργάται ZSA : συνεργάται YQ || 1-2 ἥ ἐστιν (ἡ) γῆ Z(Y)S : τὴν γῆν A, ἤγουν (τὴν) γῆν Q(X) ||

↑ Σ 550/$Q^s$ ἔριθοι: κυρίως μὲν ἐριουργοί, ¦ καταχρηστικῶς δὲ καὶ οἱ μισθοῦ ἐργαζόμενοι (= $U^mI^m$, ~T). QSAG ~ Orio 66,15.

1 μὲν Q : οἱ A, οἷον S ||

Σ 551/$Z^s$ ἤμων: ἐθέριζον. (Z ἐρεθιζον)YQXS

Σ 551/$T^r$ ⸤ὀξείας⸥ ἠκονημένας (≃ γ 443/$M^i$).

Σ 552/$Z^s$ δράγματα: τὰ τῶν χειρῶν πληρώματα. ZYQXS

Σ 552/$Z^s$ ἐπήτριμα: ἐπάλληλα, ¦ πυκνά (=$A^{ti}$). ZYQX

Σ 552/$Z^s$ ἔραζε: ἐπὶ τῆς γῆς. ZYQXS$G^i$

Σ 553/$Z^s$ ἀμαλλοδετῆρες: οἱ τὰ δράγματα δεσμεύοντες, ὅ ἐστι τοὺς αὐλοὺς τῶν ἀσταχύων. ZYQS$U^i$. $T^r$ οἱ δραγματοδέται.

1 συνδεσμοῦντες QX || τουτεστι S || αὐλοὺς (cf sch. Theocr. 10,46-7d) : ὅλους Z, σόλους S ||

Σ 553/$Z^s$ ἐλλεδανοῖς: τοῖς δεσμοῖς. ZQXS$A^{ti}$ ~ ApS 66,31

Σ 553/$Z^s$ δέον (δέοντο Hom.): ἐδέσμουν. ZYQXS

Σ 555/$Z^s$ δραγμεύοντες: δράγματα ¦ ἐπὶ τὸ δεσμεῖν (~ $U^i$) συνάγοντες. ZYQXS~$G^i$

Σ 555/$Z^s$ ἀγκαλίδεσσιν: ἀγκάλαις. ZYQX

Σ 556/$Z^s$ ἀσπερχές: ἀδιαλείπτως. ZYQX

Σ 556/$Y^s$ βασιλεύς: νῦν ὁ τοῦ χωρίου δεσπότης. YQS$G^i$ cf α 72𝔇 "τοὺς ὑπάρχους βασιλεῖς ἔλεγον".

Σ 557/$Z^s$ γηθόσυνος κῆρ: χαίρων τῆι ψυχῆι. ZYQXS$G^i$

Σ 558/$Z^s$ πένοντο: ἐνήργουν. (Z γένοντο$^{\lambda}$) YQX

Σ 559/$Z^s$ ἄμφεπον: περὶ αὐτὸν ἕποντο, ἠσχολοῦντο. ZYQX~$G^i$

ἀμφέπενον $QX^{\lambda}$ || εἶπον ἠκολούθουν X ||

Σ 560/$Z^s$ πάλυνον: ἐνέμισγον, ἔμασσον. ZQX(YS ἀνέμισγον)

Σ 561/$Z^s$ βρίθουσαν: βαρουμένην τῶι καρπῶι. ZYQXS$G^i$

Σ 561/$T^r$ ⸤ἀλωήν⸥ ἄμπελον (η 122𝔇 "ἀμπελόφυτος γῆ")

Σ 563/Z$^{s}$ ἑςτήκει δὲ κάμαξι: πᾶcα δὲ ἐκεχαράκωτο ἡ ἄμπελος. 'κάμαξι' οὖν ςτύλοις, οἵ εἰςιν ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις. ZYQXSU$^{i}$G. T$^{r}$ χαρακώμαςι βασταζομέναις.

ἑςτήκει Z$^{\lambda}$ / εἱςτήκει YQX(S)$^{\lambda}$ = vv.ll. Hom. ||

Σ 564/T$^{r}$ ⌞ἀμφὶ δὲ⌟ → ἔθηκε.

Σ 564/Z$^{s}$ κάπετον: κοῖλον ὄρυγμα, τάφρον. ZYQXS

Σ 564/Z$^{s}$ ἕρκος: τειχίον. 'ἔλαςςεν' δὲ ἐποίηςεν εἰς μῆκος. ZYQXSG$^{i}$+G

1 lemma 'ἔλαςςεν' pro δὲ YQX ||

Σ 565/Z$^{s}$ ἀταρπιτός: ἀταρπός, ὁδός. ZYQXS

Σ 566/Y$^{s}$ νείςοντο: ἐπορεύοντο. YQXS$^{r}$

νίςοντο / νείςοντο / νείςςοντο vv.ll. Hom. ||

Σ 566/Z$^{s}$ φορῆες: οἱ τὸν καρπὸν τῶν σταφυλῶν παραφέροντες. ZYQXSG. A$^{td}$ οἱ φέροντες τοὺς βότρυας

Σ 567/Z$^{s}$ παρθενικαί τε καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες: τρυφερά, νήπια, πρᾶια. κατ' ἐπικράτηςιν δὲ τοῦ ἄρρενος εἴρηκεν 'φρονέοντες' καὶ οὐ φρονέουςαι. ZYQXSAG

τε YQXS$^{\lambda}$ : δὲ Hom., om Z$^{\lambda}$ || 2 φρονέοντες εἰπὼν SA(Z ἵππων) || φρονέουςαι : φρονοῦςιν Z ||

↑ Σ 567/Z$^{s}$ ἀταλόν (ἀταλά Hom.): ἄπαλον, ZYS | τρυφερόν. (post 572) ZYQXS

Σ 567/Z$^{s}$ ἠΐθεοι: ἄγαμοι, ἀκμάζοντες, νέοι. ZYQXG$^{i}$(S νέοι om)

Σ 568/T$^{r}$ ⌞ταλάροιςι⌟ καλαθίςκοις (≃ δ 125𝔇).

Σ 570/Z$^{s}$ ἱμερόεν: ἐπέραστον, καλόν. ZYQXS

Σ 570/Z$^{s}$ λίνον δ' ὑπὸ καλὸν ἄειδε: ἤτοι τὸ λῖνον ἦιδε, ὃ ἐξῆπτο ἀντὶ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οἱ πρῶτοι τοῖς θεοῖς μετὰ ὠιδῆς ὑποκιθαρίζοντες οὐκ ἐξ ἐντέρων κατεςκευάζοντο τὰς κιθάρας {εἰς τιμὴν τοῦτο Ἀργεῖοι καθ' ἕκαστον ἔτος}, οὐχ ὅσιον οὐδὲ θεοῖς ἀρεςτὸν εἶναι ὑπολαμβάνοντες διὰ τὸ ἐκ νεύρων πεποιῆςθαι, ἀλλὰ ἐκ λίνου πεποιημένου. ἢ 'λῖνον δ' ὑπὸ καλὸν ἄειδε' ἀντὶ τοῦ τὴν ἐπὶ Λίνωι τῶι Ἀπόλλωνος παιδὶ ὠιδὴν ὄντι νηπίωι καὶ ὑπὸ κυνῶν ποιμενικῶν διαςπαςθέντι πρώτην ἀιςθεῖςαν. ZYQXSAU$^{m}$I$^{m}$ cf Call. Aitia fr. 27-30. T$^{r}$ ἢ τὴν χόρδαν.

1 τὸν λίνον YS, λῖνον QX || ἦδε ZA : ἡδε S, ἣ Y, ὁ δὲ QX, om U || 3 κατεςκεύαζον YQXU || εἰς ... ἔτος om YQSA || 6 διαςπαραχθέντι S ||

Σ 571/Z$^{s}$ λεπταλέη (λεπταλέηι Hom.): λεπτή, ἡδεῖα. ZYQXS

λεπταλέει δε S$^{\lambda}$ || 1 λεπτῆι ἡδείαι YQX, λεπτὴ ἢ θεῖα S ||

Σ 571/Z$^{s}$ ῥήςςοντες: ἀντὶ τοῦ ¦ κροτοῦντες (=T$^{r}$) ςὺν ἁρμονίαι καὶ τύπωι τοῖς ποςὶν τὸ ἔδαφος. ZYQXSG

Σ 571/Z$^{s}$ ὁμαρτῆι: ὁμοῦ, κατὰ τὸ αὐτό. ZYQXS

ὁμαρτή S, accentus Aristarchi E 656/Hd ||

Σ 572/Z$^{s}$ ⌞μολπῆι τ'⌟ ἰϋγμῶι τε: προςληπτέον τὸ ‹ςύν·› ςὺν ὠιδῆι καὶ ἰωχμῶι, ὅ ἐςτιν διώξει. ZYQSG$^{i}$. A$^{ti}$T$^{r}$ ςυριγμῶι.

ἰωγμῶι ZYS$^{\lambda}$ || 1 ςύν suppl. N.Ernst coll. B 149𝔇 || ἰωχμῶι N.Ernst coll. Θ 89𝔇 "ὅ ἐςτιν τὴν δίωξιν" : ἰωγμῶι ZYS, om QG$^{i}$ ||

Σ 572/Z$^{s}$ ςκαίροντες: ςκιρτῶντες, ἢ πυκνῶς κινούμενοι. ZYQXS~G$^{i}$

‹κινούμενοι› ςκιρτῶντες YQXS ||

Σ 575/Z$^{s}$ μυκηθμῶι: μυκήςει. 'κόπρου' δὲ τῆς ἐπαύλεως, τοῦ βουςτάθμου. ZYQXS

lemma 'κόπρου' pro δὲ YQX ||

Σ 576/Z$^{s}$+Q$^{s}$ ῥοδανόν: εὐδιάςειςτον, εὐκίνητον, διὰ τοὺς ἐν αὐτῶι πεφυκότας καλάμους. ZYQSU$^{m}$I$^{m}$G$^{i}$ | 'δονακῆα' δὲ δόνακας ἔχοντα ἤγουν καλάμους. QXG

ῥοδανὸν ⌜δονακῆα Y$^{\lambda}$⌝ ||

↑ Σ 576/Z$^{s}$ δονακῆα: καλαμώδη. ZS. A$^{ti}$ καλαμῶνα.

Σ 578/Z$^{s}$ πόδαργοι (πόδας ἀργοί Hom.): ταχεῖς. (Z ποδαργοί$^{\lambda}$) YQS

Σ 580/$Z^s$ ἐρύγμηλον: μέγα μυκώμενον, ἢ ἀνερευγόμενον τὴν τροφήν (=G). ¦ ὁ δὲ Ῥοδανὸς ποταμὸς πλησίον τοῦ Ὠκεανοῦ (= $U^m I^m$G post 576𝔇). ZYS(Q ἐρευγόμενον)

Σ 583/$Z^s$ λαφύσσετον: ἀθρόως ἤσθιον. ZYQX(S λαφύσσοντο $^λ$)

Σ 584/$Z^s$ ἐνδίεσαν: ἐνεκελεύοντο, παρορμῶντες ἐπέβαλλον. ZYQS(X ἐνέβαλλον)

Σ 585/$Z^s$ ἀπετροπῶντο (ἀπετρωπῶντο Hom. = $Y^λ$): ἀπετρέποντο. ZYQX(S ἀπετρωπωντα$^λ$)

Σ 586/$Z^s$ ἔκ τ' ἀλέοντο: καὶ ἐξέκλινον. ZYS$G^i$(QX ἐξέκλιναν)

Σ 587/$T^r$ ⌊νομὸν⌋ νομήν (= Z 511𝔇).

Σ 588/$T^r$ ⌊οἰῶν⌋ προβάτων (= Γ 198𝔇).

Σ 588/$Z^s$ ἀργεννάων: λαμπρῶν. ZYQXS. $T^r$ λευκῶν = Γ 198𝔇)

Σ 589/$Z^s$ κλισίας: νῦν τὰς τῶν ποιμνίων καὶ ποιμένων καταγωγάς. ZYQX~G cf A 306𝔇 "σκηνάς". $T^i$ τὰς τῶν ποιμένων οἰκίας = $A^s$.

Σ 589/$Z^s$ κατηρεφέας: ἐσκεπασμένας, καταστέγους. ZYQXS

ἐσκεπασμένους Y || κατὰ στέγης QX ||

Σ 589/$Z^s$ σηκούς: περιβόλους, ἐν οἷς βοσκήματα ἵσταται. Z(YQXS ἵστανται) ($T^i$=$A^s$ ἔνθα κοιμῶνται τὰ θρέμματα)

Σ 590/$Z^s$ ἐν δὲ χορὸν ¦ ποίησε (= Σ 587 : ποίκιλλε Hom. = $A^λ$) καὶ τὰ ἑξῆς: ἐγκατεσκεύασεν δὲ ἐπιμελῶς ὁ Ἥφαιστος καὶ χορὸν ὁμοίαν τάξιν ἔχοντα χορευόντων τῶι ὑπὸ Δαιδάλου μηχανικοῦ κατασκευασθέντι Ἀριάδνηι ἐν Κνωσσῶι πόλει τῆς Κρήτης (=G). ἱστόρηται γὰρ ὅτι Θησέα παραγενόμενον ἐξ Ἀφιδνῶν εἰς τὰς Ἀθήνας νεωστὶ καταλαβόντα τε τὸν δασμὸν ἀποπεμπόμενον Μίνωι εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἠϊθέους καὶ παρθένους – ἐτέλουν δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον ἐπὶ τῶι δεδολοφονηκέναι Ἀνδρόγεων τὸν παῖδα Μίνωος ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ Παναθήναια – ἑκόντα οὖν φασὶν αὐτὸν συγκαταλέξαι τοῖς ἀπιοῦσιν καὶ ⟨παρα⟩γενόμενον εἰς Κρήτην ἡδέως ὀφθῆναι φασὶν ὑπὸ Ἀριάδνης τῆς τοῦ Μίνωος θυγατρός, καὶ διὰ τοῦτο τέχνηι Δαιδάλου σωθῆναι τρόπωι τοιῶιδε (= $U^m I^m$). μίτου ἀγαθίδα ἔδωκε Δαίδαλος τῆι Ἀριάδνηι εἰπὼν δοῦναι τῶι Θησεῖ, ὅπως τὴν ἀρχὴν ἐξάψας τῆς εἰσόδου τῆς ἀγαθίδος, οὕτως ἀνελὼν αὐτὴν εἰσέλθοι εἰς τὸν λαβύρινθον, καὶ περιγενόμενος τοῦ θηρίου πάλιν ἔχοι ῥαδίαν καὶ εὐεύρετον αὐτῶι τὴν ἔξοδον τοῦ λαβυρίνθου, ποικίλως ἐπιπεπλεγμένας ἔχοντος τὰς εἰσόδους. ἐξελθὼν δὲ μετὰ τὸ νικῆσαι ὁ Θησεὺς μετὰ τῶν ἠϊθέων καὶ παρθένων χορὸν τοιοῦτον ἔπλεκεν ἐν κύκλωι τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος αὐτῶι ἐγεγόνει. τῆς δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ὑποδείξας ἐποίησεν. ZYQXA(G)

1 ἐν : ἐκ $Z^λ$ || ποίησε ZYQ$X^λ$ || 3 ⟨τοῦ⟩ μηχανικοῦ YQXAU || 5 τε Z : δὲ QXAU, om Y || 5-6 ἀποπεμπόμενον ... δασμὸν om A ηοοεοτελευτο || 9 γενόμενον QXA corr. L : γενόμενος ZYU || 10-1 μίτου ἀγαθίδος QX || 13 εὑρετὸν QXA || αὐτῶι om QX ||

Σ 590/$Z^s$ ποίκιλλε: ποικίληι τορνεύσει ἐποίει. ZYQ$G^i$(X ἐποίησεν)

Σ 593/$Z^s$ ἀλφεσίβοιαι: ἔντιμοι, καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἕδνα. θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ γάμων δῶρα. ὠνόμασται δὲ ἀπὸ μέρους, ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες. ἀλφαίνειν γοῦν τὸ εὑρίσκειν, καὶ ἀλφὴ ἡ τιμὴ καὶ ἄλφα τὸ στοιχεῖον ὅτι εὑρέθη πρὸ τῶν ἄλλων. ZYQXAG ~ $U^m I^m$, Pfeiffer ad Call. fr. 67,10

2 ἐδίδοντο YX || 3 ἄλφειν γὰρ A ||

Σ 594/$Z^s$ ἐπὶ καρπῶι χεῖρας ἔχοντες: ὀρθῶς καὶ τοῦτο κατ' ἐπικράτησιν τοῦ ἀρρενικοῦ πέφρακεν (cf 567𝔇). ZYQX$G^i$. $A^{td}$ κατ' ἐπικράτειαν τοῦ ἀρσενικοῦ.

Σ 595/$Z^s$ ὀθόνας: διαφανεῖς ἐσθῆτας καὶ λαμπράς. ZYQX~$G^i$

Σ 596/$Z^s$ εἵαται: ἠμφιεσμέναι ἦσαν, ZYQX | ἐνεδεδύκεσαν. Z. $T^r$ ἐνεδέδυντο.

Σ 596/$Z^s$ εὐνήτους: εὖ νενησμένους (=$T^r$) καὶ εἰργασμένους, λεπτούς. ZYQXG

εὐννήτους / εὐνήτους vv.ll. Hom. ||

Σ 596/$Z^s$ ἧκα cτίλβοντας ἐλαίωι: ἠρέμα πωc cτίλβονταc ¦ ὡc ἔλαιον (~$T^r$). ZYQX
πῶc ZYQ, om X ||

Σ 597/$Z^s$ cτεφάναc: κόcμουc γυναικείουc χρυcοῦc περὶ κεφαλὴν κειμένουc. (Z cτεφάνοιc$^λ$) YQXG$^i$. $A^{ti}$ κόcμον γυναίκων.

Σ 598/$Z^s$ τελαμώνων: ἀναφορέων. ZYQX

Σ 599/$Z^s$ θρέξαcκον: ἐν κύκλωι ἔτρεχον. ZYQXG$^i$T$^r$

Σ 599/$Z^s$ ἐπιcταμένοιcιν: ἐπιcτήμοcιν (=$A^{ti}$T), ἐμπείροιc. ZYQX

Σ 600/$Z^s$ ὡc δ' ὅτε τιc .. κεραμεύc: διὰ τῆc τοῦ τροχοῦ παραβολῆc ἐγκύκλιον αὐτῶν τὴν πορείαν ὑφιcτᾶι (= $U^m$). 'ἄρμενον' (600) δὲ εὖ ¦ ἡρμοcμένον (=$T^r$) πάντοθεν. ZYQXAG+G$^i$

1 τροχοῦ ZYAU : χοροῦ QXG || ἔγκυκλον L || αὐτῷ Z || 2 χορείαν Y || duo scholia YQX ||

Σ 601/$Z^s$ πειρήcεται: ἀποπειρώμενοc ἀνακινήcει. ZQ. $A^{ts}$ κυλῖcαι ἀποπειρήcηται.
κυλῖcαι Dindorf : κυλίcηι $A^t$ ||

↑ Σ 601/$Y^s$ πειρήcεται: ἀπόπειραν ποιήcει. Y. $T^r$ πεῖραν ποιούμενοc κινήcει.

↑ Σ 601/$Q^s$ πειρήcεται: ἀποπεπειραμένωc. QXG$^i$

Σ 602/$T^r$ ⌊θρέξαcκον⌋ ἐν κύκλωι ἔτρεχον.

Σ 602/$Z^s$ ἐπὶ cτίχαc: ἐπ' ὀρθὴν τάξιν. (Z cτίχα) YQXG$^i$. $A^{ti}$ ἐπ' εὐθείαc.

Σ 605/$Z^s$ κυβιcτητῆρεc: ὀρχηcταί. ZYQX. $A^{ti}$T οἱ μετὰ κυβιcτήcεωc ὀρχούμενοι.

Σ 608/$Z^s$ ἄντυγα πὰρ πυμάτην: παρὰ τὸ ἔcχατον μέροc τῆc ἀcπίδοc, πέριξ. 'πύκα' δὲ 'ποιητοῖο' ἐπιμελῶc καὶ cυνετῶc κατεcκευαcμένου. ZYQXG$^i$

1 πέριξ om X || 1-2 lemma 'πύκα ποιητοῖο' pro δὲ YQX || καὶ cυνετῶc om X ||

Σ 613/$Z^s$ ἑανούc (ἑανοῦ Hom.): λεπτούc, εὐχύτουc, ἁπαλούc. ZYQX

1 λεπτούc ZY : λαμπροὺc QX (≃ $T^s$, Π $9^T$) || διαχύτουc Z ||

Σ 616/$Z^s$ ἴρηξ: ἱέραξ. ZYQ

ΑΡΧΗ ΤΗϹ Τ.

T 0/$Z^s$ Θέτιδος κομιϲάϲηϲ Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίϲτου, ϲυναγαγὼν εἰϲ ἐκκληϲίαν τοὺϲ Ἕλληναϲ ὁ ἥρωϲ ἀπόρρηϲιν ποιεῖται τῆϲ μήνιδοϲ, καὶ λαμβάνει τὰ δῶρα ἅπερ αὐτῶι Ἀγαμέμνων δώϲειν ὑπέϲχετο. τροφὴν δὲ ἀνελομένων ἐκείνων αὐτὸϲ ἄϲιτοϲ διαμείναϲ ὁπλίζεται, καὶ ϲτρατείαν ἐξάγει ἐπὶ τὸν πόλεμον. ὁ δὲ ἕτεροϲ τῶν ἵππων αὐτοῦ Ξάνθοϲ τὴν ἐϲομένην αὐτῶι ἀναίρεϲιν μαντεύεται, ὧι καὶ ἐπιπλήττει. ZYQXUI

2 καταλαμβάνει Y || 3 ἐκείνων om YQX || 4 παραμείναϲ ZU || ϲτρατιὰν U || 5 ἕτεροϲ Z : ὕϲτεροϲ YQXU || καταμαντεύεται QX || ὧι om Z || ὧι καὶ ἐπιπλήττει om U || 6 ἐπιπλήϲϲει Y ||

T 0/$Z^s$ Θέτιϲ λαβοῦϲα παρὰ Ἡφαίϲτου τὴν παντευχίαν κομίϲαϲα ἐπὶ ναῦϲ παρατίθηϲιν τῶι Ἀχιλλεῖ. Ἑλλήνων δὲ θαυμαζόντων ἐπὶ τῆι δημιουργίαι Ἀχιλλεὺϲ θαρραλεώτεροϲ γίνεται καὶ εἰϲ ἐκκληϲίαν ἀθροίζει πάνταϲ Μυρμιδόναϲ. παραγίνονται δὲ καὶ οἱ τῶν Ἑλλήνων ἄριϲτοι, ἐν οἷϲ καὶ Ἀγαμέμνων ὁ βαϲιλεὺϲ ἔτι ἀϲθενῶϲ ἔχων ἐκ τῆϲ γενομένηϲ αὐτῶι κατὰ πόλεμον τρώϲεωϲ, προϲέτι δὲ Ὀδυϲϲεὺϲ καὶ Διομήδηϲ ἐπιχωλεύοντεϲ διὰ τὸ καὶ αὐτοὺϲ τετρῶϲθαι. ἀθροιϲθέντων δὲ πάντων ὁ μὲν ἀποθέμενοϲ τὴν ὀργὴν ὑπιϲχνεῖται βοηθήϲειν Ἕλληϲιν Ἀχιλλεύϲ, ὁ δὲ τὰ δῶρα αὐτῶι ἅμα τε καὶ τὴν Βριϲηΐδα ἀποδίδωϲιν Ἀγαμέμνων ἐπομοϲάμενοϲ μὴ κεκοινωνηκέναι αὐτῆι κατὰ λέχοϲ. λυθείϲηϲ δὲ τῆϲ ἐκκληϲίαϲ κομίζουϲι τὰ δῶρα Ἀχιλλεῖ ἑπομένηϲ Βριϲηΐδοϲ. ἥτιϲ θεαϲαμένη τὸν Πατρόκλου νεκρὸν θρηνεῖ, ἐπαλλήλωϲ οἶκτον ἐμποιοῦϲα καὶ ταῖϲ παρατυγχανούϲαιϲ. καὶ οἱ μὲν Ἕλληνεϲ ἀριϲτοποιοῦνται δέονταί τε Ἀχιλλέωϲ τροφὴν λαβεῖν καὶ οὕτωϲ χωρῆϲαι εἰϲ τὸν πόλεμον. ὁ δὲ ἔφηϲεν οὐ πρότερον λήψεϲθαι πρὶν ἀνελεῖν τὸν Πατρόκλου φονέα. καὶ ταῦτα εἰπὼν ἐπιβαίνει τοῦ ἅρματοϲ. προμαντεύεται δὲ αὐτῶι ὁ εἷϲ τῶν ἵππων αὐτοῦ Ξάνθοϲ τὸν ἐξ Ἀπόλλωνοϲ φόνον. καὶ ὁ μὲν καταφρονήϲαϲ τοῦ θανάτου ἐπιβαίνει τοῦ ἅρματοϲ. ZYQXUI

1 ⟨καὶ⟩ κομίϲαϲα YQX || ⟨τὰϲ⟩ ναῦϲ YQXU || 4-5 ἔτι ἀϲθενῶϲ : ἀιτιάϲθενοϲ Z || 5 ⟨τὸν⟩ πόλεμον YQXUI || 7 ὁ μὲν UI (ἀχιλεὺϲ add. $U^i$) : ὁμοῦ ZYQX || 9 μὴ ... λυθείϲηϲ om YQX || .. τῆϲ ἐκκληϲίαϲ ZYU : (ἐκ) τῆϲ ϲκηνῆϲ (Q)X || 11 παρατυχούϲαιϲ Y ||

T 4/$Z^s$ περικείμενον: περιπεπλεγμένον. ZYQXT

T 5/$Z^s$ λιγέωϲ: περιπαθῶϲ ἢ ὀξέωϲ. ZY(QX. $A^{ti}$ ἐμπαθῶϲ, $G^i$ ὀδυνηρῶϲ pro ἤ.

T 6/$Z^s$ μύροντο: ἐθρήνουν. ZYQXAT

T 6/$U^m$ ⌞μύρονθ'⌟ ἔκλαιον ἢ ἐχέοντο, ὅθεν καὶ μῦρον τὸ πρῶτον ἐκχυθὲν δάκρυον ἀπὸ Μύρρηϲ τῆϲ μιγείϲηϲ τῶι πατρί. $U^mI^m$ = $T^sA^s$

T 9/$T^r$ ⌞πρῶτα⌟ τὴν ἀρχήν (= A 6𝔇).

T 9/$Z^s$ ἰότητι: βουλήϲει. ZYQX = ApS 92,1

T 10/$Y^s$ τύνη: ϲὺ ¦ Δωρικῶϲ (=$G^i$). YQX ~ $A^{ts}$ ὅτι ...

T 13/$Z^s$ ἀνέβραχε: ποιὸν ἦχον ἀπετέλεϲεν. ZYQX$G^i$~T

↑ T 13/$U^m$ ⌞ἀνέβραχε⌟ ἅπαντα δὲ τὰ ἐν αὐτοῖϲ δεδημιουργημένα ἤχηϲεν.

T 15/$Z^s$ ἔτρεϲαν: ἐφοβήθηϲαν. (Z ἀνετρεϲαν$^{\lambda}$) YQX

T 19/$Z^s$ τετάρπετο: ἐτέρφθη. ZYQX

T 19/$Z^s$ δαίδαλα: ποικίλα καταϲκευάϲματα.

T 21/$Z^s$ οἷ' ἐπιεικέϲ: ὁποῖα εἰκὸϲ θεοῦ ἔργα εἶναι (=X), τουτέϲτιν οἷα ἔπρεπεν θεὸν παρέχειν (=G). 'ἐπιεικὲϲ' γὰρ τὸ ¦ πρέπον (=$T^rG^i$). (Z παραϲχεῖν) YQ$I^m$

T 25/$Z^s$ καδδῦϲαι: κατελθοῦϲαι. Z(YQX καταδῦϲαι)

T 25/$Z^s$ χαλκοτύπουϲ: ὑπὸ ϲιδήρου τρωθείϲαϲ. ZY(QX$G^i$ τρωθένταϲ)

T 26/$Z^s$ εὐλὰϲ ἐγγίνωνται: ϲκώληκαϲ ἐγγεννήϲωϲιν (~Ak, ApS 62,1). ἴϲωϲ δὲ ¦ εἴρηνται εὐλαὶ παρὰ τὴν εἴληϲιν οἱ ϲκώληκεϲ (~$I^m$). ZYQG ~$T^s$

ἐγγείνωνται QX$^{\lambda}$ || 2 οἱ ϲκώληκεϲ om Y ||

T 26/$Z^s$ ἀεικίϲϲωϲιν: ἀφανίϲωϲιν (=$T^r$), αἰκίϲωνται. ZYQX

ἀϊκίϲωϲιν Z$^{\lambda}$, ἀϊκίϲϲωϲιν Y$^{\lambda}$ || ἀφανίϲωνται αἰκίϲωϲιν QX ||

T 27/Z$^{s}$ ἐκ δ' αἰὼν πέφαται: ἤτοι ἀνήιρηται ὁ βίος, ὅ ἐστι ζωῆς ἐστέρηται, ἢ ὡς οἱ γλωσσογράφοι αἰὼν ἔφθαρται, ὅ ἐστιν ὁ νωτιαῖος ¦ μυελός (=A$^{ti}$). fr. 2 Dyck, HSCP 91 p. 132. (Z ἐκδεων$^{\lambda}$, ὅ ἐστιν om) YQXI$^{m}$G

T 27/Z$^{s}$+Q$^{s}$ πέφαται: τέτρωται, ZQX | ἀνήιρηται, ἠφάνισται. QX

↑ T 27/Y$^{s}$ πέφαται: ἀνήιρηται, ἔφθαρται.

T 29/Z$^{s}$ μελόντων: ἀντὶ τοῦ μελέτωσαν. Z(YQX μελλόντων$^{\lambda}$)

T 30/Z$^{s}$ πειρήσω: πειραθῶ. ZYQX

T 30/Z$^{s}$ ἀπαλαλκεῖν: ἀπαλεξῆσαι, βοηθῆσαι. ZYQX

T 30/Z$^{s}$ φῦλα: ἔθνη, γένη. ZYQX

T 31/Z$^{s}$ ἀρηϊφάτους: ἐν πολέμωι πεφονευμένους, ἢ σιδήρωι. καὶ γὰρ ὁ σίδηρος "Ἄρης" ⸢λέγεται Y⸣. ZY(QXG πολέμοις)

T 32/Z$^{s}$ κῆται: κέηται, ἀντὶ τοῦ κεῖται. ZYQ

κῆται om YQX$^{\lambda}$ || .. κέηται Y pro lemmate, κέεται QX pro lemmate ||

T 32/Z$^{s}$ τελεσφόρον: τὸν πάντα τελειοῦντα, ὅ ἐστι τελείους καρποὺς φέροντα. ZYQXG

T 35/Z$^{s}$ ἀποειπών: ἀπαγορεύσας, παυσάμενος. ZY(QX ἀπειπών$^{\lambda}$ ≃ T 75)

T**/Z$^{s}$ ἐς δ' ἀγορὴν ἀγέροντο: ... (= Σ 245, q.v.) ZYQX, conferebatur T 45.

T 37/Z$^{s}$ ἐνέηκεν (= K 89, ἐνῆκεν Hom.): ἐνέβαλεν. ZYQX

T 38/Z$^{s}$ ἀμβροσίαν (ἀμβροσίην Hom. = Y$^{\lambda}$): θειότητα. ZYQX

T 39/Z$^{s}$ χρὼς ἔμπεδος: τὸ σῶμα ἄφθορον. ZYQX, G$^{i}$ ad33

T 40/Z$^{s}$ ἐζήτηται δὲ δι' ἣν αἰτίαν οὐ χρῆται κήρυκι Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. ῥητέον οὖν ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτῶι τοῦτο· οὕτως γοῦν καὶ ἐν τῆι Ἄλφα ῥαψωιδίαι αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ. ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν, οὐδὲ τοὺς κήρυκας ἀναμείναντες. ZYQXUI$^{m}$G

quaestionem sine lemmate coniunctam cum 83 transp. L || 1 διὰ ποίαν XU || οὐ δεῖται X || κηρυκῶν Z, κήρυκος QX || 2 αὐτῶι YQXU : αὐτὸ Z ||

T 43/Z$^{s}$ οἰήϊα: οἴηκας, ¦ πηδάλια (=T$^{r}$). Z(Y οἴηκτας) (QX οἴακας) ~ApS 119,1

T 44/Z$^{s}$ ταμίαι: οἱ φύλακες τῶν πρὸς τροφήν, οἱ κελλάριοι. (Z αἱ ... αἱ κελλαραῖαι) YQXG

T 45/T$^{r}$ ⸤οἳ⸥ οὗτοι.

T 47/Z$^{s}$ τὼ δὲ δύω σκάζοντε: συλληπτικῶς πέφρακεν. μόνος γὰρ ὁ Διομήδης ὤφειλε σκάζειν κατὰ τοῦ ταρσοῦ τετρωμένος· ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευράν, εἰ μή τι κατὰ συμπάθειαν τῶν μερῶν δόξαιμεν αὐτὸν τοῦτο πεπονθέναι. ZYQUI$^{m}$G cf T 49/Ak ὅτι ...

δύο ZY$^{\lambda}$ || 2 τι om YQ || 3 μηρῶν U || αὐτὸ Z ||

T 49/Z$^{s}$ ἐρειδομένω: ἐπερειδόμενοι, σκηριπτόμενοι. (Z ἐριδόμενοι$^{\lambda}$) YQ

T 50/Z$^{s}$ πρώτηι ἀγορῆι: τῆι προεδρίαι (=T$^{r}$G$^{i}$). τὸ δὲ 'ἄρειον' (56) ἐν ἤθει καθ' ὑπερώτησιν ἀναγνωστέον. θέλει γὰρ εἰπεῖν, ὅτι παρὰ ἀμφοτέροις ὁμονοεῖν ὑπάρχει. ZYI$^{m}$(QX κατ' ἐπερώτησιν) (U καθ' ὑπέρβασιν)

T 51/Z$^{s}$ δεύτατος: ὕστατος, ZY | ἔσχατος (= Ak ὅτι ...). ZYQX

T 56/Z$^{s}$ ἄρειον: βέλτιον. ZYQX

T 58/Z$^{s}$ θυμοβόρωι: θυμοφθόρωι. ZY

T 58/Z$^{s}$ μενεήναμεν: δι' ὀργῆς ἐγενόμεθα. (Z μενεαίναμεν$^{\lambda}$) YQXG$^{i}$

T 60/Z$^{s}$ Λυρνησσός: πόλις τῆς Ὑποπλακίου Θήβης τῆς Κιλικίας. (inter 77 et 80) ZYQI$^{m}$G$^{i}$

T 61/Z$^{s}$ τῶι κ' οὐ τόσσοι: οὕτως ἂν οὐ τοσοῦτοι. 'ὀδὰξ' δ' 'ἕλον οὖδας'· ¦ "ἔδακον τὴν γῆν ἀναιρεθέντες" (= U$^{m}$). ZG(YQX duo scholia). T$^{r}$ ⸤τώ κ'⸥ καὶ οὕτως.

T 65/Z$^{s}$ προτετύχθαι: προγεγονέναι. ZY(Q προγεγονότα) X

T 68/Z$^{s}$ ἀσκελέως: ἄγαν σκληρῶς (= T$^{i}$), ἀμετατρέπτως. ZYG(QX ἀμεταστρεπτί). T$^{r}$ ἀμεταβάτως.

T 71/$Z^{s}$ ἰαύειν: κατευνάζεϲθαι. (inter 77 et 80) ZYQX (~ Ak ὅτι οὐκ ...)

T 72/$A^{ti}$ ⌊γόνυ κάμψειν⌋ διαπαύϲεϲθαι. ≃ H 118𝔇

T 77/$Z^{s}$ ἐξ ἕδρηϲ: ἐκ τῆϲ καθέδραϲ. $ZYQXG^{i}$

T 77/$U^{m}$ ⌊αὐτόθεν⌋ ἤτοι καθήμενοϲ ἢ ἀναϲτὰϲ μέν, οὐκ εἰϲ τὸ μέϲον δὲ παραγενόμενοϲ ὅπου οἱ δημηγοροῦντεϲ ἵϲταντο, ἀλλ' ἀπὸ τοῦ τόπου ἐν ὧι ἐκαθέζετο. U cf $T^{s}$

T 79/$Z^{s}$ ἑϲταότοϲ μὲν καλὸν ἀκουέμεν οὐδὲ ἔοικεν ὑββάλλειν: εἰδὼϲ ὁ 'Αγαμέμνων ὅτι μέλλει θορυβεῖϲθαι ὡϲ αἴτιοϲ γεγονὼϲ φθορᾶϲ τῆι 'Ελληνικῆι ϲτρατιᾶι, ἡϲυχίαν ἑαυτῶι προκαταϲκευάζει λέγων δύϲκολον εἶναι ἐν πολλῶι θορύβωι διαλέγεϲθαι. ἔνιοι δὲ καθεζόμενον τὸν 'Αγαμέμνονα ὑπενόηϲαν δημηγορεῖν. (Z ἀκούειν$^{\lambda}$, l.2 ϲτρατεία) $YQXUI^{m}G$. cf ApS(156,26)-Archias.

T 80/$Z^{s}$ ὑββάλλειν: ὑποκρούειν καὶ ἐμποδίζειν τὸν λέγοντα. τινὲϲ δὲ κακῶϲ ἤκουϲαν τὸ "δι' ἑτέρου λέγειν". ZYQX cf Ak "ἑτέρωι ὑποβάλλειν τὸν λόγον, ὃν αὐτόϲ τιϲ εἰπεῖν βούλεται".

T 80/$Z^{s}$ ἐπιϲτάμενον: ἔμπειρον. ZYQX

T 82/$Z^{s}$ βλάβεται ⌜δὲ Q⌝: ἐμποδίζεται, βλάπτεται. ZY(QX βλάπτει)

T 83/$Z^{s}$ Πηλείδηι μὲν ἐγὼν ἐνδείξομαι: οἷον τὴν ἀπόταϲιν τῶν λόγων πρὸϲ 'Αχιλλέα ποιήϲομαι (=$T^{r}$) φανερῶϲ. ἢ ἀπολογήϲομαι. $ZYQU^{m}G$ | sequitur T 40𝔇

T 84/$Z^{s}$ ϲύνθεϲθ' 'Αργεῖοι: οἱ δὲ λοιποὶ οἱ ἀκούϲαντεϲ εἴπατε τοῖϲ μὴ ἀκούϲαϲιν. Z(YQX~G οἱ$^{2}$ om). $A^{ts}$ κρίνατε, δοκιμάϲατε. $T^{i}$ κατὰ νοῦν λάβετε ~ H 44𝔇).

T 87/$Z^{s}$ ἠεροφοῖτιϲ: ἡ διὰ τοῦ ϲκότουϲ φοιτῶϲα, ἡ ἀόρατοϲ . ἢ ἀπροοράτωϲ φοιτῶϲα καὶ ἐπερχομένη, ὡϲ τιμωρὸϲ τῶν ἀδικημάτων. ἔϲτι δὲ καταχθονία δαίμων ἡ 'Ερινύϲ. οἷον ἡ διερευνῶϲα τὰ ἐν ταῖϲ πράξεϲιν ἔργα. $ZYQXU^{m}I^{m}G$

1 ⟨ἢ⟩ ἀπροοράτωϲ Q || .. ⟨ἢ⟩ ἀπροϲφάτωϲ X ||

T 90/$Z^{s}$ θεὸϲ διὰ πάντα τελευτᾶι: θεὸϲ γὰρ ἐν πᾶϲι τοῖϲ πραϲϲομένοιϲ τέλοϲ ἐπάγει. Z(Y γὰρ om) (YQXG πραττομένοιϲ)

T 91/$Z^{s}$ πρέϲβα: ἔντιμοϲ. ZYQX

T 91/$Z^{s}$ ἀᾶται: βλάπτει. (Z ἄαται$^{\lambda}$) $YQXT^{r}$

T 92/$Z^{s}$ οὐ γὰρ ἐπ' οὔδει πίλναται: οὐ γὰρ προϲπελάζει τῆι γῆι. (Z πίδναται$^{\lambda}$ = He π 2252) YQX. $T^{r}$ ἐπιβαίνει, προϲπελάζει.

T 93/$Z^{s}$ κατ' ἀνδρῶν κράατα βαίνει: κατὰ τὰϲ τῶν ἀνθρώπων κεφαλὰϲ ἐπιβαίνει. ZYQX~G

T 94/$Z^{s}$+$Y^{s}$ κατά γ' οὖν ἕτερόν γε πέδηϲεν (δ' οὖν Hom.): ἕτερόν γ' οὖν ἀνθ' ἑτέρου κατέϲχεν ἡ ῎Ατη. Z (Y ἡ ἄτη om) ($YQXU^{m}G$ γ' οὖν$^{2}$ om) | νῦν δὲ ἔβλαψεν. (inter 77 et 80) $YQXU^{m}G$ cf Δ 517𝔇 "ἔδηϲεν, κατέϲχεν".

↑ T 94/$Z^{s}$ κατὰ γοῦν ἕτερόν γε πέδηϲεν (δ' οὖν Hom.): ἕνα γοῦν τινα ἔβλαψεν ὅτε μὴ πολλούϲ. Z(YQXG γ' ἐπέδηϲε)

T 95/$Z^{s}$ ἀάϲατο: περιέβαλεν ῎Ατηι, ἔβλαψεν. ZYQXG

περιέβλαψεν QX || ἄτῆι Z, αὕτη Y, ἄτη Q, om X ||

T 97/$Z^{s}$ θῆλυϲ: θήλεια. ZYQX

T 99/$Z^{s}$ ἐϋϲτεφάνωι ἐνὶ Θήβηι: κατατετειχιϲμένηι (=$G^{i}$) μεταφορικῶϲ, διὰ τὸ ὑπὸ 'Αμφίονοϲ καὶ Ζήθου αὐτὴν τετειχίϲθαι. (Z ἐνὶ om) ($YU^{m}$ καλῶϲ τετειχιϲμένηι) $QI^{m}G$

T 103/$Z^{s}$ μογοϲτόκοϲ: ἡ περὶ τὰϲ τικτούϲαϲ κοπιῶϲα, ἢ ἡ τοὺϲ μόγουϲ ἐπικουφίζουϲα τῶν τικτουϲῶν. ἡ δὲ 'Εἰλείθυια' ἔφοροϲ τῶν τικτουϲῶν δαίμων. ZYQG

2 ἡ δὲ ... τικτουϲῶν om YQG ||

T 104/$Z^{s}$ περικτιόνεϲϲι: περιοίκοιϲ. ZYQX

T 105/$Z^{s}$ αἵματοϲ: ἀντὶ τοῦ ϲπέρματοϲ, γένουϲ. ZYQ(XG ἀντὶ τοῦ om)

T 107/$Z^{s}$ ψευϲτήϲειϲ: ψεύϲηι. ZYQX

T 110/$Z^{s}$ πέϲηι μετὰ ποϲ⟨ϲ⟩ὶ γυναικόϲ: γεννηθῆι ἀπὸ τοῦ παρακολουθοῦντοϲ. $ZYQXG^{i}$ ~ Σ $395^{T}$ γεννηθέντα

T 113/$Z^{s}$ ἀάϲθη: ἠπατήθη. (Z ἀάθη) QX

T 113/$Z^s$ ⟨μέγαν ὅρκον: τὸ⟩ Cτυγὸc ὕδωρ. τὴν Cτύγα τῶν Οὐρανοῦ παίδων οὖcαν μίαν ἀδελφὴν τιμιωτάτην καὶ αὐτὴν μετὰ τὴν τῶν Οὐρανίων θεῶν μάχην τῶν λεγομένων Τιτάνων ⟨ὅρκον θεῶν⟩ εἶναι cυνέβη διὰ τήνδε αἰτίαν. οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτῆνες τοῖc ἀμφὶ τὸν Δία νεωτέροιc θεοῖc πόλεμον ἤραντο. καὶ τοῦτο πράττειν δι' ἐπιβουλῆc ἔγνω ⟨* * *⟩ ἀδελφὴν οὖcαν αὐτήν, εἶτα μαθοῦcαν ἕκαcτα τῶν βουλευμάτων καταπροδοῦcαν τοὺc ἀδελφοὺc δηλῶcαι τῶι Διί. τὸν μετὰ τῶν ἄλλων θεῶν φυλαττόμενον τὴν ἐπιβουλὴν cυμβαλόντα τε αὐτοῖc πολέμωι κρατῆcαι καὶ τιμῆcαι τὴν Cτύγα καὶ τὸ τῆc Cτυγὸc ὕδωρ ὅρκωι θεῶν ἀπαρατρέπτωι. ἡ ἱcτορία ἀκριβέcτερον παρὰ Ἡcιόδωι ἐν Θεογονίαι (Theog. 389ss, aliter Theog. 775-806). ZYQXG cf Θ 369𝔇

versui 127 attribuit et lemma suppl. L || 2 καὶ αὐτὴν post 1 οὖcαν QX || 3 supplevi || τήνδε ⟨τὴν⟩ YQX || 5-8 καὶ τοῦτο πράττειν δι' ἐπιβουλῆc ἔγνωcαν. δηλοῦcιν τοῦτο διὶ καὶ ἀξιοῦcιν αὐτοῖc cυγκροτῆcαι τῶ τοῦ πολέμου καιρῶ καὶ τιμῆcαι τὴν cτύγα καὶ τὸ τῆc cτυγὸc ὕδωρ ὅρκον θεῶν ποιῆcαι QX, καὶ τοῦτο δι' ἐπιβουλῆc ἔπραττον. ἔγνω οὖν ἀδελφὴ αὐτὴ οὖcα, εἶτα μαθοῦcα ἕκαcτα τῶν βουλευμάτων καταπροδοῦcα τοὺc ἀδελφοὺc ἐδήλωcεν τῶι διὶ τὴν ἐπιβουλήν. ὁ δὲ cυμβαλὼν αὐτοῖc πολέμωι κρατεῖ καὶ τιμᾶι τὴν cτύγα καὶ τὸ ταύτηc ὕδωρ Y ||

T 114/$Z^s$ ῥίον: ὄρουc ἀκρωτήριον. $ZYQXG^i$

T 115/$T^r$ ⌊ἤιδη⌋ ἐπίcτατο (= A 70𝔇).

T 116/$Z^s$ ἰφθίμη ἄλοχοc: τὴν Cθενέλου γυναῖκα 'ἰφθίμην' λέγει ἐπιθετικῶc ἀντὶ τοῦ ἀγαθή. τὸ γὰρ κύριον αὐτῆc ὄνομα ἦν Λευκίππη. Z(Y ἀγαθήν) (QXG θεccαλοῦ) (cf δ 797𝔇 "οὕτωc ἐκαλεῖτο κυρίωc ἡ ἀδελφὴ τῆc Πηνελόπηc")

T 117/$Z^s$ κύει (ἐκύει plures): κατὰ γαcτρὸc εἶχεν. $ZYQXT^rG^i$

T 117/$Z^s$ μείc: μὴν Αἰολικῶc. ὥcπερ δὲ ῥὶc ῥινὸc καὶ θὶc θινόc, οὕτω καὶ μεὶc μηνὸc κλιθήcεται κατὰ τὴν ἀναλογίαν. ZYQXAG~U

1 ῥεὶc ZYAU || ῥεινὸc ZYU || θεὶc ZYQA || θεινὸc ZYQ || μεινὸc YQU || 2 κληθήcεται ZYA ||

T 118/$Z^s$ ἠλιτόμηνον: διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν. ἑπταμηνιαῖοc γὰρ ὁ Εὐρυcθεὺc ἦν (=G). ¦ ἀλιτεῖν οὖν τὸ ἀποτυχεῖν (~G). Z(Y ἑπταμηνϊεὺc) $QXU^mI^m$

T 119/$Z^s$ 'Αλκμήνηc δ' ἀπέπαυcεν: Ζεὺc μιγεὶc 'Αλκμήνηι τῆι Ἠλεκτρυόνοc ὃν τρόπον εἴρηται ἐν τῆι Ξ (323𝔇) ἔγκυον κατέcτηcεν. μελλούcηc δὲ τίκτειν ὤμοcεν ἐν θεοῖc τὸν ἐκείνηι τῆι ἡμέραι γεννηθέντα τῶν ἐξ αὐτοῦ βαcιλεύcειν. Ἥρα δὲ ζηλοτύπωc διατεθεῖcα τὰc μὲν 'Αλκμήνηc ὠδῖναc ἐπέcχεν, 'Αντιβίαν δέ, ἥν τινεc Νικίππην εἶπον, τὴν Cθενέλου γυναῖκα κυοφοροῦcαν Εὐρυcθέα ἑπτάμηνον τεκεῖν ἐποίηcεν (Hes. fr. 190 M.-W.). ὅθεν καὶ τὰ ἑπτάμηνα γεννώμενα τροφῆc μοῖραν ἔλαχεν. βαcιλεύων δὲ Εὐρυcθεὺc Ἡρακλεῖ τοὺc ἄθλουc ἐπέταccεν, οὓc τελειώcαc κατὰ 'Αθηνᾶc καὶ 'Απόλλωνοc ὑποθήκαc ἀθαναcίαc μετέλαβεν (=G). ἡ ἱcτορία παρὰ Ῥιανῶι (fr. 9 Powell, FGrHist 265F51). $ZYQXAUI^m$

1 ὃν ⟨δὲ⟩ τρόπον ZA || 3 ⟨ἐν⟩ ἐκείνηι QXU || γεννηθέντα ἐξ αὐτοῦ πάντων ἀνάξειν τῶν περιοίκων Y || 4 ἀντίβειαν QX || ἥν⟨τινα⟩ τινὲc Y || 5 νικίππην : λευκίππην Y || 7 ἔλαχεν : εἴληχεν QX || βαcιλεύων ZAU : βαcιλεύcαc Y, βαcιλεὺc QX || 8 ἀθαναcίαc μετέλαβεν om Z || ἱcτορεῖ ἀριανόc Y, om QX || ἀρ(ε)ιανῶ A(U) ||

T 119/$Z^s$ cχέθε: ἐπέcχε. ZYQX

T 121/$Z^s$ ἀργικέραυνε: λαμπρὸν ἔχων κεραυνὸν ἢ ταχύν. $ZYQXG^i$

T 123/$Z^s$ Cθενέλου πάϊc: ὁ Εὐρυcθεύc. ἦν γὰρ Περcέωc ἔκγονοc (=$I^m$), ὅθεν Περcηϊάδην αὐτόν φηcιν. (post 116) $ZYQXG^i$

T 124/$Z^s$ οὔ οἱ ἀεικέc: οὐ δεινὸν καὶ ἀπεοικόc, οὐ χαλεπὸν αὐτῶι. $ZYQG^i$

T 126/$Z^s$ αὐτίκα δ' εἶλ' Ἄτην κεφαλῆc λιπαροπλοκάμοιο: ⌜ἀφείλετο δὲ QG⌝ τῆc αὐτοῦ βαθυπλοκάμου κεφαλῆc δηλονότι. οἱ δὲ "ἠλειμμένουc πλοκάμουc ἐχούcηc". (ZYQ εἵλετ'λ ≃ B 46𝔇) (QG τὴν ἄτην pro δηλονότι) $U^m$

T 131/$Z^s$ τάχα: ταχέωc. (inter 121 et 124) ZYQX

T 132/$Z^s$ τήν: δι' ἥν. (inter 121 et 124) ZYQX

↑ T 132/$Z^s$ τὴν ἀεὶ cτονάχιζε: δι' ἣν ⌜ἄτην $YQXG^i$⌝ ἀεὶ ἔcτενε. $ZYQXG^i$

↑ T 132/U$^{m}$ ⌞τὴν⌟ λείπει ἡ δι͞α πρόθεcιc, ἵν' ἦι ¦ δι' ἣν ἄτην (=I$^{i}$).

T 138/Z$^{s}$ ἀρέcαι: φιλοποιήcαcθαι, ¦ ἁρμόcαcθαι (~ A 136𝔇 ἄρcαντεc). ZYQX

φίλον ποιήcαcθαι Y || ἁρμόcαcθαι : ἀρέcαcθαι G$^{i}$ (= I 120𝔇) ||

T 144/Z$^{s}$ μενοεικέα: τῶι μένει εἴκοντα, αὐτάρκη, ἢ προcηνῆ. (inter 121 et 124) ZYQXG$^{i}$

T 147/Z$^{s}$ δῶρα μὲν αἴ κ' ἐθέληιcθα παραcχέμεν καὶ τὰ ἑξῆc: τὰ μὲν δῶρα εἴτε θέλειc παραcχεῖν εἴτε καὶ παρ' ἑαυτῶι ἔχειν, ἐν coί ἐcτιν. ZYQXG

T 148/Z$^{s}$ πάρα coί: πάρεcτί coι. ZYQXG Athous

T 149/Z$^{s}$ κλοτοπεύειν: ἤτοι ὑποκλέπτειν αὐτοὺc τῆc μάχηc ἐν τοῖc λόγοιc, ἢ ἑτέρου τινὸc ἐπιθυμεῖν. ZYU$^{m}$(QXG ἢ ἐν ἑτέρωι). T$^{r}$ ὑποκλέπτειν τὸν καιρόν.

T 150/Z$^{s}$ διατρίβειν: χρονουργεῖν, παρέλκειν. ZYQX

T 150/Z$^{s}$ ἔτι γὰρ μέγα ἔργον ἄρεκτον: ἀτελείωτον, ¦ ἄπρακτον (=T$^{r}$). ¦ ἤτοι δὲ περὶ τῆc Πατρόκλου ταφῆc λέγει, ἢ τῆc τοῦ Ἕκτοροc ἀναιρέcεωc (= U$^{m}$). ZYQXI$^{m}$G

T 151/T$^{r}$ ⌞Ἀχιλῆα⌟ ἐμὲ τὸν → .

T 157/T$^{r}$ ⌞οὐκ ὀλίγον χρόνον⌟ οὐ πρὸc βραχὺν χρόνον.

T 158/Z$^{s}$ πρῶτον: νῦν καθάπαξ. ZYQXG$^{i}$ ~ N 285𝔇 "ἅπαξ", cf A 319𝔇 "τὸ πρῶτον".

T 158/Z$^{s}$ ὁμιλήcωcι φάλαγγεc: εἰc ταὐτὸ cυνέλθωcιν αἱ τῶν cτρατιωτῶν τάξειc πολεμοῦcαι, cυμπλακῶcιν. (Z cυνελθουcιν) Y(QXG$^{i}$ cυμπλακεῖcαι)

T 160/Z$^{s}$ πάcαcθαι: γεύcαcθαι. ZYQX

T 160/Z$^{s}$ ἄνωχθι: κέλευcον. ZYQX

T 161/Z$^{s}$ τὸ γὰρ μένοc ἐcτὶ καὶ ἀλκή: τοῦτο γὰρ τὸ τῆc τροφῆc δυνάμεωc ἐcτὶ παραcκευαcτικόν. ZYQXG$^{i}$

1 τροφῆc : θρεπτικῆc QX || ἐcτὶ om Z || 2 παντὸc τοῦ cώματοc add. L ex 354𝔇 ||

T 163/Z$^{s}$ ἄκμηνοc: ἄγευcτοc. ZYQX

T 164/Z$^{s}$ μενοινᾶι: προθυμεῖται. ZYQX

T 169/Z$^{s}$ θαρcαλέοc (θαρcαλέον Hom.): ὑπομενητικόc, τολμηρόc. ZYQX

θαρcαλέωc Y$^{\lambda}$ || ὑπομονητικόc QX, ὑπομονητικῶc Y || τολμηρῶc Y ||

T 170/Z$^{s}$ ἐρωῆcαι: ὑποχωρῆcαι. ZYQX

T 171/Z$^{s}$ cκέδαcον: cκόρπιcον. ZYQX

T 172/Z$^{s}$ ὅπλεcθαι: παραcκευάζεcθαι εἰc τὸν πόλεμον. Z(YXU$^{m}$G$^{i}$ παραcκευάcαcθαι)

T 174/Z$^{s}$ ἰανθῆιc: διαχυθῆιc, χαρῆιc. ZYQX

T 179/Z$^{s}$ ἀρεcάcθω: δι' ἀρέcκειαν θεραπευcάτω, φιλοφρονηcάcθω. Z(Y θεραπευ-cάcθω) QXG

T 180/Z$^{s}$ πιείρηι: λιπαρᾶι, δαψιλεῖ, πολυτελεῖ. ἔcτι δὲ μεταφορά. ZYQXG$^{i}$

T 180/Z$^{s}$+U$^{m}$ ἵνα μή τι δίκηc ἐπιδευὲc ἔχηιcθα: ἵνα μηδὲν ἐλλείπηι τῶν ὀφειλόντων περὶ cὲ δικαίωc πραχθῆναι. ZYU$^{m}$(QXG πρὸc pro περὶ) | ἵνα κατὰ μηδὲν τῶν δικαίων ἐνδεὴc ἦι. U$^{m}$ ~T$^{s}$

T 181/Z$^{s}$ ἐπ' ἄλλωι: πρὸc ἄλλουc. ZYQXG$^{i}$

T 182/Z$^{s}$ οὐ μὲν γάρ τι νεμεccητὸν βαcιλῆα ἄνδρ' ἀπαρέccαcθαι: οὐ μεμπτὸc γὰρ ὑπάρχει βαcιλεὺc (~G) θεραπεύων ἄνδρα ὃν προηδίκηcεν. (Z ἐπαρέcαcθαι$^{\lambda}$) YQXU$^{m}$I$^{m}$

T 183/Z$^{s}$ χαλεπήνηι: κακώcηι, βλάψηι, ὥcτε εἰc ὀργὴν ἐλθεῖν. ZYQXG$^{i}$

κακῶc YQX || βλάψει X || ὅ ἐcτιν εἰc ὀργὴν ἔλθηι QX ||

T 186/Z$^{s}$ ἐν μοίρηι: κατὰ τὸ προcῆκον (=G$^{i}$), κατὰ τρόπον. ZYQX

τρόπον Z : τὸ πρέπον YQX ut A 286𝔇 q.v. ||

T 186/Z$^{s}$ διίκεο: διεξῆλθεc, διηγήcω. ZY

T 186/Z$^{s}$ κατέλεξαc: ἱcτόρηcαc, εἶπαc. ZY

T 188/Z$^{s}$ πρὸc δαίμονοc: κατὰ θεόν. (ZYX δαίμοναc$^{\lambda}$) ~T$^{s}$

T 189/Z$^{s}$ μιμνέτω: μενέτω. ZYQX

T 189/Z$^{s}$ †τεο (αὖθι τέωc Hom.): αὐτόθι. ZYQX

T 189/Z$^{s}$ ἐπειγόμενόc ⌜περ YQX⌝: καίτοι cπεύδων. ZYQXG$^{i}$

T 193/$Z^s$ κρινάμενος: ἐπιλεξάμενος. ZYQXAthous

T 193/$Z^s$ κούρητας: κούρους, νέους. ZYQX (Athous πιστοὺς κούρους, νέους)

T 194/$Z^s$ ἐνεγκέμεν: ἐνεγκεῖν. ZYQ(X ἐνεγκέειν)

T 195/$Z^s$ χθιζόν: χθές. ZYQX

T 195/$Z^s$ ὑπέστημεν: ὑπεσχόμεθα. ZYQX

T 197/$Z^s$ ταμέειν: διχοτομῆσαι. ZYQX

↑ T 197/$Z^s$ ταμέειν: δι' ἐντόμων ποιήσασθαι. (post 223) ZYQX

T 200/$Z^s$ ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι: ἄλλοτέ ποτε ταῦτα δρᾶν ὀφείλετε παυσαμένου τοῦ πολέμου, καὶ μὴ τοσαύτης ὀργῆς κατεχούσης μου τὴν ψυχήν. ZYQXU$^m$G

ὀφείλεται $Z^λ$ || 2 ὀφείλεται Z, ὠφείλετε Y ||

T 201/$Z^s$ μεταπαυσωλή: ἀνάπαυσις. ZYQX

T 202/$Z^s$ μένος ἧισιν: ὀργὴ ὑπάρχει. (Z εισι$^λ$) Y(Q εἶσι$^λ$) XG$^i$

T 203/$Z^s$ κέαται: κεῖνται. 'δεδαϊγμένοι' δὲ διακεκομμένοι. ZYQX

κεῖται YQX || lemma 'δεδαϊγμένοι' pro δὲ YQX ||

T 205/$Z^s$ βρωτύν: βρῶσιν. (post 188) ZYQX

T 205/$Z^s$ ὄφρ' ἂν ἔγωγε (ἦ τ' ἂν Hom.): ἕως ἂν ἐγώ. ZYQXG$^i$ = Z 113𝔇

T 207/$Z^s$ ἀκμήνου (ἀκμήνους Hom.): ἀγεύστου.

T 208/$Z^s$ ἐπὴν τισαίμεθα λώβην: ἐπειδὰν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν. ZYQXG$^i$

T 209/$Z^s$ ἱείη (ἵει QX$^λ$): καθείη. Z(YQX καθίει). T$^r$ ἱείη = v.l. Hom. "εἰσέλθοι".

T 212/$Z^s$ κεῖται ἀνὰ πρόθυρον τετραμμένος: κεῖται ἐπὶ τὴν θύραν ὁρῶν, ὅ ἐστι τετραμμένους ἐπ' αὐτὴν ἔχων τοὺς πόδας. οὕτως γὰρ τίθενται οἱ νεκροὶ διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους. Z(YQXUI$^m$G 2 ἐν αὐτῆι)

T 213/$Z^s$ μύρονται: θρηνοῦσι, ZYQX | κλαίουσιν. (post 195) ZQX

T 213/$Z^s$ τό μοι: διό μοι. ZYXG$^i$

T 218/$Z^s$ προβαλοίμην: νικήσαιμι. ZYX

T 219/$Z^s$ ἐπεὶ πρότερος γενόμην: ἐπειδὴ πρεσβύτερος ὑπάρχω. ZYQXG$^i$

T 221/$Z^s$ αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισι καὶ τὰ ἑξῆς: ταχέως γὰρ κόρος λαμβάνει τοὺς ἀνθρώπους ἐν τῆι μάχηι (=X). ὀλίγοι γάρ εἰσιν οἱ ἀπολειπόμενοι ζῶντες, πολλοὶ δὲ οἱ φονευόμενοι. 'καλάμη' (222) δὲ κυρίως τὸ ξυλῶδες τῶν ἀσταχύων· ἢ τοὺς στάχυας περιφραστικῶς. ἀλληγορικῶς οὖν καλάμην νῦν κέκληκεν τὰ σώματα τῶν ἀναιρουμένων, 'ἀμητὸν' (223) δὲ τὸν τοῦ θέρους καιρὸν θέλων δηλῶσαι, ὅτι τροπῆς ἐκ Διὸς γενομένης πολλοὶ πίπτουσι κατὰ πόλεμον. ZYQUI$^m$G

4 τοὺς ἀστάχυας Y || 5 ἀνηιρημένων Q || ἀμητὸν ZU : ἄμητον YXQ, cf 223𝔇 || 6 κατὰ (τὸν U) : ὑπὸ τὸν Q ||

T 223/$Z^s$+$U^s$ ἄμητος: προπαροξυτόνως μὲν ὁ ἀμώμενος καὶ θεριζόμενος καρπὸς τοῦ σίτου, ἀμητὸς δὲ ὀξυτόνως ὁ καιρὸς τοῦ θέρους. ZYQXUI$^m$G | τοῖς κυρίοις ὀνόμασι τὰ τροπικὰ μιγνὺς ἀλληγορίαν ἐποίησε. καὶ εἰ μὲν τὸν καιρὸν ἀμητὸν φα(σιν), τοιοῦτος ὁ λόγος· "τροπῆς γενομένης ὀλίγον χρόνον διώξαντες πολλὰ καταβαλοῦμεν τῶν πολεμίων σώματα." οἱ δὲ τὸν καρπὸν φασὶν ἄμητον, †οἱ δὲ σκληρὰν μεταφοράν. εἰ δὲ εἶπε ταμίης καρποῖο, τελεία ἡ ἀλληγορία· καὶ καλάμη⟨ν⟩ μὲν τοὺς νεκρούς, ἄμητον δὲ – τουτέστι τὸν τεθερισμένον καρπὸν – τοὺς περιλειπομένους. ἄμητος δὲ ὁ καιρὸς τοῦ ἀμᾶν βαρυτόνως, †δὲ παρ' Ἡσιόδωι 'ἄρχεσθ' ἀμήτου' (op. 384), ὀξυτόνως δὲ αὐτὸς ὁ καρπός. UI$^m$ ~ M$^s$N$^s$ cf T$^s$, EtM 83,7 et ρ 170𝔇 δειπνηστός: βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα, ὀξυτόνως δὲ τὸ δεῖπνον`.

1 παροξυτόνως Y || 2 ἄμητος Z = lemma = Hom., ~ Amm. 38, cf 221𝔇 || 3 μιγνὺς MN : δεικνὺς UI || εἰ μὲν IMN : οἱ μὲν U || φησι Erbse || 6 μεταφορὰν ⟨ποιοῦσι⟩ Erbse || εἰ δε εἶπε MN : εἰ δὲ εἴποις U, οἱ δὲ εἶπον U$^c$ || τελεία ἡ MN : ἡ δὲ UI || καλάμη⟨ν⟩ MN || 8 δὲ$^2$ UI : ὡς καὶ T || 8 δὲ παρ' .. ἀμήτου om MN ||

T 223/$Z^s$ ὀλίγιϲτοϲ: ὀλίγοϲ, μικρόϲ. ZYQX

T 223/$Z^s$ ἐπὴν κλίνηιϲι τάλαντα Ζεύϲ: ὁπόταν τροπὴν ἐργάϲηται ὁ Ζεύϲ. $ZYQXG^i$

T 226/$Z^s$ ἐπήτριμοι: ἐπάλληλοι, πυκνοί. ZYQX

T 227/$U^m$ ⌞ἀναπνεύϲειε πόνοιο⌟ ἀνακτήϲαιτο τῆϲ κακοπαθείαϲ.

T 229/$Z^s$ νηλέα: ἀνηλεῆ, ἀϲυμπαθῆ. ZYQX. $T^r$ ἀταπείνωτον.

T 229/$Z^s$ ἰῶι ἤματι δακρύϲαντεϲ: μίαν ἡμέραν κλαύϲαντεϲ. ZY

T 229/$Q^s$ ἐπ' ἤματι δακρύϲανταϲ (= Hom): κλαύϲανταϲ. $QXG^i$

T 230/$T^r$ ⌞λίπωνται⌟ καταλειφθῶϲιν (γ 354𝔇).

T 232/$Z^s$ νωλεμέωϲ (= Δ 428𝔇, νωλεμέϲ Hom.): ἀδιαλείπτωϲ. ZYQX

T 233/$Z^s$ ἑϲϲάμενοι: περιβαλλόμενοι, ἐνδυϲάμενοι. 'ἀτειρέα' δὲ τὸν ἀκαταπόνητον καὶ ἄτρωτον. $ZG^i$(YQX lemma 'ἀτειρέα' pro δὲ)

T 234/$Z^s$ ὀτρυντύν: παρακέλευϲιν, παρόρμηϲιν. ZYQX

T 234/$Z^s$ ἰϲχαναάϲθω: ἀναμενέτω, κατεχέϲθω. Z(Y ἀναμενέϲθω) $QXG^i$

T 238/$Z^s$ ὀπάϲϲατο: προϲεταιρίϲατο, ἀκόλουθον ἔλαβεν. $ZYQXG^i$

T 239/$T^r$ ⌞Φυλείδην⌟ τὸν τοῦ Φυλέωϲ υἱόν (~ Β 628𝔇).

T 340/$T^r$ ⌞Κρειοντιάδην⌟ τὸν τοῦ Κρείοντοϲ υἱόν.

T 247/$Z^s$ ϲτήϲαϲ: ἀριθμήϲαϲ, ἢ διὰ ζυγοῦ. οὕτωϲ γὰρ οἱ ἀρχαῖοι τὰ χρήματα ἐδάνειζον, ὅθεν καὶ ὀβολοϲτάται εἴρηνται. (post 261) $ZYQXU^mI^mG$

1 διὰ ζυγοῦ (ϲτήϲαϲ) Y(QX)U : διαζεύξαϲ Z ‖ 1-2 ἐδάνειζον ZYU : ἐϲτάθμιζον QX ‖

T 254/$U^m$ τῶν τριχῶν προτέρων ἀπαρξάμενοϲ καὶ ἀποτεμών. ~ Athous

T 255/$Z^s$ ἀπ' αὐτόφιν (= Λ 44𝔇; ἐπ' αὐτόφιν Hom.): ἀπ' αὐτῶν. ZYQX

↑ T 255/$U^m$ ⌞ἐπ' αὐτόφιν⌟ ὑπ' αὐτόφι τῶι τε 'Αγαμέμνονι καὶ τῶι Ταλθυβίωι.

T 258/$Z^s$ ὕπατοϲ: πρῶτοϲ, μέγιϲτοϲ. ZYQX

T 259/$U^m$ καὶ αἱ τιμωρητικαὶ θεαὶ τῶν ἐπιορκούντων καὶ ἁμαρτανόντων.

T 260/$Z^s$ τίνονται (τίνυνται plures = $QX^λ$): τιμωροῦνται. ZYQX

T 261/$Z^s$ πῆ (μὴ Hom.) μὲν ἐγὼ: ἀντὶ τοῦ ποῦ (=$G^i$) μὲν ἐγώ. ZYQX cf Θ 94𝔇 πῆ· ποῦ. $T^r$ ⌞μὴ μὲν⌟ "οὐ μὴν"

T 261/$Z^s$ ἐπενεῖκαι: ἐπιβαλεῖν (≃ Α 89𝔇), ἅψαϲθαι. (Z ἐπιβαλὼν) YQX ($T^r$ ἠβουλήθην )

T 262/$Z^s$ οὔτ' εὐνῆϲ πρόφαϲιν κεχρημένοϲ: ὡϲ οὔτε τῆϲ ϲυνουϲίαϲ αὐτῆϲ χρήιζων ἀφειλάμην. Z($YQXG^i$ ἀφειλόμην)

T 263/$Z^s$ ἀπροτίμαϲτοϲ: ἀνύβριϲτοϲ (=$T^r$). ἄθικτοϲ ϲυνουϲίαϲ καὶ μίξεωϲ ἀνδρόϲ. ZYQXG (ApS 40,28 ἄψαυϲτοϲ, ἀπρόϲθικτοϲ)

T 265/$Z^s$ ὅϲ τιϲ ϲφ' ἀλίτηται ὀμόϲϲαϲ: ὅϲτιϲ ἂν ἁμάρτηι ἐπιορκήϲαϲ. $ZYQXG^i$ ~$T^s$

ὡϲ $X^λ$ ‖ ἂν om YQX ‖

T 266/$Z^s$ ϲτόμαχον: λαιμόν. ZYQX. $T^r$ τὸν γούργουρον.

T 267/$Z^s$ τὸν μὲν Ταλθύβιοϲ ῥίψ' ἐπιδινήϲαϲ: ἐπιϲτραφείϲ φηϲιν ἔρριψεν εἰϲ τὴν θάλαϲϲαν τὸν κάπρον (=X). ¦ ϲημειοῦται δὲ ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα οὐκ ἤϲθιον, ἀλλ' ἐρρίπτουν ἢ ἔκαιον, ὡϲ καὶ ἐν τῆι Γ (310?) φηϲίν (=$I^m$). ZYQUG

ῥίψ' ἐπιδινήϲα$ϲ^λ$ : καὶ τὰ ἑξῆϲ ἐπιδινήϲαϲ Z ‖ 3 {καὶ} ἐν Q ‖

T 268/$Z^s$ βόϲιν: βοράν, βρῶϲιν. ZYQ (X τροφήν pro βρῶϲιν)

T 270/$Z^s$ δίδοιϲθα: δίδοιϲ. ZYQX cf Z 260𝔇 πίηιϲθα.

T 273/$Z^s$+$U^m$ ἀμήχανοϲ ἀλλά ποθι Ζεύϲ: ὥϲτε τὸν Δία ἀμήχανον δηλοῦϲθαι, ὅ ἐϲτι κακομήχανον· $ZYQU^mG$ | "ἀλλὰ μὴν ὁ Ζεύϲ". $T^rI^i$ ἄβουλοϲ.

T 276/$Z^s$ ἀγορὴν λαιψηρήν: τὴν ταχέωϲ ἀθροιϲθεῖϲαν. $ZYQXG^i$ ~ $Athous^s$

T 284/$Z^s$ ἀμφ' αὐτῶι χυμένη: περιπλακεῖϲα τῶι Πατρόκλωι δηλονότι. $ZYG^i$(QX χυμένη$^λ$ om)

T 284/$Z^s$ λίγα κώκυε: ὀξέωϲ ἐθρήνει. $ZYQXG^i$

T 284/$Z^s$ ἄμυϲϲε: κατέξεεν τοῖϲ ὄνυξιν, ἐϲπάραϲϲεν. $ZYQXG^i$

T 287/$T^r$ ⌞δειλῆι⌟ ἀθλίαι (≃ Ε 574𝔇).

T 289/Zs κιχάνομαι: καταλαμβάνω. ZYQX

T 289/Zs ὄρχαμε: ἡγεμόν. Z(YQX ἡγεμών)

T 290/Zs ἂψ ἀνιοῦcα: εἰc τοὐπίcω ἀνερχομένη. ZYQXGi

T 290/Zs ὥc μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί: ὡc ἐν ἀδιαλείπτοιc γίνομαι κακοῖc. ZYQXUm

T 293/Ui ⸤τρεῖc τε καcιγνήτουc⸥ ἦcαν δὲ οὗτοι Εὔηνοc, Ἀλιπεύc, Λυρνηcόc.

T 294/Zs κηδείουc: εὐνουcτάτουc, καὶ μᾶλλον διαφέρονταc τῆι cυγγενείαι. ZYQXG | ἢ φροντίδοc ἀξίουc. ZQXG~UmIm

↑ T 294/Us ⸤κηδείουc⸥ τοὺc κατ᾽ ἐπιγαμίαν οἰκείουc (~ ApS 131 πηόc)· κῆδοc γὰρ ὁ γαμβρόc, ὅθεν καὶ κηδεcταί. ἢ φροντίδοc ἀξίουc καὶ προcφιλεcτάτουc· ἢ τοὺc προcήκονταc κατὰ τὸ γένοc (cf ApS 98,32).

T 294/Zs ἐπέcπον: ἐπηκολούθηcαν. ZY(QX ἐπηκολούθουν)

T 295/Um ⸤ἄνδρ᾽ ἐμὸν⸥ τὸν Μύνητα.

T 297/Zs ἔφαcκεc: ἔλεγεc. 'κουριδίην' δὲ τὴν παρθενικήν. ZYGi(QX duo scholia)

T 298/Zs ἄξειν: ἀπάξειν. Z(YQX ἀέξειν^λ = M 214)

T 299/Zs δαίcειν: εὐωχήcειν. ZYQX. Tr ποιήcειν.

T 300/Zs ἄμοτον: ἀμότωc, ἀπληρώτωc. ZYQX

T 302/Zs cφῶν δ᾽ αὐτῶν κήδε᾽ ἑκάcτη: αἱ δὲ λοιπαὶ γυναῖκεc cὺν τῆι Βριcηΐδι δῆθεν ὡc ἐπὶ προφάcει Πατρόκλου ἔκλαιον, τῆι δὲ ἀληθείαι ἑκάcτη αὐτῶν ἐθρήνει τὴν ἑαυτῆc cυμφοράν. ZYQXImG

T 303/Tr ⸤αὐτὸν⸥ τὸν Ἀχιλλέα.

T 306/Zs cίτοιο: ἄρτου. 'ἄcαcθαι' (307) δὲ κορεcθῆναι. Z(YQX duo scholia)

T 308/Zs δύντα δ᾽ ἐc ἠέλιον: ἕωc ἡλίου δυcμῶν. ZYQXGi

T 309/Zs ἀπεcκέδαcεν: ἀπεcκόρπιcεν. ZYQX

T 312/Zs τέρποντεc: ἀντὶ τοῦ τέρπειν βουλόμενοι, παρηγοροῦντεc. ZYQXG

T 312/Zs πυκινῶc: cυνετῶc. Z(YQX πυκνῶc^λ ~ Γ 202𝔇 πυκνά· πολλά, cυνετά)

T 312/Zs ἀκαχήμενον: λυπούμενον. ZYQX

T 314/Zs ἀδινῶc ἀνενείκατο: ἀθρόωc, ἐλεεινῶc, οἰκτρῶc ἀνέκραξεν. ἢ οἷον ἀνεcτέναξεν καὶ πολὺ ἀνήγαγεν πνεῦμα. ZYQX

1 ⟨καὶ⟩ οἰκτρῶc YQX || οἱονεὶ QX || 2 ἤγαγε YQX ||

T 315/Zs δυcάμμορε: κακόμορε. ZYQX(L κακόμοιρε = Anth. Pal. 7, 375)

T 316/Zs λαρόν: ἡδύ. (Z ἡδύν) YX(Q λιαρόν^λ)

T 317/Zs αἶψα καὶ ὀτραλέωc: ἐνεργῶc, cπουδαίωc. ¦ δὶc δὲ τὸ αὐτὸ εἶπεν ἐπιτάcεωc χάριν (= Im, A 514𝔇). ZYQXG ~ ApS 123,28 "παραλλήλωc".

1 ⟨καὶ⟩ cπουδαίωc YQX || δὶc δὲ om QX ||

T 317/Zs cπερχοίατο: ταραccόμενοι ἐπείγοιντο. ZYQXGi

T 319/Zs δεδαϊγμένοc: cυγκεκομμένοc. ≃ T 203𝔇

T 321/Zs+Qs cῆι ποθῆι: τῶι cῶι πόθωι, ZYQXGi | cῆι ζητήcει (~ ξ 144𝔇). Q

T 321/Zs κακώτερον: χεῖρον, ἢ †καχούcτερον. ZYQXGi

ἢ καχούcτερον Z : ὑποδεέcτερον Y, ἢ κατώτερον QX ||

T 322/Zs πυθοίμην: ἀκούcαιμι. ZYQG

T 323/Zs τέρεν: ἁπαλόν, ὑγρόν (=XGi, ~ ApS 151,11). 'λείβει' δὲ κυρίωc μὲν cπένδει, ἄρτι δὲ προχεῖ, cτάζει. ZYQG(L lemma 'λείβει' (≃ N 88𝔇 εἴβει) pro δὲ)

T 324/Zs χήτει: cτερήcει, ἐνδείαι, καὶ cπάνει. Z(YQX καὶ om)

T 324/Tr ⸤τοιοῦδ᾽ υἷοc⸥ ἐμοῦ (~ A 240𝔇).

T 325/Zs ῥιγεδανῆc: χαλεπῆc, φρικτῆc, ZYQX | φοβερᾶc. ZY (ApS 138,33 φρικώδουc)

T 326/Zs Cκύροc (Cκύρωι Hom.): νῆcοc μία τῶν Κυκλάδων. ZYQXUmGGi

νῆcοc om U || μία τῶν κυκλάδων νήcων X ||

T 326/$Z^s$ ἠὲ τὸν ὃς Σκύρωι μοι ἔνι τρέφεται φίλος υἱός: Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγινώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίαι θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκύρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα· γυναικείαν ἐσθῆτα ἀμφιέσας ὡς κόρην μετὰ τῶν θυγατέρων ἀνέτρεφεν. χρησμοῦ δὲ δοθέντος μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, πεμφθέντες ὑφ' Ἑλλήνων Ὀδυσσεύς τε καὶ Φοῖνιξ καὶ Νέστωρ, καὶ Πηλέως ἀρνουμένου παρ' αὐτῶι τὸν παῖδα τυγχάνειν πορευθέντες εἰς Σκύρον καὶ ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι ταῖς Ὀδυσσέως ὑποθήκαις ὅπλα καὶ ταλάρους ἔρριψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν καὶ τὰ λοιπά, Ἀχιλλεὺς δὲ ἀνελόμενος τὰ ὅπλα κατάφωρος ἐγένετο καὶ συνεστρατεύσατο. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους, ἥτις ἐξ αὐτοῦ ἐγέννησε Πύρρον τὸν ὕστερον Νεοπτόλεμον κληθέντα· ὅστις τοῖς Ἕλλησι νέος ὢν συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς (p. 75 Davies). ZYQXUG (𝔓Berol. 13930)

1 lemma om QXU || 4 ⟨καὶ⟩ γυναικείαν Z || 5 ἀμφιάσας ZYU || κόρην ⟨· ὁ δὲ αὐτὸν⟩ L || ἀνετρέφετο X || 6-7 τε καὶ om YQX || 7 {καὶ} πηλέως YQXU || παῖδα ⟨μὴ⟩ QXU || 14 ἐπικληθέντα Y || 15 παρὰ : ἐν Y ||

T 328/$Z^s$ ἐώλπει: ἤλπιζεν. ZYQX

T 333/$Z^s$ κτῆσιν: κτῆμα. ZYQX

T 335/$Z^s$ ⟨ἀκάχησθαι:⟩ ἀχεῖσθαι, λυπεῖσθαι. ZYQX

lemma ἀκάχησθαι pro ἀχεῖσθαι L, cf introd. p. 6,a || ἄχεσθε· λυπεῖσθε QX ||

T 337/$Z^s$ πύθηται: ἀκούσηι. ZYQX

T 340/$Z^s$ μυρομένους: κλαίοντας. ZYQX

T 342/$Z^s$ δὴ πάμπαν: παντελῶς δή. ZYQX

T 342/$Z^s$ ἀποίχεαι: οἴχηι, πεπόρευσαι. ZYQX

T 342/$Z^s$ ἑῆος: ἐνηέος, ἀγαθοῦ, προσηνοῦς. (post 323) ZYQX, ~$G^i$ (ad 324 τοιοῦδ')

ἑῆος$^λ$ om QX, cf Ψ 252𝔇 || ἐνηέως Y ||

T 343/$Z^s$ μέμβλεται: μέλει (=$T^r$), παρακάθηται. ZYQX

T 346/$Z^s$ μετὰ δεῖπνον: ἐπὶ τὸ δεῖπνον. ZYQX$G^i$

T 347/$Z^s$ νέκταρ: θεῖον πόμα. Z(Y πῶμα) QX$G^i$

T 347/$Z^s$ ἀμβροσίην: θείαν τροφήν. ZYQX$G^i$

T 348/$Z^s$+$Y^s$ ἵκηται: καθίκηται, ZYQX | καθάψηται. YQX

T 350/$Z^s$ ἅρπη (ἅρπηι Hom.): εἶδος ὀρνέου (=X), ὃ τινὲς ἴκτινον καλοῦσιν, ἕτεροι φήνην. λέγεται οὕτως καὶ τὸ δρέπανον. Z(Y ἥντινα pro ὃ) (YQ$I^m$G λέγεται ⟨δὲ⟩)

T 350/$Z^s$ τανυπτέρυγι: μακρὰς πτέρυγας ἐχούσηι. ZYQX$G^i$

T 350/$Z^s$ λιγυφώνωι: ὀξυφώνωι. ZYQX

T 351/$Z^s$ ἐκκατέπαλτο: καθήλατο. ZY(QX ἐγκατέπαλτο)

T 354/$Z^s$ ἀτερπής: ἀηδής, χαλεπὸς διὰ τὸ συνεκτικὸν εἶναι παντὸς τοῦ σώματος. (post 160) (Z συντηκτικὸν) YQX$I^m$$G^i$ (G etiam ad 163 ἄκμηνος)

T 355/$Z^s$ ἐρισθενέος: μεγαλοσθενοῦς, ἰσχυροῦ. ZYQX

↑ T 355/$Y^s$ ἐρισθενέος: μεγάλα δυναμένου.

T 355/$Z^s$ πυκινόν: πυκνόν, ἀσφαλές. ZYQXT

T 357/$Z^s$ ἐκποτέονται: ἐξίπτανται. ZYQX

T 358/$Z^s$ ὑπὸ ῥιπῆς (= M 462, ὑπαὶ Hom = YQX$^λ$) : ὑπὸ σφοδρότητος καὶ ὁρμῆς. 'αἰθρηγενέος' δὲ τοῦ αἴθριον ποιοῦντος. Z(YQX duo scholia et αἴθραν) ($G^i$ αἴθρας)

T 359/$Z^s$ γανόωσαι: λάμπουσαι. (Z παμφωσαι cf B 458𝔇) YQX

T 360/$Z^s$ ἐκφορέοντο: ἐξεφέροντο. ZYQX

T 361/$Z^s$ κραταιγύαλοι: ἰσχυρὰ γύαλα ἔχοντες, ἰσχυροί. γύαλα δὲ τὰ κοιλώματα. ZYQ ~ $I^m$G, Ak ὅτι ...

T 363/$Z^{s}$+$Y^{s}$ ἀστεροπητής (= A 580𝔇, ὑπὸ στεροπῆς Hom.): ἀστράπτων, YQX | ἀστραπτικός. ZYQX

T 365/$Z^{s}$ καναχή: ψόφος. ZYQX

T 366/$Z^{s}$ σέλας: λαμπρότης. 'αἴγλη' (362) δὲ λαμπηδών. Z(YQX duo scholia)

T 367/$Z^{s}$ ἄτλητον: ἀνυπομόνητον, ἀκαρτέρητον. ZYQX

T 368/$Z^{s}$ δῦσε (δύσετο Hom.): ἐνεδύσατο. ZYQX

T 368/$T^{i}$ ⌞κάμε τεύχων⌟ ὁ τρόπος ἀντιστροφή. = B $101^{T}$

ἀντιστροφή corr. sec. B $101^{T}$ : ἀντίφρασις $T^{i}$ ||

T 374/$Z^{s}$ μήνης: σελήνης. ZYQX

T 377/$Z^{s}$ οἰοπόλωι: ἐν ὧι ὄϊες πολοῦνται καὶ ἀναστρέφονται, ἐρήμωι. Z(QX$G^{i}$ ἐρήμωι om)

T 380/$Z^{s}$ ἀείρας: ἐπάρας. ZYQX

T 382/$Z^{s}$ περισσείοντο: περιεσείοντο. 'ἔθειραι' δὲ ¦ αἱ ἐξ ἔθους κεκοσμημέναι κόμαι (=$G^{i}$, ~ ApS 63,9). Z(YQX lemma 'ἔθειραι' pro δὲ

T 383/$Z^{s}$+$L^{s}$ ἵει: ἐνεποίκιλλε, ⌜ἐνέβαλεν L ≃ E 125𝔇⌝. ZYQX

T 385/$Z^{s}$ ἐφαρμόσειεν: ἁρμόσειεν. ZYQX

T 385/$Z^{s}$ ἐντρέχοι: ἀκωλύτως χρῶιτο, ὥστε μὴ ἐμποδίζεσθαι. ZYQX$G^{i}$

T 385/$U^{m}$ ⌞εἰ .. ἐντρέχοι⌟ ἐὰν εὐκίνητα εἴη αὐτοῦ ἐν τοῖς ὅπλοις τὰ γόνατα, τουτέστιν ¦ εἴπερ ἀνεμποδίστως κινοῖτο ἠμφιεσμένος τὴν πανοπλίαν (~G).

T 386/$Z^{s}$ τῶι δ' εὖτε πτερὰ γίνοντο (γίνετο Hom.): τῶι δὲ Ἀχιλλεῖ κοῦφα καὶ ἁρμόνια ἐγίνετο τὰ ὅπλα ὡσεὶ πτερά. (post 366) ZYQ$I^{m}$~G

ἠΰτε $Q^{\lambda}$ (= B 872) || 2 ἁρμόδια Q ||

T 387/$Z^{s}$ σύριγγος: τῆς δορατοθήκης. ZYQX$T^{i}$

T 389/$Z^{s}$ ἐπίστατο: ἀντὶ τοῦ ¦ ἠδύνατο (=$G^{i}$). 'πῆλαι' δὲ ¦ κινῆσαι, σεῖσαι (=$G^{i}$). ZYQX

lemma 'πῆλαι' pro δὲ YQX ||

T 390/$Z^{s}$ Πηλιάδα: τὴν ἐκ Πηλίου ὄρους Θεσσαλίας τμηθεῖσαν, ¦ λέγει δὲ τὸ δόρυ. 'μελία' γὰρ εἶδος δένδρου ἐπιτηδείου πρὸς κατασκευὴν δοράτων (=$I^{m}$). ZYQX$U^{m}$G

πηλειάδα $Y^{\lambda}$, πηληϊάδα $Q^{\lambda}$, πηληϊάδαο $X^{\lambda}$ (= Π 686) || 1 θεσσαλικοῦ Y || τιμηθεῖσαν Z ||

T 392/$Z^{s}$ Ἄλκιμος: Ἀλκιμέδων ὑποκοριστικῶς. ZYQX$G^{i}$ ~ Ak ὅτι ... $T^{i}$ ὁ Ἀλκιμέδων.

T 393/$Z^{s}$ λέπαδνα: οἱ ὑποτραχήλιοι ἱμάντες (=$I^{m}$), οἱ μασχαλιστῆρες. ZYQX$G^{i}$+G

T 393/$A^{ti}$ ⌞ἕσαν⌟ περιέβαλον. ≃ E 905𝔇

T 398/$T^{r}$ ⌞ἠλέκτωρ⌟ ἥλιος. = Z 513𝔇

T 398/$U^{m}$ 'ἠλέκτωρ' ὁ ἥλιος (=$T^{r}$, = Z 513𝔇. ἤτοι λαμπρός, ἢ ἀκοίμητος διὰ τὸ λέκτρου μὴ μετέχειν. $U^{m}$, cf $T^{s}A^{s}$

T 400/$Z^{s}$ τηλεκλυτά: πάνυ ἔνδοξα. (Z τηλεκλυτω$^{\lambda}$) YQX$G^{i}$

T 400/$Z^{s}$ ποδάρκης (Ποδάργης Hom.): τοῖς ποσὶν ἐπαρκῶν, ZQX | ταχύς. ZYQX ~ A 121𝔇

T 401/$Z^{s}$ ἄλλως: μὴ οὐχὶ οὕτως, κατ' ἄλλην ἔννοιαν. ZYQ(X κατὰ ὅλην)

T 401/$Z^{s}$ φράζεσθε: συνίετε, νοεῖτε. Z(YQX σύνετε )

T 402/$Z^{s}$ ἐπεὶ χ' ἕωμεν (= v.l. Hom.): ἐπειδὰν κορεσθῶμεν. ZYQX (~ $A^{s}T^{i}$ ApS 80,28)

ἐπεὶ χέωμεν YQ$^{\lambda}$, ἐπιχεῶμεν $Z^{\lambda}$, ἐπὴν χέωμεν $X^{\lambda}$ ||

T 402/$Z^{s}$ ἐπεὶ χέωμεν πολέμοιο: ἐπειδὰν ἀναμιχθῶμεν τοῖς πολεμίοις. ¦ ἔνιοι δὲ 'χέωμεν' "ὑποχωρήσομεν" (~G. (post 390) ZYQX$U^{m}I^{m}$

ἐπ' ἦν $Q^{\lambda}$ || χέομεν bis QX ||

T 404/$Z^{s}$ ὑπὸ ζυγόφιν: ὑπὸ ζυγου. 'αἰόλος' δὲ νῦν ¦ ἀντὶ τοῦ ταχύς (=$G^{i}$, cf Π 107𝔇 "νῦν ποικίλον"). Z(YQX lemma 'αἰόλος' pro δὲ)

T 405/$Z^{s}$ ἤμυσε καρήατι: παρέκλινε τῆι κεφαλῆι, κατενύγη.

↑ T 405/Y$^{s}$+Q$^{s}$ ἤμυϲε καρήατι: παρέκλινε τὴν κεφαλὴν αὐτοῦ. YQAT~G | ταχέωϲ δὲ εἰϲ θάτερον ¦ ἔκλινεν (=T$^{r}$) τὴν κεφαλὴν παρεπιϲτρέψαϲ εἰϲ τοὐπίϲω, ὡϲ προϲβλέψων τῶι Ἀχιλλεῖ μέλλων αὐτῶι διαλέγεϲθαι. QAG ≈T

2 θάτερον ⟨μέροϲ⟩ A || 2-3 βλέψων Q || 3 μέλλοντοϲ Q ||

T 405/Z$^{s}$ χαίτηι (χαίτη Hom.): τριχί. ZYQX

T 406/Z$^{s}$ ζεύγληϲ: ζεύξεωϲ, τοῦ ζυγοῦ. Z(YQX τοῦ om)

T 407/Z$^{s}$ αὐδήεντα: φωνῆι ἐνάρθρωι χρώμενον. ZYQXG$^{i}$

T 410/Z$^{s}$ κράτεϊ (= H 142$\mathfrak{D}$, κραταιή Hom.): ἰϲχύϊ. ZYQX

κραταιή· ἰϲχυρά G$^{i}$L = E 83$\mathfrak{D}$ ||

T 411/Z$^{s}$ νωχελίηι: βραδυτῆτι, ἀϲθενείαι. ZYQX

T 415/Z$^{s}$ θέοιμεν: τρέχοιμεν. ZYQX

T 417/Z$^{s}$ μόρϲιμον: μεμοιραμένον, ZQX | εἱμαρμένον. ZYQX

T 417/Z$^{s}$ θεῶι τε καὶ ἀνέρι: ὑπὸ θεοῦ Ἀπόλλωνοϲ καὶ ἀνδρὸϲ Ἀλεξάνδρου. ZYQXU$^{m}$G$^{i}$

καὶ ... : καὶ ἀλεξάνδρου μεμοιραμένον X ||

T 417/Z$^{s}$ δαμῆναι: δαμαϲθῆναι. Z(YQX δαμήμεναι$^{\lambda}$ = Φ 291$\mathfrak{D}$)

T 418/Z$^{s}$ ὣϲ ἄρα φωνήϲαντοϲ Ἐρινύεϲ ἔϲχεθον αὐδήν: οὕτωϲ εἰπόντοϲ φηϲὶν τοῦ ἵππου ἐπέϲχον αὐτοῦ αἱ Ἐρινύεϲ τὴν φωνήν. ¦ πάντα γὰρ τὰ παράλογα καὶ τεράϲτια δοκεῖ ὑπὸ Ἐρινύων γίγνεϲθαι (= U$^{m}$I$^{m}$). ZYQXAG

T 421/T$^{r}$ ⸤μόροϲ⸥ μοῖρα. ≃ Z 357$\mathfrak{D}$

T 423/Z$^{s}$ ἄδην: δαψιλῶϲ, ἱκανῶϲ. (post 406) (ZY ἄδδην$^{\lambda}$ = E 203$\mathfrak{D}$) QX

ΑΡΧΗ ΤΗϹ Υ.

Υ 0/Z$^{s}$ Διὸϲ ἐπιτρέψαντοϲ κατέρχονται βοηθήϲοντεϲ οἱ θεοὶ πάντεϲ· τοῖϲ μὲν Ἕλληϲιν Ἥρα τε καὶ Ἀθηνᾶ, καὶ Ποϲειδῶν καὶ Ἥφαιϲτοϲ καὶ Ἑρμῆϲ· τοῖϲ δὲ Τρωϲὶν Ἀφροδίτη καὶ Ἀπόλλων, ἔτι δὲ καὶ Ἄρτεμιϲ καὶ Λητώ, Ἄρηϲ τε καὶ Cκάμανδροϲ. Αἰνείαν δὲ ἀντιϲτάντα Ἀχιλλεῖ ϲώζει Ποϲειδῶν νεφέληι καλύψαϲ· Ἀχιλλεὺϲ δὲ ἄλλουϲ τε ἀναιρεῖ καὶ Πολύδωρον τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ ἀντιϲτὰϲ αὐτῶι φεύγει, Ἀπόλλωνοϲ ϲώϲαντοϲ αὐτόν, τοὺϲ δὲ ἄλλουϲ Ἀχιλλεὺϲ ἐπὶ τὴν πόλιν φεύγονταϲ κατεπείγει. ZYQXUI (cf ostracon Rossum p. 253)

7 κατήπειγεν ZQXU ||

Υ 0/Z$^{s}$ καθοπλιϲάμενοϲ Ἀχιλλεὺϲ μετὰ τῶν Ἑλλήνων ἐπὶ τὸν πόλεμον χωρεῖ· ὁμοίωϲ καὶ Τρῶεϲ. καὶ Ζεὺϲ εἰϲ ἐκκληϲίαν ἀθροίζει πάνταϲ τοὺϲ θεοὺϲ ἐξουϲίαν τε δίδωϲιν αὐτοῖϲ οἷϲ ἂν βούλωνται βοηθεῖν. ϲταϲιάϲαντεϲ δὲ εἰϲ αὐτοὺϲ χωρίζονται διχῶϲ· καὶ εἰϲ μὲν τοὺϲ Ἕλληναϲ παραγίνονται Ἥρα καὶ Ἀθηνᾶ καὶ Ποϲειδῶν, Ἥφαιϲτόϲ τε καὶ Ἑρμῆϲ· εἰϲ δὲ τοὺϲ Τρῶαϲ παραγίνονται Ἄρηϲ καὶ Ἀπόλλων καὶ Ἄρτεμιϲ ⌜καὶ Λητὼ Y⌝ καὶ ποταμὸϲ Cκάμανδροϲ. ϲυμβολῆϲ δὲ μελλούϲηϲ γίγνεϲθαι ὁ μὲν ἐβρόντηϲεν ὁ Ζεύϲ, ὁ δὲ ἐπιβολῆι τριαίνηϲ ἐκίνηϲεν ὅλην τὴν Τρωάδοϲ γῆν ὁ Ποϲειδῶν, ὡϲ καί τιναϲ καταπλαγῆναι τῶν θεῶν. Αἰνείαν δὲ προαϲπίζοντα πάντων τῶν Τρώων μέλλοντα ἀναιρεῖϲθαι ϲώζει ὁ Ποϲειδῶν φήϲαϲ οὕτωϲ ἀρέϲκειν Διί· ἀπὸ γὰρ τούτου πάλιν ἔϲεϲθαι καὶ διὰ παντὸϲ τὴν Τρώων βαϲιλείαν. Ἀχιλλεὺϲ δὲ ῥύμηι φερόμενοϲ καὶ ἐξ ἐναντίαϲ χωρήϲαϲ τῶν Πριάμου παίδων ἀναιρεῖ Πολύδωρον. μέλλοντα δὲ καὶ Ἕκτορα ὑπὸ Ἀχιλλέωϲ κατ' ἐκεῖνο καιροῦ ἀναιρεῖϲθαι ϲώζει Ἀπόλλων. ὁ μὲν οὖν Ἀχιλλεὺϲ γνωρίϲαϲ ὅτι μὴ εἵμαρτο ἐκείνωι τῶι καιρῶι θανεῖν Ἕκτορα ἐκεῖνον μὲν κατέλειπεν, τῶν δὲ λοιπῶν πολλοὺϲ ἐφόνευϲε Τρώων, ἐπὶ τοϲοῦτόν τε ἠρίϲτευϲεν ὡϲ ἐπὶ μόνην τὴν διὰ τοῦ τάχουϲ τῶν ποδῶν ϲωτηρίαν καταφυγεῖν αὐτοὺϲ ἐν τῆι πόλει. ZYQXUI

2 ϲυναθροίζει YQ || 3 ἑαυτοὺϲ Q || 4 διχῶϲ : διόϲ Z || 5 παραγίνονται om X || παραγίνεται ἄρηϲ Q || 7 ἐπιβολῆι τριαίνηϲ : τριάνηι QX, διὰ τριαίνηϲ U || τρωάδα QX || 10 ⟨τῶν⟩ τρώων QX || 12 μέλλοντοϲ δὲ καὶ Ἕκτοροϲ ZQX(U om καὶ) ||

Υ 1/Z$^{s}$ θωρήϲϲοντο: καθωπλίζοντο. 'ἀμφὶ ϲὲ' (2) δὲ περὶ ϲέ, ἐξ ἑκατέρου μέρουϲ. ZYQXG$^{i}$

lemma 'ἀμφὶ ϲὲ' pro δὲ YQX || ἐξ ἑκατέρου μέρουϲ : ὀρθοτονητέον τὴν ἀντωνυμίαν L ex E$^{s}$ ||

Υ 2/Z$^{s}$ ἀκόρητον: ἀπλήρωτον. ZYQX = 20, 22

Υ 3/Z$^{s}$ θρωϲμῶι: ὑψηλῶι τόπωι, ὅθεν καταθορεῖν καὶ πηδῆϲαι ἐϲτίν. ἔϲτι δὲ οὗτοϲ ἐν Ἰλίωι (=G), ϲταδίων πέντε τὸ περίμετρον μεταξὺ Cιμοῦντοϲ τοῦ ποταμοῦ καὶ τῆϲ Ἰλιέων καλουμένηϲ κώμηϲ, ὅπου καὶ θεαὶ κριθῆναι δοκοῦϲι περὶ κάλλουϲ. ὀνομάζεται δὲ Καλλικολώνη (53), ἐπεὶ τῶν πέριξ τόπων ἐπιϲημότατόϲ ἐϲτιν. ἡ ἱϲτορία παρὰ Δημητρίωι τῶι Cκηψίωι (fr. 23 Gaede). ZYQXAUI$^{m}$ (Υ 53/T$^{s}$-Demetr. et 𝔓Berol. 13930)

3 δοκοῦϲι ZYAU : λέγουϲι QX ||

Υ 4/Z$^{s}$+U$^{s}$ Θέμιϲτα: ἀντὶ τοῦ Θέμιν, δικαιοϲύνην, ἥτιϲ ἐϲτὶν μία τῶν Τιτανίδων. ZYQXUI$^{m}$G | εἰκότωϲ δὲ Θέμιδι προϲέταξε τοὺϲ θεοὺϲ ϲυγκαλεῖν, αὐτὴ γὰρ ἀνδρῶν ἀγορὰϲ ἠμὲν λύει ἠδὲ καθίζει, ὡϲ δέον αὐτοὺϲ δικαίωϲ ϲυγκαλεῖϲθαι. U cf T$^{s}$

Υ 5/Z$^{s}$ κράατοϲ (= Ξ 177, κρατὸϲ Hom. = Q$^{λ}$): κορυφῆϲ τοῦ Ὀλύμπου, τῆϲ ἀκρωρείαϲ. ZYQX

Υ 5/Z$^{s}$ πολυπτύχου: πολλὰϲ ἀποκλίϲειϲ ἔχοντοϲ καὶ ἐξοχάϲ. ZY(QX καὶ ἐξοχὰϲ ἔχοντοϲ)

Υ 6/Z$^{s}$ φοιτήϲαϲα: παραγενομένη. ZYQX

Υ 7/Z$^{s}$ ἀπέην: ἀπῆν. 'νόϲφι' δὲ χωρίϲ. τὸν δὲ Ὠκεανὸν οὐ παρέλαβεν εἰϲ τὸ τῶν θεῶν ϲυνέδριον, ἵνα μὴ κωλύϲηι αὐτοὺϲ τῆϲ πρὸϲ ἀλλήλουϲ μάχηϲ, πρεϲβύτατοϲ ὑπάρχων. Z(Y πρεϲβύτατοϲ ὑπάρχων om) QXAU$^{m}$I$^{m}$G$^{i}$+G

Υ 8/Z^s οὔτ' ἄρα Νυμφάων ˻ταί˼ τ' ἄλcεα: αἱ τὰ ἄλcη κατοικοῦcαι Νύμφαι 'Αλcηΐδεc καλοῦνται, αἱ δὲ ἐπὶ τῶν δένδρων Ἁμαδρυάδεc, αἱ δὲ τὰ νάματα τῶν ὑδάτων Ναϊάδεc καὶ Ὑδριάδεc, καὶ τούτων αἱ μὲν Κρηνίδεc, αἱ δὲ Ἐπιποταμίδεc. αἱ δὲ ἐπὶ τῶν βοcκημάτων Ἐπιμηλίδεc, αἱ δὲ ἐπὶ τῶν ὀρῶν Ὀρειάδεc, καὶ ὅcαι ταύταιc ὅμοιαι. ὁμοίωc δὲ καὶ ἐπὶ τῶν ἑλῶν ἑλειονόμοι. ZYQAUI^m cf Z 21𝔇

1 ἀλcηΐδεc ZAU (= ApR 1,1066; 4,1151) : ἀλcηΐτιδεc YQ || 2-3 ναΐδεc YQ || 3 κρηνηΐδεc Y || 4 ὀρεάδεc Y, ὀριάδεc Q, ὀρεcτιάδεc L || 5 ἑλειονόμοι U : ἑλιόνομοι ||

Υ 9/Z^s πείcεα: τὰ ὑδρηλὰ χωρία, τοὺc καθύδρουc τόπουc, ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖc πεῖcαι, ὅ ἐcτιν ποτίcαι (~T^r). 'ποιήεντα' δὲ βοτάνην ἔχοντα. Z(YQX lemma 'ποιήεντα' pro δὲ) (QX καθύγρουc). A^ti ὑδατώδειc τόποι.

Υ 13/Z^s οὐδ' Ἐνοcίχθων νηκούcτηcε θεᾶc: ὁ δὲ Ποcειδῶν οὐ παρήκουcε τῆc Θέμιδοc. ¦ τοῦτο δὲ εἴρηκεν διὰ τὴν γεγονυῖαν αὐτῶι μικρῶι πρόcθεν πρὸc τὸν Δία φιλονεικίαν (= U^mI^m). ZY(QX ἠκούcτηcεν^λ) (QXA2 αὐτῶν)

Υ 14/Z^s νηκούcτηcεν: παρήκουcεν. ZY(QX ἠκούcτηcεν^λ)

Υ 14/Z^s μετ' αὐτούc: πρὸc αὐτούc. ZYQX

Υ 18/Z^s δέδηε: φαίνεται, φλέγει. ZYQX

Υ 21/Z^s ξυνάγειρα: cυνήγειρα, ἤθροιcα. ZYQX

Υ 22/Z^s πτυχί: ἀποκλίcει, ἐξοχῆι. ZYQX

Υ 24/Z^s ἱκέcθαι (ἵκηcθε Hom.): παραγενέcθαι. (Z παραγενήcεcθαι) YQX = A 19𝔇

Υ 27/A^td ˻ἔξουcι˼ ἀντὶ ἀνθέξουcιν (= Υ 26^T, Ξ 100𝔇).

Υ 29/Z^s χώεται: λυπεῖται. ZYQX

Υ 30/Z^s ὑπὲρ μόρον: παρὰ τὸ εἱμαρμένον. ὑπὲρ τὸ δέον. ZYQXT^rG^i

ὑπέρμορον Z^λ ≃ B 155 || ὑπὲρ Z = B 155𝔇 : παρὰ YQX, καὶ T^r ||

Υ 31/Z^s ἀλίαcτον: χαλεπόν (=T^r), ἄφυκτον. ZYQ

Υ 31/Z^s ἔγειρεν: ἤγειρεν, ἐκίνηcεν. ZYQX

Υ 32/Z^s δίχα: διχῶc, εἰc δύο. ZYQXG^i = ApS 59,17

